


36
23 B
12
EMANUELE
FONDO
EBORENSE




BIBLIO-RVM GRAECORVM LATINORVMQVE PARS TER-tia,

continens Heſaiam, Hieremiam, Iezechielem, Da-
nielem, Oſeam, Ioëlem, Amos, Abdiam, Ionam, Mi-
chæam, Naum, Abacum, Sophoniam,
Aggæum, Zachariam, &
Malachiam.



BASILEAE,
per Nicolaum Brilyngerum,
Anno M. D. L.

HESAIAS.



Ρασις ἣν εἶδεν ἠ-
σαΐας υἱὸς ἀμὼς, ἣν
εἶδε κατὰ τῆς ἰουδαί-
ας, καὶ κατὰ ἱερουσα-
λὴμ ἐν βασιλείᾳ ὀ-
ζίου καὶ ἰωάθαμ, καὶ ἄχαζ καὶ ἐζεκίου,
οἳ ἐβασίλευσαν τῆς ἰουδαίας. Ἄκουε
οὐρανὲ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐ-
λάλησεν· υἱοὺς ἐγέννησα, καὶ ὕψωσα,
αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν
κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ
κυρίου αὐτοῦ, ἰσραὴλ δέ με οὐκ ἔγνω,
καὶ ὁ λαός μου οὐ συνῆκεν. οὐαὶ ἔθνος
ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτι-
ῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι ἐγ-
κατελίπετε τὸν κύριον, καὶ παρωργίσα-
τε τὸν ἅγιον τοῦ ἰσραὴλ, ἀπηλλοτριώθη-
σαν εἰς τὰ ὀπίσω. τί ἔτι πληγῆτε προ-
στιθέντες ἀνομίαν; πᾶσα κεφαλὴ
εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύ-
πην. ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔ-
στιν ἐν αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα,
οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνου-
σα, οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε
ἔλαιον, οὔτε καταδέσμους. ἡ γῆ ὑμῶν
ἔρημος, αἱ πόλεις ὑμῶν πυρίκαυστοι·
τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν, ἀλ-
λότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμω-
ται κατεστραμμένη ὑπὸ λαῶν ἀλλο-
τρίων. ἐγκαταλειφθήσεται ἡ θυγάτηρ
σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς
ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πό-
λις πολιορκουμένη. καὶ εἰ μὴ κύριος σα-
βαὼθ

Cap. I



Isio quam ui-
dit Esaias fi-
lius Amos,
quam uidit
contra Iudæ
am, & contra Hierusalem
in regno Oziæ, & Ioa-
tham, Achaz et Ezechię,
qui regnauerunt in Iudęa.
Audi cœlū, & auribus ac
cipe terra, qa dn̄s locutus
est. Filios genui & pue-
xi, ipsi aūt mespreuerunt.
Cognouit bos possessorē,
& asinus præsepe dn̄i sui,
Israel aūt me non cogno-
uit, et populus meus nō in
tellexit. Væ genti pecca-
trici, populo pleno peccā
tis, semē malitiosum, filijs
iniquis. dereliquerunt do-
minū, & ad iracundiā in-
citarūt sanctū Israel, defe-
cerūt à tergo. Quid ultra
percutiemini addētes ini-
quitatē: Omne caput lan-
guet, & omne cor. à pedi
bus usq; ad caput non est
in eo integra ualetudo, &
mœret: neq; uulnus, neq;
liuor, neq; plaga tumens,
nō est fomentū, neq; oleū,
neq; imponatur alligatus.
Terra uestra deserta, ciui
tates uestrę succensæ igni,
regionē ūram corā uobis,
alieni deuorāt, et desolata
ē euersa à populis exteris.
Derelinquet filia Sion si-
cut tentorium in uinea, &
sicut pomorū custodia in
cucumerario, sicut ciuitas
obsessa. Et nisi dn̄s Sab-
baoth

baoth reliquisset nobis se-
mē, quasi Sodoma facti fu-
issemus, et Gomorrhę assi-
milati essemus. Audite uer-
bum dñi principes Sodo-
morū, attēdite legē dei no-
stri populus Gomorrhæ.
Ad qd mihi multitudo ui-
ctimarū uestrarū, dicit do-
minꝰ. Plenꝰ sum holocau-
stis et arietib. Et adipē ag-
norū. & sanguinē taurorū
& hircorū nō uolo, neq;
ueneritis ad apparēdū mi-
hi. Quis enim postulauit
hæc de manibus uestris?
Calcare atriū meū nō per-
getis. Si obtuleritis siligi-
nē, inane suffimentum, fa-
Hiere.6 stidiū mihi est. Neomeni-
as uestras & sabbata, &
diē magnum nō fero. Ieiu-
niū & ociū, et neomenias
& ferias uestras odio ha-
bet anima mea. Facti e-
stis mihi in satietatem, nō
amplius remittam pecca-
ta uestra. Cum extenderi-
tis manus, auertam oculos
meos à uobis. Et si multi-
plicaueritis orationē, non
exaudiam uos, nam ma-
nus uestræ sanguine ple-
Infra 59 næ. Lauamini, mundi e-
stote, auferte nequitias ab
animabus uestris corā ocu-
lis meis. Desistite à nequi-
tijs uestris, discite bonum
facere, quærite iudiciū, li-
berate iniuria oppressū.
Ius dicite pupillo, & iusti-
ficate uiduā. & uenite, &
disceptemus, dicit dñs. Et
si fuerint peccata uestra
sicut

βαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς
σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς γόμοῤ-
ῥα ἂν ὡμοιώθημεν. Ἀκούσατε λόγον
κυρίου ἄρχοντες σοδόμων, προσέχε-
τε νόμον θεοῦ ὁ λαὸς γομόῤῥας. τί
μοι πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει
κύριος. πλήρης εἰμὶ ὁλοκαυτωμά-
των καὶ κριῶν. καὶ στέαρ ἀρνῶν καὶ
αἷμα ταύρων καὶ τράγων οὐ βούλο-
μαι, οὐδ᾽ ἂν ἔρχησθε ὀφθῆναί μοι.
τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν
ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προ-
σθήσεσθε. ἐὰν φέρητε σεμίδαλιν,
μάταιον θυμίαμα, βδέλυγμά μοι
ἐστί. τὰς νουμηνίας ὑμῶν, καὶ τὰ σάβ-
βατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέ-
χομαι. νηστείαν καὶ ἀργίαν, καὶ τὰς
νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑ-
μῶν μισεῖ ἡ ψυχή μου. ἐγενήθητέ
μοι εἰς πλησμονὴν, οὐκέτι ἀνήσω
τὰς ἁμαρτίας ὑμῶν. ὅταν ἐκτείνη-
τε τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλ-
μούς μου ἀφ᾽ ὑμῶν. καὶ ἐὰν πληθύνητε
τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν.
αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλή-
ρεις. λούσασθε, καθαροὶ γίνεσθε, ἀφέ-
λετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑ-
μῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου.
παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν,
μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρί-
σιν, ῥύσασθε ἀδικούμενον. κρίνατε
ὀρφανῷ, καὶ δικαιώσατε χήραν. καὶ
δεῦτε, καὶ διαλεχθῶμεν, λέγει κύ-
ριος. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν
ὡς

ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ.
ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον
λευκανῶ. καὶ ἐὰν θέλητε, καὶ εἰσ-
ακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς
φάγεσθε. ἐὰν δὲ μὴ θέλητε, μηδὲ
εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κα-
τέδεται, τὸ γὰρ στόμα κυρίου ἐλά-
λησε ταῦτα. πῶς ἐγένετο πόρνη
πόλις πιστὴ σιών, πλήρης κρίσε-
ως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν
αὐτῇ, νῦν δὲ φονευταί. τὸ ἀργύ-
ριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί
σου μίσγουσι τὸν οἶνον ὕδασι, οἱ ἄρ-
χοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλε-
πτῶν, ἀγαπῶντες δῶρα, διώκον-
τες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρί-
νοντες, καὶ κρίσιν χηρῶν οὐ προσ-
έχοντες. διὰ τοῦτο τάδε λέγει ὁ δε-
σπότης κύριος σαβαώθ, οὐαὶ οἱ ἰ-
σχύοντες ἰσραήλ. οὐ παύσεται γά
μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις.
καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιή-
σω, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπί
σε, καὶ πυρώσω εἰς καθαρὸν, τοὺς δὲ
ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ
πάντας τοὺς ἀνόμους ἀπὸ σοῦ, καὶ
πάντας ὑπερηφάνους. καὶ ἐπιστήσω
τοὺς κριτάς σου ὡς τὸ πρότερον, καὶ
τοὺς συμβούλους σου ὡς τὸ ἀπ᾽ ἀρχῆς.
καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δι-
καιοσύνης, μητρόπολις πιστὴ σιών.
μετὰ γὰρ κρίματος σωθήσεται ἡ
αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημο-
σύνης, καὶ συντριβήσονται οἱ ἄνομοι
καὶ

sicut rubeum, quasi niuem
albabo. Si autem fuerint
sicut coccinum, uelut la-
nam dealbabo. Et si uolue-
ritis, & exaudieritis me,
bona terrae comedetis: si
uero non uolueritis, neque
audieritis me, gladius uos
deuorabit, nam os domini
loquutum est illa. Quomo
do facta est meretrix, ciui
tas fidelis, Sion plena ae-
quitatis? in qua iustitia
dormiuit, nunc autem ho-
micidae. Argentum ue-
strum reprobum, caupo-
nes tui miscent uinum a-
quae, principes tui non o-
bediunt, socij sunt furum,
diligunt munera, inhiant
retributioni, Pupillis non
iudicant, & ius uiduarum
non attendunt. Quamob-
rem haec dicit dominator
dominus Sabaoth, Vae Hiere. 5
fortibus Israel. non enim
cessabit meus furor con-
tra aduersarios. Et iudici-
um de inimicis meis faci-
am, & inducam manum
meam in te, & igne te do-
nec purgeris examinabo,
& inobedientes perdam.
Et auferam omnes ini-
quos a te, & omnes super
bos. Et restituam iudices
tuos sicut prius, & consi-
liarios tuos sicut ab ini-
tio. Et post haec uocabe-
ris ciuitas iustitiae, metro-
polis fidelis Sion. In iudi-
cio enim & eleemosyna
saluabitur captiuitas e-
ius, & conterentur iniqui

& peccatores simul, & qui dereliquerũt dominũ consumentur. quia pudore afficientur ab idolis suis quæ ipsi uoluerunt, & erubuerunt in hortis quos desiderauerunt. Erunt enim sicut terebynth⁹, quę deposuit folia, et sicut hortus aquam nõ habens. Et erit fortitudo eorum uelu ti culm⁹ stupę, et opera eorum quasi scintillæ. Et accendentur peccatores, & non erit qui extinguat.

Cap. II Verbũ quod factum est ad Esaiam filium Amos de Iudæa & de Hierusalem. Erit in nouissimis diebus manifestus mons domini, et domus dei in altitudine montium, & eleuabitur super colles, & uenient ad eum omnes gentes, et ibunt gentes multę, et dicent, Venite, & ascẽdamus ad montem domini, & ad domũ dei Iacob, & annunciabit nobis uiã suam, & ambulabimus in ea. Ex Sion enim proficiscitur lex, & uerbum domini de Hierusalem. Iudicium exercebit inter gentes, & arguet populum multum. Et contundent gladios suos in aratra, & lanceas suas in falces. Et non accipiet gens contra gentem gladium, & nõ discent ultra præliari. Et nunc domus Iacob uenite, & ambulem⁹ in lumine domini.

Micheæ 3

καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον συντελεσθήσονται. διότι αἰσχυνθήσονται ἀπὸ τῶν εἰδώλων αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο, καὶ ἐπαισχύνθησαν ἐπὶ τοῖς κήποις ἃ ἐπεθύμησαν. ἔσονται γὰρ ὥσπερ τερέβινθος, ἡ ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππίου, καὶ αἱ ἐργασίαι αὐτῶν ἅμα ὡς σπινθῆρες, καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οὐκ ἔσται ὁ σβέσων.

Ὁ λόγος ὁ γενόμενος πρὸς ἡσαΐαν υἱὸν ἀμὼς περὶ τῆς ἰουδαίας, καὶ περὶ ἱερουσαλήμ. ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου, καὶ ὁ οἶκος τοῦ θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐν αὐτῷ πάντα τὰ ἔθνη, καὶ πορεύσονται ἔθνη πολλά, καὶ ἐροῦσι, δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἰακώβ, καὶ ἀναγγελεῖ ὑμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλήμ. καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν, καὶ ἐξελέγξει λαὸν πολύν, καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα. καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. καὶ νῦν ὁ οἶκος ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν ἐν τῷ φωτὶ κυρίου.

κυρίου. ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ τὸν οἶκον τοῦ ἰακώβ. ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπ' ἀρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν, καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνὴρ, καὶ οὐ μὴ ἀνήσω αὐτούς. καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν, ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοὶ, ὁ δὲ ἄνθρωπος ταπεινός. καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἡμέρα γὰρ κυρίου σαβαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται, καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλάνου βασὰν, καὶ ἐπὶ ὑψηλὸν ὄρος, καὶ ἐπὶ πάντα βουνὸν ὑψηλὸν, καὶ ἐπὶ πάντα πύργον ὑψηλὸν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν, καὶ

domini. Dereliquit enim populum suum domum Iacob. Quia repleta est ut ab initio regio eorum augurijs, ut alienigenarum, & liberi multi alienigenę nati sunt eis. Repleta est enim regio eorum argento & auro. Et non fuit numerus thesaurorum eorũ. Et repleta est terra equis, & non fuit numerus curruũ eorum. Et repleta est terra abominationibus operum manuum eorum. Et adorauerunt, quos fecerũt digiti eorum. Et incuruauit se homo, & humiliatus est uir, & non dimittam eos. Et nunc ingredimini petras, & abscondimini in terram à facie timoris domini, & à gloria fortitudinis eius, quando ad frangendã terram surrexerit. Nam oculi domini sublimes, homo uerò demissus. Et humiliabitur altitudo hominum, et efferetur dominus solus in die illa. Dies enim domini Sabaoth super omnem arrogantem & superbum, et super omnem altũ & sublimem, & humiliabũtur. Et super omnes cedros Libani excelsas & & sublimes, & super omnem quercum Basan, & super altũ montem, & super omnem collem excelsum, & super omnem turrim altam, & super omnem murum excelsum, &

& super omne nauigium
maris, & super omnē aspe
ctum nauium pulchritudi
nis. Et humiliabitur om-
nis homo, & deprimetur
altitudo hominum, ac pro
uehetur dominus solus in
Luc. 23. die illa. Et manufacta om
nia abscondent, cum intu-
lerint in speluncas & in
scissuras petrarum, et in hi
atus terræ, à facie timoris
domini, & à gloria forti-
tudinis eius, cum surrexit
ad confringendam terrā.
Nam in die illa deijciet
homo idola sua argentea
& aurea, quæ fecerunt, ut
res inanes & uespertilio-
nes adorarent, ad ingredi-
endum in foramina duris-
simæ petrę, & scissuras pe
trarum, à facie timoris do
mini, & à gloria fortitudi
nis eius, cum surrexerit ad
conterendam terram. Ca-
uete uobis ab isto homi-
ne, cuius respiratio per na
res eius, quoniam in ali-
quo reputatus est.

Cap. III. Ecce nunc dominator
dominus Sabaoth auferet
de Hierusalem, & de Iu-
dæa ualidum & ualidam.
robur panis & robur a-
quæ, Gigantem & fortē,
& hominem bellatorem,
& iudicē & prophetā, &
coniectorem & presbyte
rum, & ducem uirorum
quinquaginta, & admira
bilē consiliariū, & sapien
tem architectū, & pruden
tē auditorē. Et constituam
adule-

καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ
ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους. καὶ
ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ
πεσεῖται ὕψος τῶν ἀνθρώπων, καὶ ὑ-
ψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ. καὶ τὰ χειροποίητα πάν-
τα κατακρύψουσιν, εἰσενέγκαντες
εἰς τὰ σπήλαια καὶ εἰς τὰς σχισμὰς
τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς
γῆς, ἀπὸ προσώπου τοῦ φόβου κυρίου,
καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅ-
ταν ἀναστῇ θραῦσαι τὴν γῆν. τῇ γὰρ
ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ
βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ
τὰ χρυσᾶ, ἃ ἐποίησαν προσκυνεῖν
τοῖς ματαίοις, καὶ ταῖς νυκτερίσι τοῦ
εἰσελθεῖν εἰς τὰς τρώγλας τὰς στερε-
ὰς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πε-
τρῶν, ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ
ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν
ἀναστῇ θραῦσαι τὴν γῆν. παύσα-
σθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου, ὁ ἀνα-
πνοὴ ἐν μυκτῆρι αὐτοῦ, ὅτι ἐν τί-
νι ἐλογίσθη.

Ἰδοὺ δὴ ὁ δεσπότης κύριος σαβα-
ὼθ ἀφελεῖ ἀπὸ ἰσραὴλ, καὶ ἀπὸ
τῆς ἰουδαίας ἰσχύοντα καὶ ἰσχύου-
σαν, ἰσχὺν ἄρτου ὕδατος, γίγαν-
τα καὶ ἰσχύοντα, ἄνθρωπον πο-
λεμιστὴν, καὶ δικαστὴν καὶ προφή-
την, καὶ στοχαστὴν καὶ πρεσβύτερον,
καὶ πεντηκόνταρχον, καὶ θαυμα-
στὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτο-
να καὶ συνετὸν ἀκροατήν. καὶ ἐπιστήσω
νεανίσ

νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαίκται κυριεύσουσι αὐτῶν. καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτῶν. προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, ὁ ἄτιμος πρὸς τὸν ἔντιμον, ὅτι ἐπιλησθήσεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ λέγων, ἱμάτιον ἔχεις, ἀρχηγὸς γενοῦ ἡμῶν, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπό σε ἔστω. καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ, οὐκ ἔσομαί σου ἀρχηγός, οὐδὲ γὰρ ἐν τῷ οἴκῳ μου ἐστι ἄρτος, οὐδὲ ἱμάτιον. οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου, ὅτι ἀνεῖται ἱερουσαλὴμ, καὶ ἡ ἰουδαία συμπέπτωκε, καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς κύριον ἀπειθοῦντες. διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη αὐτῶν τοῦ προσώπου ἀντέστη αὐτοῖς. τὴν δὲ ἁμαρτίαν αὐτῶν ὡς σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν, καθ' ἑαυτῶν εἰπόντες, δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι. τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ κατὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες κυριεύσουσιν ὑμῶν. λαός μου, οἱ μακα-

adulefcentulos principes eorum, & illufores dominabuntur eis: & corruet populus, homo ad hominem, & homo ad proximum fuũ. Offendet puer fenem, ignobilis nobilẽ. Quia apprehendet homo fratrem fuum, uel domefticum patris fui, dicens: Veftimẽtum habes, princeps efto nofter, & cibus meus fub te fit. Et refpondens in die illa dicet: Non ero tuus princeps, nõ enim in domo mea panis eft, neque ueftimentum. nõ ero princeps populi hui⁹, quia corruit Hierufalem, & Iudęa concidit, & linguæ eorum cum iniquitate, quæ ad dominũ pertinent, nõ credunt. Quapropter nũc humiliata eft gloria eorũ, & confufio uultus eorum reftitit eis. Peccatum uero fuum quafi Sodomorũ annunciauerunt, & manifeftauerũt. Vę animæ eorum, quoniã confuluerunt confilium malum contra fe, dicentes, Alligemus iuftum, quoniam inutilis nobis eft. Igitur fructus operum fuorum comedent. Væ iniquo, mala fecundum opera manuum eius accident ei. Popule mi exactores tui fpoliant te, & exactores dominantur tibi. Popule mi qui

uos beatos facere cupiunt, seducunt uos & semitam pedum uestorum con-
Luc. 22 turbant. Sed nunc constituetur ad iudicium dominus, & statuet ad iudicium populum suum. Ipse dominus ad iudicium ueniet cum senioribus populi, & cũ principibus suis. Vos autem quid incendistis uineam meã, & quid rapina pauperis in domibus uestris? Quid uos iniuria afficitis populũ meum, & faciem mendicorũ pudore afficitis? Dicit dominator dominus exercituum, Hęc dicit dominus. Eo quod ad honorẽ perductæ sunt filiæ Sion, & incesserunt elato collo, & in nutibus oculorum, & in progressu pedum tunicas simul trahebant, pedibusq́ simul ludebãt, et humiliabit dominus dominatrices filias Sion. Et dominus nudabit turpitudinẽ ipsarum in die illa, & auferet dominus gloriam uestimenti earum, & tunicas & fimbriatas, & torques, & bullam, & ornatum faciei earum, & compositionem ornatus gloriæ, & olfactoriola & armillas, et discriminalia et annulos, et dextralia et inaures, et circumpurpurea et clauatam purpuram, et uestimenta per domum, et perspicua Laconica, et byssina, et hyacin-

μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ. αὐτὸς κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. ὑμᾶς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; τί ὑμᾶς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν καταισχύνετε; φησὶ κύριος, κύριος στρατιῶν. τάδε λέγει κύριος, ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ ἐν νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, καὶ ταπεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας σιών. καὶ κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τοὺς κοσύμβους, καὶ τοὺς μηνίσκους, καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης, καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τοὺς δακτυλίους, καὶ τὰ περιδέξια, καὶ τὰ ἐμπλόκια ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ λακωνικὰ, καὶ τὰ βύσσινα, καὶ

τὰ

τὰ ὑακίνθινα, καὶ κόκκινα, καὶ τὴν
βύσσον, σὺν χρυσῷ καὶ ὑακίνθῳ συγ
καθυφασμένην, καὶ θέριστρα κα-
τάκλειστα. καὶ ἔσται ἀντὶ ὀσμῆς ἡ-
δείας κονιορτὸς, καὶ ἀντὶ ζώνης
σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου
τῆς κεφαλῆς τοῦ χρυσίου, φαλάκρω-
μα ἕξεις διὰ τὰ ἔργα σου. καὶ ἀντὶ
τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, περι-
ζώσῃ σάκκον. καὶ ὁ υἱός σου ὁ κάλλι-
στος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖ-
ται. καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαί-
ρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται, καὶ
πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑ-
μῶν. καὶ καταλειφθείσῃ μόνη, καὶ εἰς
τὴν γῆν ἐδαφισθήσῃ.

Et apprehendent se- ptem mulieres uirum unũ in illa die, dicentes, Panẽ nostrum comedemus, et uestimentis nostris induemur, modò tuo nomine ap pellemur. Aufero obprobrium nostrum. In die illa illucescet deus in consilio, cum gloria in terra, ut efferat, et gloriosum efficiat, quod reliquum est in Israel. Et fiet, ut qui relicti fuerint in Sion, et residui in Hierusalem, sancti uocentur, quotquot inscripti sunt ad uitam in Hierusalem. Quoniam abluet dominus sordes filiorum et filiarum Sion, et sanguinem Hierusalem purgabit de medio eius, in spiritu iudicij, et spiritu ardoris. Et ueniet, et

hyacinthina, et coccina. & byssum cũ auro et hyacintho contextã, et uestes æstiuas cõclusas. Et erit tibi pro odore suaui fœtor, et pro zona funiculo cingeris, et pro ornatu capitis aureo caluitium habebis propter opera tua. Et pro tunica clauatæ purpuræ præcingeris cilicio. Et filius tuus pulcherrimus quem diligis, gladio cadet. Et fortes uestri gladio conficientur, et humiliabuntur. Et lugebunt arcæ mundi uestri. Et derelinqueris sola, et ad terram prosterneris.

Cap. IIII

Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες
ἀνθρώπου ἑνὸς λέγουσαι, τὸν ἄρτον ἡ-
μῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡ-
μῶν περιβαλλώμεθα, πλὴν τὸ ὄνο-
μα τὸ σὸν κεκλήσθω ἐφ' ἡμᾶς, ἄφε-
λε τὸν ὀνειδισμὸν ἡμῶν. ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἐπιλάμψει ὁ θεὸς ἐν βουλῇ, με-
τὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ
δοξάσαι τὸ καταλειφθὲν τοῦ ἰσρα-
ήλ. καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν σιὼν,
καὶ τὸ καταλειφθὲν ἐν ἱερουσα-
λὴμ, ἅγιοι κληθήσονται πάντες
οἱ γραφέντες εἰς ζωὴν ἐν ἱερουσα-
λήμ. ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον
τῶν υἱῶν καὶ τῶν θυγατέρων σιὼν,
καὶ τὸ αἷμα ἱερουσαλὴμ ἐκκαθα-
ριεῖ ἐκ μέσου αὐτῶν, ἐν πνεύματι κρί-
σεως καὶ πνεύματι καύσεως. καὶ ἥξει,
καὶ

& omnem locum montis Sion, & omnia quę in circuitu eius sunt, obumbrabit nubes die, noctu uerò instar fumi & lucis ignis ardentis, omni gloria protegentur, & erit loco umbrae ab ęstu, in tegmine & in abscondito, à turbine & pluuia.

Cap.V Cantabo iam dilecto meo canticũ dilecti mei uineæ meę. Vinea facta est dilecto, in cornu, in loco opimo. Et sepimẽtũ circũ posui atq; uallaui, & institui uineam electam, & ædificaui turrim in medio eius, & torcular fodi in ea, & expectaui num uuas factura esset, sed spinas protulit. Et nunc habitatores Hierusalẽ, & homo Iuda, iudicate inter me et uineam meam. Quid faciendum erat ultra uineæ meæ, quod non fecerim ei? Quin expectaui nũ uuas proferat, sed spinas ædidit. Idcirco significabo ea uobis, quid sim facturus uineæ meæ. Auferam sepem eius, & diripietur. Destruam murum eius, & conculcabitur. Et deseram uineam meam, & nõ amputabitur neq; fodietur. Et ascendẽt in eam sicut in incultam terram uepres. Et nubibꝰ mãdabo,

ne

Hiere.2 [illegible]

καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους σιών, καὶ πάντα τὰ περὶ κύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ φωτὸς πυρὸς καιομένου νυκτός, πάσῃ τῇ δόξῃ σκεπασθήσεται. καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ, ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον σωρὴχ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ, καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, καὶ ἐποίησεν ἀκάνθας. καὶ νῦν οἱ ἐνοικοῦντες ἐν ἱερουσαλὴμ, καὶ ἄνθρωπος τοῦ ἰούδα, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. νῦν οὖν ἀναγγελῶ ὑμῖν, τί ἐγὼ ποιήσω τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδ' οὐ μὴ σκαφῇ. καὶ ἀναβήσεται εἰς αὐτὸν, ὡς εἰς χέρσον ἄκανθα. καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ

μὴ

μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ, ὁ οἶκος τοῦ ἰσραὴλ ἐστί. καὶ ὁ ἄνθρωπος τοῦ ἰούδα, νεόφυτον ἠγαπημένον. ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου σαβαὼθ ταῦτα. ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν. καὶ ὁ σπείρων ἀρτάβας ἕξ, ποιήσει μέτρα τρία. οὐαὶ οἱ ἐγειρόμενοι πρωὶ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοῦ συγκαύσει αὐτούς, μετὰ γὰρ κιθάρας, καὶ ψαλτηρίου, καὶ τυμπάνων, καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον. καὶ πλῆθος ἐγενήθη νεκρῶν, διὰ λιμὸν καὶ δίψος ὕδατος. καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξε τὸ στόμα αὐτοῦ τοῦ μὴ διαλιπεῖν. καὶ καταβήσονται οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι

ne imbres in eam effundant. Nam uinea domini sabaoth, domus Israel est. Et homo Iuda, nouella plātatio dilecta. Expectaui ut faceret iudicium, fecit autem scelus, & non iustitiam, sed clamorem. Væ illis, qui coniungūt domū cum domo & agrū cum agro copulant, ut proximo auferant aliquid. Nūqd habitatis soli in terra? Hæc audita sunt in auribus domini sabaoth. Si fuerint domus multę, & magnæ & pulchræ, erunt desertæ, et non erunt, qui habitent in eis. Vbi enim operantur decem iuga boum, ibi proueniet amphora una. Et qui seminat artabas sex, mensuras tres recipiet. Væ illis qui mane surgunt, & siceram sequuntur, & ad uesperam usq; permanent. Nam uinum succendet eos. Adhibita eñ cithara & psalterio, et tympanis et tibijs uinum bibunt, opera uerò domini non inspiciunt, et opera manuum eius non considerant. Captiuus igitur populus meus factus est, quia non cognouit ipse dominum. Et multi fame ac siti aquæ necati sunt. Et dilatauit infernus animam suam, et aperuit os suum sine intermissione. Et descendent gloriosi & magni & diuites,

diuites, & pestes eius, &
exultans in ea, & humilia
bitur homo, & despiciet
uir, & oculi sublimes de-
mittentur, & prouehetur
dominus Sabaoth in iudi
cio, et deus sanctus glorio
sus fiet in iustitia, et pascē-
tur direpti tanquā tauri,
& solitudines eorum qui
relicti sunt, agni depa-
scent. Vę qui trahitis pec
cata quasi funiculo lon-
go, & quasi iugi loro ui-
tulæ iniquitates, qui dici-
tis, citò appropinquent,
quæ faciet, ut uideamus,
& ueniat consilium san-
cti Israel, ut sciamus. Væ
qui dicitis malum bonū,
& bonum malū, statuen-
tes tenebras lucem, & lu-
cem tenebras, æstimantes
amarum dulce, et dulce a-
marum. Væ uobis qui sa-
piens uobis uidemini, &
coram uobismetipsis pru-
dentes. Væ ijs qui inter
uos robusti sunt ad biben
dum uinum & ualidi ad
miscendam siceram, qui
iustū pronunciant impro-
bum propter munera, &
iustitiam tollunt à iusto.
Propterea quemadmodū
comburetur stipula à car-
bone ignis, et consumetur
à flamma resoluta, radix
eorum tanquam lanugo erit,
et flos eorum, ut puluis a-
scendet. Non enim uolu-
erunt legem domini saba-
oth, sed oraculum sancti
Israel

πλούσιοι, καὶ οἱ λοιμοὶ αὐτοῦ, καὶ
ὁ ἀγαλλιώμενος ἐν αὐτῇ, καὶ τα-
πεινωθήσεται ἄνθρωπος, καὶ ἀ-
τιμασθήσεται ἀνὴρ, καὶ ὀφθαλμοὶ
οἱ μετέωροι ταπεινωθήσονται, καὶ
ὑψωθήσεται κύριος σαβαὼθ ἐν κρί-
ματι, καὶ ὁ θεὸς ὁ ἅγιος δοξασθή-
σεται ἐν δικαιοσύνῃ, καὶ βοσκηθήσον-
ται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ
τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρ-
νες φάγονται. οὐαὶ οἱ ἐπισπώμενοι
τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μα-
κρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως
τὰς ἀνομίας αὐτῶν, οἱ λέγοντες, τὸ
τάχος ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴ-
δωμεν. καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου
ἰσραὴλ, ἵνα γνῶμεν. οὐαὶ οἱ λέγον-
τες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν
πονηρὸν, οἱ τιθέντες τὸ σκότος φῶς,
καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ πι-
κρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. οὐαὶ
οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον
αὐτῶν ἐπιστήμονες. οὐαὶ οἱ ἰσχύοντες
ὑμῶν, οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ
δυνάσται, καὶ οἱ κεραννύντες τὸ σίκε-
ρα, οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν
δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴ-
ροντες. διὰ τοῦτο ὃν τρόπον καυθή-
σεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς,
καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνει-
μένης, ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ
τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβή-
σεται. οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου
σαβαὼθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου
ἰσραὴλ

Ἰσραὴλ παρώξυναν. καὶ ἐθυμώθη κύριος σαββαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ, ἐπέβαλε τὴν χεῖρα ἐπ' αὐτοὺς, καὶ ἐπάταξεν αὐτούς. καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κόπρια ἐν μέσῳ ὁδοῦ. καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρόθεν, καὶ συριεῖ ἀπ' ἄκρου τῆς γῆς. καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται, οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσιν, οὐδὲ κοιμηθήσονται, οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν, οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν, ὧν τὰ βέλη ὀξέα ἐστὶ, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα. οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν. οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγὶς, ὁρμῶσιν ὡς λέοντες, καὶ παρέστηκαν ὡς σκύμνοι λέοντος. καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίου, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτούς. καὶ βοήσει δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης. καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω καὶ κάτω, καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν.

Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος

Israel irritarunt. Et concitatus est furore dñs sabaoth cōtra populum suum. Et iniecit manum suam super eos, et percussit eos. Et exacerbati sūt mōtes, et facta sunt morticinia eorū quasi stercus in medio uiæ, et in omnibus his nō est auersus furor eius, sed adhuc manus eius excelsa. Quamobrem eleuabit signum in gentibus procul, et sibilabit eos ab extremo terræ. Et ecce citò leuiter ueniunt, non esurient neq; laborabunt, neque dormitabūt, neq; dormient, neq; soluent cingula eorum à lumbis suis, neque rumpentur corrigiæ calceamentorum eorum, quorū sagittæ acutæ sunt, et arcus eorum extenti. Pedes equorum eorum ut solida petra reputati sunt. Rotæ curruum eorū quasi tempestas, impetum faciunt ut leones, et astiterunt sicut catuli leonis. Et apprehēdet, et clamabit qua si fera, & eijciet, & non erit qui liberet eos. Et clamabit propter ipsos die illa, sicut uox maris inundantis. Et inspiciēt in cœlum sursum et deorsum, et ecce tenebræ crassæ in illorum egestate.

Cap. VI

Et factum est eo anno quo mortuus est rex Ozias, uidi dominum sedentem in solio excelso et eleuato, et plena domus

gloria eius. & Seraphim stabant in circuitu eius,
Apoc.4 sex alæ uni, & sex alæ alteri, duabus quidem uelabant faciem, duabus uero tegebant pedes, & duabus uolabant. Et clamabat alter ad alterum, & dicebat: Sanctus, sanctus, sanctus dominus Sabaoth, plena est omnis terra gloria eius. Et commotū est superliminare à uoce, qua clamauerunt. Et domus impleta est fumo, & dixi, O me miserum, quia compunctus sum, quia homo existens, & impura labia habens, in medio populi contaminata labia habentis ego habito, & regem dominum sabaoth uidi oculis meis. Et missus est ad me unus ex Seraphim, & in manu habebat prunam, quam forcipe tulit de altari, & tetigit os meum, & ait: Ecce tetigit hoc labia tua, & auferet iniquitates tuas, & peccata tua purgabit. Et audiui uocem domini dicentis: Quem mittam, & quis ibit ad populum istum? Et dixi: Ecce ego sum, mitte me. Et dixit, Vade, &
Mat.13 dic populo huic, audi-
Mar.4 tu audietis, & non in-
Luc.8 telligetis, & uidentes ui-
Act.24 debitis, & non uidebitis. Crassum enim effectum est cor populi huius, & auribus

τῆς δόξης αὐτοῦ, καὶ σεραφὰμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο, καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον, ἅγιος, ἅγιος, ἅγιος κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ, καὶ εἶπον, ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα κύριον σαββαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφίμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν, ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος, τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. καὶ εἶπε, πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν

ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ ὠσὶ ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. καὶ εἶπα, ἕως πότε κύριε; καὶ εἶπε, ἕως ἂν ἐρημωθῶσι πόλεις, παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς, καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς. σπέρμα ἅγιον, τὸ στήλωμα αὐτῆς.

auribus suis difficulter audierit, & oculos suos clauserit, ne forte uideat oculis, & auribus audiat, & corde intelligat, & conuertat se, & sanē eum. Et dixit, quousq; domine? Et ait, Donec desolentur ciuitates, ut non habitentur, et domus ut non sint homines, & terra relinquetur deserta. Et post hæc longe faciet deus homines, et multiplicabuntur derelicti super terram, et adhuc in ea est decimatio. Et rursum erit in deprædatione sicut terebinthus, & sicut glans quando exciderit ex theca sua. Semen sanctum, columna fundationis eius.

Rom.11 — Luc.x

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἄχαζ καὶ ἰωάθαμ τοῦ υἱοῦ ὀζίου βασιλέως ἰούδα, ἀνέβη ῥασὶν βασιλεὺς ἀρὰμ, καὶ φακεὲ υἱὸς ῥομελίου βασιλεὺς ἰσραὴλ ἐπὶ ἱερουσαλὴμ πολεμῆσαι αὐτὴν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. καὶ ἀνηγγέλη εἰς τὸν οἶκον δαβὶδ, λέγων, συνεφώνησεν ἀρὰμ πρὸς τὸν ἐφραὶμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. καὶ εἶπε κύριος πρὸς ἡσαΐαν, ἔξελθε εἰς συνάντησιν ἄχαζ σὺ, καὶ ὁ καταλειφθεὶς ἰασοὺβ ὁ υἱός σου πρὸς τὴν κολυμβήθραν τῆς

Cap.VII — 4.Reg.16

Et factum est in diebus Achaz, filij Ioatham, filij Oziæ regis Iuda, ascendit Rasin rex Aram, & & Phace filius Romeliæ rex Israel in Hierusalem, ad bellandum cōtra eam, & nō potuerūt oppugnare eam. Et nunciatum est domui Dauid à dicentibus, Consensit Aram cum Ephraim. Et commota est anima eius, & anima populi eius, quemadmodum in sylua lignum à uento mouetur. Et dixit dominus ad Hesaiā, Egredere in occursum Achaz tu, & superstes Iasub filius tuus, ad natatoriam

superioris uiæ agri fullonis, & dices ei: Obserua ut sileas, & ne timeas, neque anima tua debilitetur à duobus lignis titionum fumigantium istorũ. Cum enim ira furoris mei fuerit, iterum medebor. Et filius Arã, & filius Romeliæ, quia cõsuluerunt consilium malum, Ephraim & filius Romeliæ de te, dicentes, Ascendamus ad Iudæam, & colloquentes eis, transferemus eos ad nos, & constituemus eis . . gem Tabeel. Hæc dicit dominus sabaoth, non manebit consilium hoc, neq; erit, sed caput Aram Damascus, & caput Damasci Rasin. Sed in sexaginta & quinque annis deficiet regnum Ephraim à populo, & caput Ephraim Samariæ, & caput Samariç, filij Romeliæ. Quod si non credideritis, nequaquã intelligetis. Et perrexit dominus loqui Achaz, dicens, Pete tibi signũ à domino deo tuo, in profundum, aut in excelsum. Et dixit Achaz, Nõ petam, neq; tentabo dñm. Et dixit, Audite iã dom⁹ Iuda, nunquid parũ uobis molestiã exhibere hominibus, nisi etiã dño negocium facessatis? Propterea dabit dñs ipse uobis signũ. Ecce uirgo grauida fiet, & pariet filium, & uocabis nomẽ ei⁹ Emmanuel. Butyrum

ἄνω ὁδῦ ἀγροῦ τοῦ κναφέως, καὶ ἐρεῖς αὐτῷ, φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ γένηται, πάλιν ἰάσομαι. καὶ υἱὸς τοῦ ἀράμ, καὶ ὁ υἱὸς τοῦ ῥωμελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν, ἐφραὶμ καὶ ὁ υἱὸς ῥωμελίου περὶ σοῦ λέγοντες, ἀναβησόμεθα εἰς τὴν ἰουδαίαν, καὶ συλλαλήσαντες αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν ταβεήλ. τάδε λέγει κύριος σαββαώθ, οὐ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, ἀλλὰ κεφαλὴ ἀρὰμ δαμασκὸς, καὶ ἡ κεφαλὴ δαμασκοῦ ῥαασείμ. ἀλλ' ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν, ἐκλείψει ἡ βασιλεία ἐφραὶμ ἀπὸ λαοῦ, καὶ ἡ κεφαλὴ ἐφραὶμ σομόρων, υἱὸς τοῦ ῥωμελίου. καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. καὶ προσέθετο κύριος λαλῆσαι τῷ ἄχαζ, λέγων, αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. καὶ εἶπεν ἄχαζ, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον. καὶ εἶπεν, ἀκούσατε δὴ ὁ οἶκος δαβίδ. μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις, καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ. βούτυρον

ουτυρον καὶ μέλι φάγεται, καὶ πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ καὶ ἐκλέξασθαι τὸ ἀγαθόν. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ ἐκλέξασθαι τὸ ἀγαθόν. καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων. ἀλλὰ ἐπάξει ὁ θεὸς ἐπί σε καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν ἐφραὶμ ἀπὸ ἰούδα τὸν βασιλέα τῶν ἀσσυρίων. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ κύριος μύαις, αἳ κυριεύσουσι μέρους ποταμοῦ αἰγύπτου, καὶ τῇ μελίσσῃ ἥ ἐστιν ἐν χώρᾳ ἀσσυρίων, καὶ ἐλεύσονται, καὶ ἀναπαύσονται πάντες ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος ἐν τῷ ξυρῷ τῷ μεμεθυσμένῳ πέραν τοῦ ποταμοῦ βασιλέως ἀσσυρίων τὴν κεφαλὴν, καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα, καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα φάγεται βούτυρον, ὅτι βούτυρον καὶ γάλα φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔσται πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι

χιλίων

tyrum & mel comedet, antequã sciat ipse præpo nere mala, uel eligere bonum. Ideo antequam sciat puer bonum aut malum, dissuadet malitia eligere bonum. Et derelinquetur terra, quam tu times, à facie duorũ regum. Sed adducet super te deus, & super populum tuum, & super domum patris tui dies, quę nondum uenerunt, ex qua die abstulit Ephraim à Iuda regem Assyriorum. Atq; illo die quasi fistula aduocabit dominus muscas, quæ dominabuntur parti fluminis Ægypti, & api quæ est in regione Assyriorum, & uenient, & requiescent omnes in uallibus regionis, & in foraminibus petrarum, & in speluncis, & in omni scissura, & in omni ligno. Die illo radet dñs nouacula ebria facta transflumen regis Assyriorum caput, & pilos pedum & barbã auferet. Et die illa nutriet homo uitulam boum, & duas oues, & erit eo quod multum faciet lac, comedet butyrum. Quia butyrum & lac comedet omnis superstes in terra. Et fiet die illa ut eis locus, ubicũq; fuerint mille uites

Matth. 1
Luc. 1

millĩ

mille siclis, in solitudinem mutabuntur & in spinam. Cum sagitta et arcu ingredietur illuc, quia inculta, & uepribus referta erit uniuersa terra. Et omnis mons aratus arabitur, nō ueniet illuc terror, mutabitur enim propter solitudinem & spinam in pascua ouis, & conculcationem bouis.

Cap.VIII Et dixit dominus ad me, Sume tibi librum nouum, magnum, & scribe in eo stilo hominis, ut uelociter diripiat spolia. Adest enim, et testes mihi adhibe fideles homines, Vriam sacerdotem, & Zachariam filium Barachię. Et accessi ad prophetissam, & grauida facta peperit filium. Et dixit dominus mihi, Voca nomē eius, Citò spolia, uelociter prædare. Quia antequam sciat puer uocare patrem uel matrem, accipiet potentiā Damasci, & spolia Samariæ coram rege Assyriorum. Et perrexit dominus loqui mihi adhuc, dicens, Eo quod non uult populus iste aquam Siloam, quæ fluit leniter, sed uult habere Rasin, & filium Romeliæ regē in nobis, propter hoc, ecce dominus adducit super uos aquam fluminis fortem & multā, regē Assyriorū, & gloriam eius.

Et

χιλίων σίκλων, εἰς χέρσον ἔσονται καὶ εἰς ἄκανθαν. μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ. καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται, οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος, ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης βόσκημα προβάτου, καὶ καταπάτημα βοός.

Καὶ εἶπε κύριος πρός με, λαβὲ σεαυτῷ τόμον καινὸν, μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. πάρεισι γὰρ, καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν οὐρίαν τὸν ἱερέα, καὶ ζαχαρίαν υἱὸν βαραχίου. καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. καὶ εἶπε κύριός μοι, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν δαμασκοῦ καὶ τὰ σκῦλα σαμαρείας ἔναντι βασιλέως ἀσσυρίων. καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι, λέγων, διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν ῥαασὶν, καὶ τὸν υἱὸν ῥομελίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἰδοὺ κύριος ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, τὸν βασιλέα τῶν ἀσσυρίων, καὶ τὴν δόξαν αὐτοῦ.

καὶ

καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελῇ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου. μεθ' ὑμῶν ὁ θεός, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, ἰσχυκότες ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος. καὶ λόγον, ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ὑμῶν ὁ θεός. οὕτω λέγει κύριος, τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι τῇ πορείᾳ τῆς ὁδοῦ τοῦ λαοῦ τούτου, λέγοντες, μήποτε εἴπωσι σκληρόν. πᾶν γὰρ ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος, σκληρόν ἐστι. τὸν δὲ φόβον αὐτοῦ οὐ μὴ φοβηθῆτε, οὐδὲ μὴ ταραχθῆτε. τὸν κύριον τῶν δυνάμεων αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος. κἂν ἐπ' αὐτῷ πεποιθὼς ᾖς, ἔσται σοὶ εἰς ἁγιασμὸν, καὶ οὐχ ὡς λίθου προσκόμματι συναντήσεσθε, οὐδὲ ὡς πέτρας πτώματι. οἱ δὲ οἶκοι Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλώματι ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ. διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοί, καὶ πεσοῦνται, καὶ συντριβήσονται, καὶ ἐγγιοῦσι, καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ ὄντες. τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν

νόμον

Et ascendet in omnẽ uallem uestram, & deambulabit super omnem murũ uestrum, & auferet à Iudæa hominem, qui poterit caput leuare, aut forte perficere aliquid. Et erũt castra eius, ut impleāt latitudinẽ regionis tuæ. Nobiscum deus, scitote gentes, & uincimini, exaudite usq; ad extremũ terræ, potentes uincimini. Si enim iterũ præualueritis, iterũ uincemini. Et quodcũq; consiliũ cõsultaueritis, dissipabit dñs. Et uerbũ quodcunq; loquuti fueritis, no manebit in uobis, quia nobiscum deus. Sic dicit dominus, forti manu recesserunt ab itinere uiæ populi huius, dicentes, Ne forte dicant durum. Omne enim quodcunq; dixerit populus hic, durũ est. At timorem eius ne timueritis, neque conturbemini. Dominum uirtutũ ipsum sancte colite, & ipse erit tuus timor. Quod si ipsi confisus fueris, erit tibi in sanctificationem, & non ut lapidi offensionis occurretis, neq; ut petræ ruinę. At domus Iacob in laqueo, & cõcauitate sedentes in Hierusalẽ. Propter hoc impotentes erũt in ipsis multi, & cadent, et conterent, & appropinquabũt, et capientur homines in securitate existentes. Tunc manifesti erunt obsignantes

legem, ne discant. Et dicet, expectabo deum, qui auertit faciem suam à domo Iacob, & confidam ei. Ecce ego & pueri, quos dedit mihi deus, & erunt signa & portenta in domo Israel à domino Sabaoth, qui habitat in monte Sion. Et si dixerint ad uos, quærite uates, & de terra loquentes, & uana loquentes, qui de uentre loquentur, non'ne gentem ad deum suum requirent: Quid requirent ...nius mortuos? Legem enim adiumentum dedit, ut dicant, non sicut uerbū hoc, pro quo non munera dantur de ipso. Et ueniet super uos dura fames, et erit, ut esurietis, contristabimini, & male dicetis principi, moribusq; patrijs. Suspicient in cœlum sursum, & in terram deorsum inspicient. Ecce autem egestas est, & angor, caligo & afflictio, angustia, tenebræ, ut nihil uideatis, neque se expediet, qui in angustia est, ad lusi usque tempus. Hoc primum citò bibe.

Cap. IX
Mat. 5 Velociter fac regio Zabulon, terra Nephthalim; & reliqui maritimi, & trans Iordanem Galilæa gentium. Populus qui ambulabat in tenebris uidit lucem magnam. Habitantes


νόμον τοῦ μὴ μαθεῖν. καὶ ἐρεῖ, μενῶ τὸν θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰακώβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ θεὸς, καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ ἰσραὴλ παρὰ κυρίου σαββαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει σιών. καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς, ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνήσουσιν, οὐκ ἔθνος πρὸς θεὸν αὐτοῦ ἐκζητήσουσι; τί ἐκζητήσουσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. καὶ ἥξει ἐφ' ὑμᾶς σκληρὰ λιμὸς, καὶ ἔσται, ὡς ἂν πεινάσητε, λυπηθήσεσθε, καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. καὶ ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται. καὶ ἰδοὺ ἀπορία καὶ στενὴ, καὶ σκότος καὶ θλῖψις, καὶ στενοχωρία καὶ σκότος, ὥστε μὴ βλέπειν. καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ. τοῦτο πρῶτον ταχὺ πίε.

Ταχὺ ποίει χώρα ζαβουλὼν ἡ γῆ νεφθαλείμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν, καὶ πέραν τοῦ ἰορδάνου, γαλιλαία τῶν ἐθνῶν. ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει ἴδε φῶς μέγα. οἱ κατοικοῦντες

κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. τὸ πλεῖστον τοῦ λαοῦ κατήγαγες ἐν εὐφροσύνῃ, καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα. διότι ἀφῄρηται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασεν, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ μαδιάν, ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν· καὶ θελήσουσιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας καὶ ὑγίειαν αὐτῷ. καὶ μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν τέλος, ἐπὶ τὸν θρόνον δαβίδ, καὶ τὴν βασιλείαν αὐτοῦ, κατορθῶσαι αὐτὴν, καὶ ἀντιλαμβάνεσθαι ἐν κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. ὁ ζῆλος κυρίου σαβαὼθ ποιήσει ταῦτα. θάνατον ἀπέστειλε κύριος ἐπὶ ἰακώβ, καὶ ἦλθεν ἐπὶ ἰσραήλ, καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ ἐφραίμ, καὶ οἱ καθήμενοι ἐν σαμαρείᾳ, ἐφ' ὕβρει, καὶ

ὑψηλῇ

tantes in regione & umbra mortis, lux lucebit ſuper uos. Plurimam partem populi deduxiſti in lætitia, & lætabuntur coram te, & ij, qui lætantur in meſſe, & ij, qui ſpolia diuidunt. Quia ablatum eſt iugum, quod ſupra ipſos poſitum eſt, & uirga quæ ſuper collum eorum. Nam uirgam exactorum diſsipauit, ſicut in die Madian, quia omnem ſtolam congregatam dolo, & ueſtimentum cum commutatione reſtituent. Et uolent eſſe igne combuſti. Quia puer natus eſt nobis, et filius datus eſt nobis, cuius principatus factus eſt ſuper humero eius. Et uocat nomē eius, Magni conſilij nuncius, mirabilis cōſiliarius, deus fortis, potens, princeps pacis, pater futuri ſeculi. Adducam enim pacem ſuper principes, & ſanitatē ei. & magnus principatus illius, & pacis eius nō erit finis, ſuper thronum Dauid, & regnum eius, ut corrigat illud, & auxilietur iudicio & iuſtitię deinceps & in ſeculum. Zelus domini Sabaoth faciet hæc. Mortem miſit dominus ſuper Iacob, & uenit ſuper Iſrael, & ſcient omnis populus Ephraim, & cōſidētes in Samaria in ſuperbia. &



excelso corde, dicentes, Lateres ceciderunt, sed uenite, poliamus lapides, et excindamus sycomoros & cedros, & ædificemus nobis turres. Et allidet deus insurgentes cõtra montem Sion in eum, et inimicos eius dissipabit. Syriã à solis ortu, & Græcos à

Sup. 5 solis occasu, deuorantes Israel toto ore. In omnibus his non est auersa ira mea, sed adhuc manus excelsa. Et populus nõ est cõuersus, donec percussus est, et dominum exercituũ non quæsiuit. Et abstulit dominus ab Israel caput & caudam, magnum & paruum una die. Senem, & eos qui facies admirãtur, is principatus. Et prophetam docentem iniqua, ea cauda est. Et erunt qui beatum dicent populum istũ seducentes, et seducunt, ut absorbeant eos. Propterea adulescentulis eorum nõ delectabitur dominus. Et pupillorum eorum & uiduarum eorum non miserebitur. Quia omnes iniqui & praui, et omne os loquitur iniusta. In omnibus his non est auersa ira eius, sed adhuc manus eius excelsa. Et succendetur sicut ignis iniquitas, et sicut herba arida deuorabitur ab igni. Et ardebit in densitatibus

syluæ

ὑψηλῇ καρδίᾳ, λέγοντες, πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους, καὶ ἐκκόψωμεν συκαμίνους καὶ κέδρους, καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργους, καὶ ῥήξει ὁ θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος σιὼν ἐπ' αὐτὸν, καὶ τοὺς ἐχθροὺς αὐτοῦ διασκεδάσει, συρίαν ἀφ' ἡλίου ἀνατολῶν, καὶ τοὺς ἕλληνας ἀφ' ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν ἰσραὴλ ὅλῳ τῷ στόματι. ἐπὶ πᾶσιν τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. καὶ ὁ λαὸς οὐκ ἐπεστράφη, ἕως ἐπλήγη, καὶ τὸν κύριον τῶν δυνάμεων οὐκ ἐξεζήτησαν. καὶ ἀφεῖλε κύριος ἀπὸ ἰσραὴλ κεφαλὴν καὶ οὐρὰν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ. πρεσβύτην, καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας, αὕτη ἡ ἀρχή. καὶ προφήτην διδάσκοντα ἄνομα, οὗτος ἡ οὐρά. καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν, ὅπως καταπίωσιν αὐτούς. καὶ διὰ τοῦτο ἐπὶ τοῖς νεανίσκοις αὐτῶν οὐκ εὐφρανθήσεται ὁ κύριος. καὶ τοὺς ὀρφανοὺς αὐτῶν, καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει. ὅτι πάντες ἄνομοι καὶ πονηροί, καὶ πᾶν στόμα λαλεῖ ἄδικα. ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός. καὶ καυθήσεται ἐν τοῖς δάσεσι

τοῦ

τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα. διὰ θυμὸν ὀργῆς κυρίου συγκέκαυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς κατακεκαυμένος ὑπὸ πυρός. ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιά, ὅτι πεινάσει. καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. φάγεται γὰρ μανασσῆς τοῦ ἐφραὶμ, καὶ ἐφραὶμ τοῦ μανασσῆ, ὅτι ἅμα πολιορκήσουσι τὸν ἰούδαν. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

Οὐαὶ τοῖς γράφουσι πονηρίαν, γράφοντες γὰρ, πονηρίαν γράφουσιν. ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίματα πενήτων τοῦ λαοῦ μου, ὥστε εἶναι αὐτοῖς χήραν εἰς διαρπαγὴν, καὶ ὀρφανὸν εἰς προνομήν. καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλίψις ὑμῶν πόῤῥωθεν ἥξει, καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθῆναι; καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγὴν, καὶ ὑπὸ κάτω ἀνῃρημένων πεσοῦνται; καὶ ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ ὀργὴ, ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή. οὐαὶ ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου, καὶ ὀργή ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ, καὶ τῷ ἐμῷ λαῷ συνκατατάξω ποιῆσαι σκῦλα καὶ προνομὴν, καὶ

κατα-

syluę, et deuorabit quę in circuitu collium omnia. In ira furoris domini succensa est terra omnis, et erit populus quasi succensus ab igni. Homo fratris sui non miserebitur, sed declinabit ad dextram, quia esuriet. Et comedet à sinistris, et non saturabitur homo, comedens carnes brachij sui. Comedet enim Manasses Ephraim, et Ephraim Manasse, quia simul oppugnabunt Iudam. In his omnibus nō est auersa ira, sed adhuc manus eius excelsa.

Cap. X

Vę scribentibus iniquitatē, scribentes enim iniquitatem scribunt. Declinantes iudicium mendicorum, rapientes iudicium pauperum populi mei, ut esset ipsis uidua direptio, et pupillus pręda. Et quid facient die uisitationis? nā tribulatio uestra è longinquo loco ueniet. Et ad quem confugient, ut adiuuentur? Et ubi derelinquetis gloriam uestram, ut nō corruant in deductionem, et sub interfectis cadant? Et in omnibus his nō est auersa ira eius, sed adhuc manus eius excelsa. Vę Sup. 5. 9 Assyrijs, uirga furoris mei, et ira est in manibus eorum. Iram meam in gentem iniquā mittā, & meo populo pręcipiam, ut faciat spolia et prędam, et

conculcet ciuitates, & ponat eas in puluerem. Ipse quidem nō sic cogitauit, & animo non sic arbitratus est, tamen mutabit animum suum, ut disperdat gentes non paucas. Et si dixerint ei, tu solus es princeps: dicet, non cepi regionem quæ supra Babylonem & Chalanen, ubi turris ædificata est, at cepi Arabiam & Damascum & Samariam. Sicut cepi has, ita omnes principatus capiam. Vlulate sculptilia in Hierusalem & in Samaria. Quemadmodum enim feci Samariæ & manufactis eius, sic faciam & Hierusalem, & simulachris eius. Et cum impleuerit dominus cuncta faciendo in monte Sion & Hierusalem, inducet malum super mentem magnā, super principem Assyriorum, & super altitudinem gloriæ oculorū eius. Dixit em̄, in fortitudine faciam, & sapientia intelligentiæ auferam terminos gentium, & fortitudinem eorum prædabor. Et cōcutiam ciuitates habitatas, & orbem habitatum totum comprehendam manu ut nidum, & sicut derelicta oua tollam. Et non est qui fugiat me, aut resistat mihi, & aperiens os, & garriens. Nunquid gloriabitur securis sine incidente cū ea? Aut

καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν. αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη, καὶ τῇ ψυχῇ οὐχ οὕτως λελόγισται, ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τοῦ ἔθνη ἐξολεθρεῦσαι οὐκ ὀλίγα. καὶ ἐὰν εἴπωσιν αὐτῷ, σὺ μόνος εἶ ἄρχων, καὶ ἐρεῖ, οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω βαβυλῶνος καὶ χαλάνης, οὗ ὁ πύργος ᾠκοδομήθη. καὶ ἔλαβον ἀραβίαν καὶ δαμασκὸν καὶ σαμάρειαν, ὃν τρόπον ταύτας ἔλαβον, πάσας τὰς ἀρχὰς λήψομαι. ὀλολύξατε τὰ γλυπτὰ ἐν ἱερουσαλὴμ, καὶ ἐν σαμαρείᾳ. ὃν τρόπον γὰρ ἐποίησα σαμαρείᾳ, καὶ τοῖς χειροποιήτοις αὐτῆς, οὕτω ποιήσω καὶ τῇ ἱερουσαλὴμ, καὶ τοῖς εἰδώλοις αὐτῆς. καὶ ἔσται, ὅταν συντελέσῃ κύριος πάντα ποιῶν ἐν τῷ ὄρει σιὼν καὶ ἱερουσαλὴμ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα τῶν ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. εἶπε γάρ, ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω. καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ᾠὰ ἀρῶ. καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι, καὶ ἀνοίγων τὸ στόμα, καὶ στρουθίζων. μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθ

ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλ-
κοντος αὐτόν; ὡσαύτως ἐάν τις
ἄρῃ ῥάβδον ἢ ξύλον. καὶ οὐχ οὕ-
τως, ἀλλὰ ἀποστελεῖ κύριος σαβ-
βαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν,
καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμε-
νον καυθήσεται. καὶ ἔσται τὸ φῶς
τοῦ ἰσραὴλ εἰς πῦρ, καὶ ἁγιάσει αὐ-
τὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγε-
ται ὡσεὶ χόρτον τὴν ὕλην. τῇ ἡμέ-
ρᾳ ἐκείνῃ ἀποσβεσθήσονται τὰ ὄρη,
καὶ οἱ βουνοί, καὶ οἱ δρυμοί, καὶ
καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρ-
κῶν. καὶ ἔσται ὁ φεύγων, ὡς ὁ φεύ-
γων ἀπὸ φλογὸς καιομένης. καὶ οἱ
καταλειφθέντες ἀπ' αὐτῶν ἀρι-
θμὸς ἔσονται, καὶ παιδίον μικρὸν
γράψει αὐτούς. καὶ ἔσται ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ, οὐκέτι προστεθήσεται τὸ κα-
ταλειφθὲν ἰσραὴλ. καὶ οἱ σωθέντες τοῦ
ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν
ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς, ἀλλὰ
ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅ-
γιον τοῦ ἰσραὴλ τῇ ἀληθείᾳ. καὶ ἔ-
σται τὸ καταλειφθὲν τοῦ ἰακὼβ ἐπὶ
θεὸν ἰσχύοντα. καὶ ἐὰν γένηται ὁ λαὸς
ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης,
τὸ κατάλειμμα αὐτῶν σωθήσεται. λό-
γον γὰρ συντελῶν καὶ συντέμνων ἐν
δικαιοσύνῃ. ὅτι λόγον συντετμη-
μένον κύριος ποιήσει ἐν τῇ οἰκου-
μένῃ ὅλῃ. διὰ τοῦτο τάδε λέγει κύ-
ριος σαββαὼθ, μὴ φοβοῦ ὁ λαός μου, οἱ
κατοικοῦντες ἐν σιὼν, ἀπὸ ἀσσυρίων,
ὅτι

Aut exaltabitur serra sine
trahente eam? Similiter si
quis leuauerit uirgam uel
lignum, exaltabitur li-
gnum? Et non sic, sed mit
tet dominus Sabaoth in
tuum honorem ignomini-
am, & in tuam gloriam
ignem ardentem incen-
det. Et erit lumen Israel in
ignem, et sanctum efficiet
eum in igne ardenti, et co
medet sicut fœnum syluā.
Die illa extinguētur mon
tes, & colles & saltus, &
deuorabit ab anima usque
ad carnes Et erit fugiet
quasi fugiēs in flāma ardē-
te. Et supstites ex illis ad-
eo pauci erūt, ut puer par-
uus scribat eos. Et die il-
la nō amplius adijciet re-
siduum Israel. Et hi qui
saluati fuerint de Iacob,
non amplius cōfidunt ijs,
qui iniuriam eis faciunt,
sed confident deo sancto
Israel cum ueritate. Et erit
quod reliquum est ex Ia-
cob cum deo. Et si fuerit Rom. 9
populus Israel sicut arena Infra 28
maris, reliquiæ eorum sal
uabuntur. Verbum enim
consumens & abbreuiās
in iustitia. Quia uerbum
abbreuiatum dominus fa-
ciet in orbe terræ uniuer-
so. Propterea hæc dicit
dominus Sabaoth, Ne
timeas popule mi habi-
tātes in Sion ab Assyrijs,
quia

quia uirga percutiet te. Plagā enim inducit in te, ut uideas uiam Ægypti. Breui enim tempore cessabit ira, & suscitabit super eos dominus deus exercituū iuxta plagā Madian, in loco tribulationis. Et ira eius in uia, quæ per mare, in uiā, quæ ad Ægyptū. Et die illo auferetur iugū eius à te, & corrumpetur iugū ab humeris uestris. Veniet enim in ciuitatem Ange, & trāsibit in Mag‑do, & in Machmas ponet uasa sua, & transibit uallem, & ueniet in Angæ. In timore erit Rama, ciuitatem Saul fugiet. Voce tua sonitū ede filia Gallim, audietur Caissa, audietur in Anathoth. Obstupuit Mademena, & habitantes Gibbim. Consolemini hodie in uia, ut maneat. Consolemini in mōte filiam Sion, & colles in Hierusalem. Ecce dominator dominus Sabaoth conturbat gloriosos cum fortitudine, & excelsi superbia conterentur, & sublimes cadent, & humiliabuntur. Et cadent excelsi gladio, at Libanus cum excelsis cadet.

Et

ὅτι ἐν ῥάβδῳ πατάξει σε. πληγὴν γὰρ ἐπάγει ἐπί σε, τοῦ ἰδεῖν ὁδὸν αἰγύπτου. ἔτι γὰρ μικρὸν, καὶ παύσεται ἡ ὀργὴ, ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. καὶ ἐγερεῖ κύριος ὁ θεὸς τῶν δυνάμεων ἐπ' αὐτοὺς, κατὰ τὴν πληγὴν μαδιὰν ἐν τόπῳ θλίψεως. καὶ ὁ θυμὸς αὐτοῦ τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν ὁδὸν τὴν κατ' αἴγυπτον. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀφαιρεθήσεται ὁ ζυγὸς αὐτοῦ ἀπὸ τοῦ ὤμου σου, καὶ φόβος αὐτοῦ ἀπό σου, καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. ἥξει γὰρ εἰς τὴν πόλιν ἀγγαὶ, καὶ παρελεύσεται εἰς μαγγιδὼ, καὶ ἐν μαχμὰς θήσει τὰ σκεύη αὐτοῦ, καὶ παρελεύσεται φάραγγα, καὶ ἥξει εἰς ἀγγαί. φόβος λήψεται ῥαμὰ, πόλιν σαοὺλ φεύξεται. χρεμέτισον φωνήν σου θύγατερ γαλλείμ, ἐπακούσεται λαϊσὰ, ἐπακούσεται ἐν ἀναθώθ. καὶ ἐξέστη μαδεμηνὰ, καὶ οἱ κατοικοῦντες γιββείμ. παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι, παρακαλεῖτε τῇ χειρὶ τὸ ὄρος τὴν θυγατέρα σιὼν, καὶ οἱ βουνοὶ οἱ ἐν ἱερουσαλήμ. ἰδοὺ ὁ δεσπότης κύριος σαβαὼθ, συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ οἱ ὑψηλοὶ πεσοῦνται, καὶ ταπεινωθήσονται. καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ, ὁ δὲ λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.

Καὶ

Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα κυρίου, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας ἐμπλήσει αὐτόν. πνεῦμα φόβου θεοῦ οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς, καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ. καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ. καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός. καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ. καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων ἅμα βοσκηθήσονται, καὶ παιδίον μικρὸν ἄξει αὐτούς. καὶ βοῦς καὶ ἄρκτος ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται. καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα. καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων, καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ κακοποιήσουσιν. οὐδὲ μὴ δύνωνται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ

Et egredietur uirga de radice Iessæ, & flos de radice eius ascendet, & requiescet super eum spiritus domini, spiritus sapientiæ & intelligentiæ, spiritus consilij & fortitudinis, spiritus scientiæ & pietatis replebit eum. Spiritus timoris dei non secundum gloriã iudicabit, neque iuxta sermonem arguet, sed iudicabit humili iudicium, et arguet humiles terræ, & percutiet terram uerbo oris sui. Et in spiritu per labia impium interficiet. Et erunt iustitia cinctilumbi sui, & ueritate inuoluta latera sua. Et simul pascetur lupus cum agno. Et pardus simul accubabit cum hœdo. Et uitulus & leo & taurus simul pascentur, et puer paruus ducet eos. Et bos & ursus pascentur simul, & simul erunt catuli eorum, & leo sicut bos comedet paleas, & puer paruulus in foraminibus aspidum, & in cubile fœtuum aspidum manum immittet, & non lædent. Neq; poterũt perdere ullum in monte sancto meo. Quia repleta est omnis terra cognitione domini, sicut aqua multa operiet maria. Et erit in die illa radix Iessæ.

Cap. XI

2. Thes. 2
Infra 65

Rom. 15 Iessæ, & qui consurgit, ut princeps sit gẽtium. In ipsum gentes sperabunt. Et erit requies eius, honor. Et die illa perget dominus ostendere manum suam, ut ad emulandum excitet reliquũ populi, quod derelinquetur ab Assyrijs & ab Ægypto, & à Babylone, & ab Æthiopia, & ab Elamitis, & à solis ortu, & ab ijs, qui sunt in Arabia. Et leuabit signũ in gentes. Et cõgregabit eos, qui perierant ex Israel. Et dispersos Iuda congregabit ex quatuor alis terræ. Et auferetur zelus Ephraim, & inimici Iuda peribũt. Ephraim non æmulabitur Iudam, & Iudas non uexabit Ephraim. Et extendentur in nauibus exterorum. Mare simul prædabuntur, & eos qui à solis ortu, et Idumæam, et in Moab primum manus inijcient. At filij Ammon primum obedient. Et desolabit dominus mare Ægypti, et inijciet manum suam super flumen spiritu uiolento, et percutiet septem ualles ita, ut transiret ipse calceamentis. Et erit transitus superstiti populo meo in Ægypto. Et ueniet Israel, ut eo die quo egressus est de terra Ægypti.

Et

τοῦ ἰεσσαὶ, ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν. ἐπ᾽ αὐτὸν ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή. καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, προσθήσει ὁ κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἐὰν καταλειφθῇ ἀπὸ τῶν ἀσσυρίων, καὶ ἀπὸ αἰγύπτου, καὶ ἀπὸ βαβυλῶνος, καὶ ἀπὸ αἰθιοπίας, καὶ ἀπὸ ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ ἀραβίας. καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους ἰσραήλ. καὶ τοὺς διεσπαρμένους ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. καὶ ἀφαιρεθήσεται ὁ ζῆλος ἐφραίμ, καὶ οἱ ἐχθροὶ ἰούδα ἀπολοῦνται. ἐφραὶμ οὐ ζηλώσει ἰούδαν, καὶ ἰούδας οὐ θλίψει ἐφραίμ. καὶ πετασθήσονται ἐν πλοίοις ἀλλοφύλων. θάλασσαν ἅμα προνομεύσουσι, καὶ τοὺς ἀφ᾽ ἡλίου ἀνατολῶν, καὶ ἰδουμαίαν, καὶ ἐπὶ μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν. οἱ δὲ υἱοὶ ἀμμὼν πρῶτοι ὑπακούσονται. καὶ ἐρημώσει κύριος τὴν θάλασσαν αἰγύπτου, καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασι. καὶ ἔσται δίοδος τῷ καταλειφθέντι μου λαῷ ἐν αἰγύπτῳ. καὶ ἔσται τῷ ἰσραὴλ, ὡς τῇ ἡμέρᾳ, ὅτε ἐξῆλθεν ἐκ γῆς αἰγύπτου.

Καὶ

Καὶ ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εὐλογήσω σε κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἠλέησάς με. ἰδοὺ ὁ θεός μου σωτήρ μου, πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ, σωθήσομαι ἐν αὐτῷ, καὶ οὐ φοβηθήσομαι. διότι ἡ δόξα μου, καὶ ἡ αἴνεσίς μου κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. καὶ ἀντλήσατε ὕδωρ μετ᾽ εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὑμνεῖτε τὸν κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ. μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. ὑμνήσατε τὸ ὄνομα κυρίου, ὅτι ὑψηλὰ ἐποίησε. ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. καὶ ἀγαλλιᾶσθε, καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες σιών, ὅτι ὑψώθη ὁ ἅγιος τοῦ ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

Ὅρασις κατὰ βαβυλῶνος, ἣν εἶδεν ἡσαΐας υἱὸς ἀμὼς ἐπ᾽ ὄρους πεδινοῦ. ἄρατε σημεῖον, ὑψώσατε τὴν φωνὴν αὐτοῖς, μὴ φοβεῖσθε, παρακαλεῖτε τῇ χειρί. ἀνοίξατε οἱ ἄρχοντες, ἐγὼ συντάσσομαι, καὶ ἐγὼ ἄγω αὐτούς. γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες. φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν, φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων. κύριος σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ, ἔρχεσθαι ἐκ γῆς πόρρωθεν, ἀπ᾽ ἄκρου θεμελίου

τοῦ

Et dicet die illa, Bene- Cap.XII
dicam tibi domine, quo- Exo.15
niam cum iratus eras mi Psal.117
hi, iracundiam cohibui-
sti, et misertus es mei. Ec
ce deus meus saluator me-
us cõfidam ei, cõponar in
eo, et nõ timebo. Quoniã
gloria mea, et laus mea
dominus, et factus est mi
hi saluti. Et haurite aquã
cum gaudio ex fontibus Psal.104
salutis, et dices die illa, Ca 1.Pa.16
nite laudes domini, cum
clamore prædicate nomẽ
eius, annunciate gentibus
gloriosa eius. Memento
te, quod elatum sit nomen
eius. Laudate nomen do
mini, quoniam excelsa fe
cit, Annunciate hęc in o-
mni terra. Exultate et læ
tamini habitantes Sion,
quia prouectus est sanctus
Israel in medio eius.

Visio contra Babylo Cap.XIII
nem, quam uidit Hesaias
filius Amos super mõtem
campestrem. Extollite si
gnum, eleuate uocem eis,
ne timeatis, euocate ma-
nu. aperite principes, ego
præcipio, et ego adduco
eos. Gigantes ueniunt sa
tis factum iracundiæ meç,
gaudentes simul et iniuri
osi. Vox gentium multa
rum super montes, similis
gentium multarum, uox
regum et gentium congre
gatarũ. Dñs Sabaoth præ
cepit genti bellicosæ. Ve
nite e terra longinqua,
ab extremo fundamento
cœli,

coeli, dominus & bellatores eius, ut disperdat totũ orbem terrę. Plorate, prope enim dies domini, & uastatio à deo ueniet. Propterea omnis malus dissoluetur, & omnis anima hominis timebit. Terrebũtur legati, & dolores tales habebunt, quales sunt mulieris parturientis. Et condolebũt alter ad alterum, & stupebunt, & faciem eorum, sicut flamma, mutabunt. Ecce enim dies domini uenit insanabilis, & indignationis, furoris & irae, ad inferendum terrarum orbi uastitatem, atq; ad tollendũ sceleratos ex illa. Nam stellae coeli & Orion, & omnis ornatus coeli lumen suum non dabunt. Et tenebrae offundentur, sole oriente, neq; luna dabit lumen suum. Et mandabo orbi terrae uniuerso mala, & impijs impietates eorum. Et perdam superbiam iniquorũ, & arrogantiam superborum deprimam. Et superstites honoratiores erunt auro obryzo. Atque tum homo erit preciosior lapide ex Sapphir. Nã coelũ irascetur, & terra mouebitur à fundamẽtis suis, propter uehementiam irae domini sabaoth, eo die, quo exercetur iracundia eius. Et

τοῦ οὐρανοῦ, κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. ὀλολύζετε, ἐγγὺς γὰρ ἡ ἡμέρα κυρίου, καὶ συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει. ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν ὡς γυναικὸς τικτούσης. καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἐκστήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. ἰδοὺ γὰρ ἡμέρα κυρίου ἔρχεται ἀνίατος, καὶ μήνιδος, θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς οὐ δώσουσι. καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακά, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν. καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται ἢ ὁ λίθος ὁ ἐκ σαπφείρ. ὁ γὰρ οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς κυρίου σαβαὼθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. καὶ

καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς δορκάδιον φεῦγον, καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔσται ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ διώξεται. ὃς γὰρ ἂν ἁλῷ ἡττηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσί, πεσοῦνται μαχαίρᾳ. καὶ τὰ τέκνα αὐτῶν ῥάξουσιν ἐνώπιον αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν. ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς Μήδους, οἳ ἀργύριον οὐ λογίζονται, οὐδὲ χρυσίου χρείαν ἔχουσι. τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις οὐ φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ἔσται Βαβυλών, ἣ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γομόρρα. οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδὲ μὴ διέλθωσιν αὐτὴν ἄραβες, οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσονται ἐν αὐτῇ. καὶ ἄρα παύσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου. καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται, καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσι, καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν.

Ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ, καὶ ἡμέραι αὐτῆς οὐ μὴ ἐφελκυσθῶσι, καὶ

ἐλεήσει

Et erunt relicti quasi damula fugiens, & quasi ouis errans, & non est congregãs ita, ut homo in populum suũ conuertatur, & homo in regionem suam impellatur. Qui enim captus fuerit, erit uictus, & quicunq; cõgregati sunt, cadent per gladium. Et filios eorum conterent coram eis, & domos eorum diripient, & uxores eorũ habebunt. Ecce suscitabo uobis Medos, qui argentum negligunt, neq; auro opus habent. Arcus adolescentium conterent, ~ filiorum uestrorum nõ miserebuntur, neq; filijs tuis parcent oculi eorum. Et subuertetur Babylon, quę uocatur inclyta à regibus Chaldęorum, quemadmodum subuertit deus Sodomam & Gomorrhã. Non habitabitur in æternum, (Gen. 19) neq; ingredientur in eam per multas ætates, neq; ingredietur in eam Arabes, neque pastores requiescent in ea, sed requiescent in ea bestiæ, & implebuntur domus sonitu. Et accubabunt ibi Sirenes, & dæmones saltabunt ibi, & onocentauri illic habitabunt, & nidos construent erinacei in domibus eorum.

Cap. XIIII

Citò uenit, & non tardabit, & dies eorum non producentur, quod

misere-

miserebitur dominus Iacob, & eliget adhuc Israel, & requiescet super terram eorum, & aduena adiungetur ad domum Iacob, & accipient gentes, & ducent in locum eorũ, & possidebunt, & multiplicabuntur super terram dei in seruos & ancillas. Et erũt captiui ij, qui eos antea captiuos duxerunt, & subijcientur ij, qui antea ijs dominati sunt. Et illo die reficiet te dñs à dolore & ira tua, & seruitute tua dura, qua seruiuisti eis. Et uteris hoc plangore contra regem Babylonis, & dices die illa, Quomodo cessauit exactor, & cessauit solicitator? Contriuit dominus iugum peccatorum, iugum principũ, percutiens gentem iracundia, plaga insanabili, uerberauit gentem plaga iræ qua non pepercit, requieuit confidens. Omnis terra clamat cum lætitia, & ligna Libani gauisi sunt propter te, & cedrus Libani, ex quo tu dormiuisti, non ascendit, qui succidat nos. Infernus subtus irritatus est occurrens tibi, excitati sunt tibi omnes Gigantes, qui dominati sunt terræ, qui prouocarunt ex solijs

ἐλεήσει κύριος τὸν ἰακὼβ, καὶ ἐκλέξεται ἔτι τὸν ἰσραὴλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γιώρας προστεθήσεται πρὸς αὐτοὺς, καὶ προστεθήσονται πρὸς τὸν οἶκον ἰακὼβ, καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ θεοῦ εἰς δούλους καὶ δούλας, καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτοὺς, καὶ κυριευθήσονται οἱ κυριεύσαντες αὐτῶν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναπαύσει σε κύριος ἀπὸ τῆς ὀδύνης, καὶ τοῦ θυμοῦ σου, καὶ τῆς δουλείας σου τῆς σκληρᾶς, ἧ ἐδούλευσας αὐτοῖς. καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα βαβυλῶνος, καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής; συνέτριψε κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων. πατάξας ἔθνος θυμῷ, πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγῇ θυμοῦ, ἣ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς. πᾶσα ἡ γῆ βοᾷ μετ᾽ εὐφροσύνης, καὶ τὰ ξύλα τοῦ λιβάνου εὐφράνθησαν ἐπί σοι, καὶ ἡ κέδρος τοῦ λιβάνου ἀφ᾽ οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοί, συνηγέρθησάν σοι πάντες οἱ γίγαντες, οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ

τῶν θρόνων αὐτῶν πάντες βασιλεῖς ἐθνῶν. πάντες ἀποκριθήσονται, καὶ ἐροῦσί σοι, καὶ σὺ ἑάλως, ὥσπερ καὶ ἡμεῖς. ἐν ἡμῖν δὲ κατελογίσθης, κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου. ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατάλειμμά σου σκώληξ. πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου. καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βοῤῥᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. νῦν δὲ εἰς ᾅδου καταβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς γῆς. οἱ ἰδόντες σε θαυμάσονται ἐπί σοι, καὶ ἐροῦσιν, οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καθεῖλε, τοὺς ἐν ἀπαγωγῇ οὐκ ἔλυσε. πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ. σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίρᾳ, καταβαινόντων εἰς ᾅδου. ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. διότι τὴν γῆν μου

ἀπώ-

soliis eorum omnes reges gentium. Omnes respondebunt, & dicent tibi, Et tu captus es, sicut & nos. In nobis autem reputatus es, descendit autem ad inferos gloria tua, multaq; lætitia tua. Subter te sternent putredinem, & reliquiæ tuæ uermis erit. Quomodo cecidit de cœlo lucifer mane oriens: cōtritus es in terram, qui mittebas ad omnes gentes. Tu autem dixisti in corde tuo, In cœlum ascendam, super astra cœli ponam solium meum. Sedebo in monte sublimi, super montes excelsos, qui ad Aquilonē. Ascendam super nubes, ero similis altissimo. Nunc autem in orcū descendes, & in fundamenta terræ. Videntes te admirabuntur te, & dicent, Hic homo qui concitabat terram, qui concussit reges, qui posuit orbē terræ desertum, & ciuitates eius euertit, existentes in uinculo non soluit. Omnes reges gentiū dormierunt cum honore, homo in domo sua: tu autem proiectus eris in montibus (sicut mortuus abominabilis) cum multis mortuis, confossis gladio, descendentibus ad inferos. Quemadmodū uestimentū sanguine mixtū non erit mundū, sic neq; tu eris mundus. Quia terrā meā

 perdi-

perdidisti, & populũ meum occidisti. Non manebis in æternum tempus, semen malum. Præpara filios tuos, ut occidãtur pro peccatis patris eorum, ne resurgant, & terræ hæreditatem adeant, & impleant terram hostibus, & insurgam eis, dicit dominus Sabaoth, & perdam eorum nomen, & reliquias, & semen. Hæc dicit dominus, Ponam Babylonẽ desertam ita, ut inhabitẽt erinacei, & redigetur in nihilum. Et faciam eam lutι barathrum in perditionem. Hæc dicit dominus Sabaoth: Quemadmodũ dixi, sic fiet, & quemadmodum deliberaui, sic manebit, ut perdam Assyrios in terra mea, & in montibus meis. Et erunt in cõculcationem, & auferetur ab eis iugum eorum, & gloria eorum ab humeris auferetur. Hoc consilium quod cogitauit dominus de uniuerso terrarum orbe, & hæc manus excelsa super omnes gentes. Quæ enim deus sanctus decreuit, quis dissipabit. Et manus eius excelsam quis auertet? Anno quo mortuus est Achaz rex, factum est uerbum hoc: Ne lætemini alienigenæ omnes, contritum est enim iugum percutientis uos. Nam ex semine

serpen-

ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας. οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν. ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ, ἵνα μὴ ἀναστῶσι, καὶ κληρονομήσωσι τὴν γῆν, καὶ ἐμπλήσωσι τὴν γῆν πολεμίων. καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει κύριος σαββαώθ, καὶ ἀπολέσω αὐτῶν ὄνομα, καὶ κατάλειμμα καὶ σπέρμα. τάδε λέγει κύριος, καὶ θήσω τὴν Βαβυλωνίαν ἔρημον, ὥστε κατοικεῖν ἐχίνους, καὶ ἔσται εἰς οὐδέν. καὶ θήσω αὐτὴν πηλοῦ βάραθρον εἰς ἀπώλειαν. τάδε λέγει κύριος σαββαώθ, ὃν τρόπον εἴρηκα, οὕτως ἔσται, καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ, τοῦ ἀπολέσαι τοὺς ἀσσυρίους ἐπὶ τῆς γῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου. καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται. αὕτη ἡ βουλὴ, ἣν βεβούλευται κύριος ἐπὶ τὴν ὅλην οἰκουμένην, καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη. ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει; Τοῦ ἔτους οὗ ἀπέθανον ὁ βασιλεὺς ἄχαζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο, μὴ εὐφρανθείητε οἱ ἀλλόφυλοι πάντες. συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς. ἐκ γὰρ σπέρματος

ὄφεως

ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται, ὄφεις πετάμενοι, καὶ βοσκηθήσονται πτωχοὶ δι' αὐτοῦ. πτωχοὶ δὲ ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται. ἀνελεῖ δὲ ἐν λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ. ὀλολύξατε πύλαι πόλεων, κεκραγείτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ βοῤῥᾶ καπνὸς ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι. καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; ὅτι κύριος ἐθεμελίωσε σιών, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

Τὸ ῥῆμα τὸ κατὰ τῆς μωαβίτιδος, Νυκτὸς ἀπολεῖται ἡ μωαβῖτις. νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς μωαβίτιδος. λυπεῖσθε ἐφ' ἑαυτοῖς, ἀπολεῖται γὰρ καὶ νιβῶν, οὗ ὁ βωμὸς ὑμῶν, ἐκεῖ ἀναβήσεσθε κλαίειν, ἐπὶ ναβατὸν τῆς μωαβίτιδος. ὀλολύξατε ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα, πάντες βραχίονες κατατετμημένοι. ἐν ταῖς πλατείαις αὐτῶν περιζώσασθε σάκκους, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐν ταῖς ῥύμαις αὐτῆς πάντες ὀλολύζετε μετὰ κλαυθμοῦ. ὅτι κέκραγεν ἐσεβὼν καὶ ἐλεαλή, ἕως ἰασὰ ἠκούσθη ἡ φωνὴ αὐτῶν. διὰ τοῦτο ἡ ὀσφὺς τῆς μωαβίτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται. ἡ καρδία τῆς μωαβίτιδος βοᾷ ἐν αὐτῇ ἕως σηγώρ. δάμαλις γάρ

ſerpentum egredientur germina aſpidum. Et germina eorum egredientur, ſerpentes pennati, & paſcentur medici per ipſum. Mendici autem homines in pace requieſcent. Interficiet autē in fame ſemen tuum, & reliquias tuas interficiet. Plorate portæ ciuitatum, clament ciuitates turritæ, exteriq; omnes, quia ab Aquilone fumus uenit, & non eſt ut ſit. Et quid reſpondebunt reges gentium? Quia dominus fundauit Sion, & per ipſum ſaluabuntur humiles in populo.

Verbum contra Moab, Nocte peribit Moabitis. Nocte enim uaſtabitur murus Moabitidis. Contriſtamini in uobiſipſis, peribit enim & Nebon, ubi ara ueſtra, illuc aſcenditis ad plorandum, ſuper Nabaton Moabitidis. Plorate ſuper omne caput, caluitium, omnia brachia conciſa. in plateis eorum circumplicate uos ſaccis, & plangite ſuper tectis eius, & in uicis eius omnes ululate cū fletu. Quia clamauit Elebō & Elcale, uſq; Iaſſa audita eſt uox eorum. Propterea lūbus Moabitidis clamat, Anima ei9 cognoſcet. Cor Moabitidis clamat in ipſa uſq; Segor, Vitula enim

Cap. XV
Hiere. 48
Ezec. 25

enim est trima, super autẽ ascensum Luith. Ad te flentes ascendent uia Areniim. Clamat, contritio et concussio, aqua Nemrim deserta erit, & herba eius deficiet, herba enim uiridis nõ erit. Nũquid et sic debet saluari? Inducam enim super uallem Arabes, & capient eam. Attigit enim clamor terminũ Moabitidis, Agalim, & ululatus eius usq; ad puteum Elim, eiulationis eius. Nã aqua Debon replebitur sanguine. Inducam enim super Dibon Arabes. Et tollam semen Moab & Ariel, & reliquũ Adama.

γάρ ἐστι τριετής, ἐπὶ δὲ τῆς ἀναβάσεως τῆς λουείθ, πρός σε κλαίοντες ἀναβήσονται τῇ ὁδῷ ἀρωνιείμ. βοᾷ, σύντριμμα καὶ σεισμός, τὸ ὕδωρ τῆς νεμρείμ ἔρημον ἔσται, καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει. χόρτος γὰρ χλωρὸς οὐκ ἔσται. μὴ καὶ οὕτως μέλλει σωθῆναι; ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα ἄραβας, καὶ λήψονται αὐτήν. συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς μωαβίτιδος, τῆς ἀγαλείμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ ἐλείμ ὀλολύγματος αὐτῆς. τὸ γὰρ ὕδωρ τὸ δεβὼν πλησθήσεται αἵματος. ἐπάξω γὰρ ἐπὶ δεβὼν ἄραβας, καὶ ἀρῶ τὸ σπέρμα μωάβ, καὶ ἀριήλ, καὶ τὸ κατάλοιπον ἀδαμά.

Cap. XVI

Mittam tanquam serpentes super terram. Nunquid petra deserta est, mons filiæ Sion? Eris enim sicut auis uolãtis pullus ablatus, filia Moab. Deinde autem Arnon plura consule. Facite tegmen planctus ipsi semper. In meridianis tenebris fugiunt, obstupuerunt. Ne ducaris, habitabunt iuxta te fugitiui Moab. Erũt pro tectio uobis à facie persequentis. Quia sublatum est auxilium tuũ, & princeps periit, conculcans super terra, & emendabitur cum misericordia solium, & sedebit super illud cum ueritate in tabernaculo Dauid, iudicans & requirens iudicium, & studens iustitiæ,

Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. μὴ πέτρα ἔρημος ἔσται, τὸ ὄρος θυγατρὸς σιών; ἔσῃ γὰρ ὡς πετεινοῦ ἀνιπταμένου νεοσσὸς ἀφῃρημένος θύγατερ μωάβ, ἔπειτα δὲ ἀρνῶν πλείονα βουλεύου, ποιεῖτε σκέπην πένθους αὐτοὶ διαπαντός. ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν. μὴ ἀχθῇς, παροικήσουσί σοι οἱ φυγάδες μωάβ, ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς, καὶ διορθωθήσεται μετ᾽ ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ᾽ αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ δαβίδ, κρίνων καὶ ἐκζητῶν κρίμα, καὶ σπεύδων δικαιο-

δικαιοσύνην. ἠκούσαμεν τὴν ὕβριν
Μωάβ, ὑβριστὰ σφόδρα τὴν ὑπερη-
φανίαν, καὶ ἡ ὕβρις αὐτοῦ, καὶ ἡ
μῆνις αὐτοῦ. οὐχ οὕτως ἡ μαντεία
σου, οὐχ οὕτως. ὀλολύξει Μωάβ, ἐν
γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξου-
σι. τοῖς κατοικοῦσι Δεσὲθ μελετή-
σεις, καὶ οὐκ ἐντραπήσῃ τὰ πεδία
Ἐσεβών. πενθήσει ἄμπελος Σεβα-
μά. καταπίνοντες τὰ ἔθνη, κατα-
πατήσατε τὰς ἀμπέλους αὐτῆς, ἕως
Ἰαζήρ. οὐ μὴ συνάψητε, πλανήθη-
τε τὴν ἔρημον, οἱ ἀπεσταλμένοι ἀπ'
αὐτῆς ἐγκατελείφθησαν, διέβησαν
γὰρ τὴν θάλασσαν. διὰ τοῦτο κλαύ-
σομαι, ὡς τὸν κλαυθμὸν Ἰαζὴρ ἄμ-
πελον Σεβαμά. τὰ δένδρα σου κα-
τέβαλεν Ἐσεβών, καὶ Ἐλεαλή, ὅτι ἐ-
πὶ τῷ θερισμῷ, καὶ ἐπὶ τῷ τρυγητῷ
σου καταπατήσω, καὶ πάντα πε-
σοῦνται. καὶ ἀρθήσεται εὐφροσύνη
καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπελώ-
νων, καὶ ἐν τοῖς ἀμπελῶσί σου οὐ μὴ
εὐφρανθήσονται, καὶ οὐ μὴ πατή-
σουσιν οἶνον εἰς τὰ ὑπολήνια, πέ-
παυται γάρ. διὰ τοῦτο ἡ κοιλία μου
ἐπὶ Μωὰβ ὡς κιθάρα ἠχήσει, καὶ τὰ
ἐντός μου ὡς τεῖχος ἐνεκαίνισας. καὶ
ἔσται εἰς τὸ ἐντραπῆναί σε, ὅτι ἐκο-
πίασε Μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ
εἰσελεύσεται εἰς τὰ χειροποίητα αὐ-
τῆς, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ
δύνηται ἐξελέσθαι αὐτήν. Τοῦτο τὸ
ῥῆμα, ὃ ἐλάλησε κύριος ἐπὶ Μωάβ,
ὁπότε

iustitiæ. Audiuimus iniu-
riam Moab, contumelio-
sa ualde superbia, & iniu-
ria eius, & indignatio e-
ius. Nō sic diuinatio tua,
non sic. Vlulabit Moab,
nam in Moabitide omnes
ululabunt. In habitātibus
aūt Deseth meditaberis.
& nō confundentur cam
pi Esebon. Lugebit ui-
nea Sebama. Absorben-
tes gentes, conculcabunt
uites eius, usq; Iazer. Ne-
quaquā contingatis, erre-
tis per desertum, missi ab
ea relicti sunt, transieru
enim mare. Propterea plo
rabo in fletu Iazer uineā
Sebama. Arbores tuas de
iecit Esebon & Eleale,
quia super messe & super
uindemia tua cōculcabo,
& omnia cadent. Et aufe
retur lætitia & exultatio
de uineis. Et in uineis tuis
non lætabuntur, & non
calcabunt uineam in tor-
cularibus, cessauit enim.
Propterea uenter meus
ad Moab sicut cithara so-
nabit, & interiora mea si
cut murum renouasti, &
erit ut cōfundaris tu, quia
laborauit Moab super al
taribus. Et ingredietur ad
manufacta sua ut oret, at
non poterunt liberare e-
am. Hoc uerbū quod locu
tus est dominus ad Moab.

 quan-

quando & loquutus est. Et nunc loquutus est dominus, dicēs, In tribus annis annorum mercenarii ignominia afficietur gloria Moab, in omnibus diuitiis usq; multis. Et relinquetur paucissimus, & nō honorabilis.

SERMO CONTRA Damascum.

Cap. XVII ECce Damascus auferetur à ciuitatibus, & erit in ruinam derelicta in seculum, in cubile gregū & requiē, & non erit persequens. Et non amplius erunt munitiones, ut confugiat illuc Ephraim. Et non amplius erit regnum in Damasco, & reliquum Syrorum. Non enim tu melior es filiis Israel, & gloria eorum. Hæc dicit dominus Sabaoth: Erit die illa defectio gloriæ Iacob, & plura gloriæ eius commouebuntur. Et erit perinde, ac si quis cōgregauerit messē quæ stetit, & semē spicarū metet. Et erit perinde, ac si quis congregauerit spicam in ualle dura, & relicta fuerit in ea stipula, aut sicut grana oliuæ, duo uel tria in extremitate sublimi, uel quatuor aut quinque in ramis eorum derelinquantur. Hæc dicit dominus deus Israel, Die illa confidet homo ei, qui fecit eū, oculiq; eius in sanctum Israel respicient, et nequaquam

quam

ἐπότε καὶ ἐλάλησε. καὶ νῦν ἐλάλησε κύριος, λέγων, ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα μωάβ, παντὶ τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλιγοστὸς, καὶ οὐκ ἔντιμος.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ δαμασκοῦ.

ΙΔοὺ δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς πτῶσιν καταλελειμμένη εἰς τὸν αἰῶνα, εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν, καὶ οὐκ ἔσται ὁ διώκων. καὶ οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν ἐκεῖ τὸν ἐφραίμ. καὶ οὐκέτι βασιλεία ἐν δαμασκῷ, καὶ τὸ κατάλοιπον τῶν σύρων. οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν ἰσραὴλ, καὶ τῆς δόξης αὐτῶν. τάδε λέγει κύριος σαβαώθ, ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης ἰακώβ, καὶ τὰ πλείονα τῆς δόξης αὐτοῦ σεισθήσεται. καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα, καὶ σπέρμα σταχύων ἀμήσῃ. καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι στερεᾷ, καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο, ἢ τρεῖς ἐπ᾽ ἄκρου μετεώρου, ἢ τέσσαρες ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν καταλειφθῶσι. τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ ἰσραὴλ ἐμβλέψονται, καὶ οὐ

μὴ

μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ οὐκ ὄψονται τὰ δένδρα, οὐδὲ τὰ βδελύγματα αὐτῶν. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται αἱ πόλεις σου ἐγκαταλελειμμέναι, ὃν τρόπον κατέλιπον οἱ ἀμορραῖοι καὶ οἱ εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν ἰσραήλ. καὶ ἔσονται ἔρημοι, διότι κατέλιπες τὸν θεὸν τὸν σωτῆρά σου, καὶ κυρίου τοῦ βοηθοῦ σου οὐκ ἐμνήσθης. διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπιστον, καὶ σπέρμα ἄπιστον. τῇ δὲ ἡμέρᾳ ᾗ ἂν φυτεύσῃς, πλανηθήσῃ. τὸ δὲ πρωῒ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητὸν, ᾗ ἂν ἡμέρᾳ κληρώσῃ. καὶ ὡς πατὴρ ἀνθρώπου κληρώσει τοὺς υἱούς σου. οὐαὶ πλῆθος ἐθνῶν πολλῶν. ὡς θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε. καὶ νῶτος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει. ὡς ὕδωρ πολὺ ἔθνη πολλὰ, ὡς ὕδατος πολλοῦ βίᾳ φερομένου. καὶ ἀποσκορακιεῖ αὐτοὺς, καὶ πόρρω αὐτοὺς διώξεται, ὡς χοῦν ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸν τροχοῦ καταιγὶς φέρουσα. πρὸς ἑσπέραν ἔσται πένθος, πρὶν ἢ πρωῒ, καὶ οὐκ ἔσται. αὕτη ἡ μερὶς τῶν προνομευσάντων ὑμᾶς, καὶ κληρονομία τοῖς κληρονομοῦσιν ὑμᾶς.

Οὐαὶ γῆς πλοίων πτέρυγες, ἐπέκεινα ποταμῶν αἰθιοπίας. ὁ ἀποστέλλων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς βιβλί-

quam confident altaribus, neque operibus manuum eorum, quæ fecerunt digiti eorum, et non uidebunt arbores, neque abominationes eorum. Die illa erũt ciuitates tuæ derelictæ, quemadmodum reliquerunt Amorrhæi et Euæi à facie filiorum Israel. Et erunt desertæ; quia dereliquisti deum saluatorem tuum, et domini dei tui nõ es recordata. Propter hoc plantabis plantationem infidelem, et semen infidele. At eo die quo plantaueris, errabis. At mane si seminaueris, florebit in messem quo die sortieris. Et sicut pater hominis sortietur filios tuos. Væ multitudini gentium multarum, sicut mare inundãs sic cõturbabimini. Et sonitus gentium multarum quasi aqua sonabit. Sicut aqua multa, gentes multę, quasi aquæ multæ ui impulsæ. Et exterminabit eos, et procul eos prosequetur, sicut puluerem paleæ uentilatum à uento, et sicut puluerem rotæ, tempestate impellente. Ad uesperam erit luctus, antequam lucescat, nõ amplius erit. Hæc pars prædantiũ nos, hæc hæreditas qui nostras adeunt hæreditates.

Cap. XVIII

Væ terræ nauium alis trans flumina Æthiopię. Qui mittit in mari obsides, et epistolas char-

chartaceas super aquam.
Ibunt enim nuncii leues
ad altitudinem excelsam,
& peregrinum populum
& durum. Quis est ultra?
Gens sine spe & concul-
cata. Nunc flumina terræ
omnia, sicut regio habi-
tata, incolentur. Regio
eorum quasi in signum à
monte leuabitur, sicut tu-
bæ uox sub auditum ca-
det. Quia sic dixit domi-
nus mihi: Securitas erit in
mea ciuitate, sicut lux ar-
doris in meridie, & sicut
nubes roris diei messis.
Erit ante messem, quando
consummatus fuerit flos,
& id quod immaturũ est,
floruerit florẽ germinans.
Et auferet racemulos par
uos falcibus, & sarmenta
auferet, & abscindet, &
relinquet simul auibus
cœli, et bestiis terræ. Et
congregabuntur super e-
os uolatilia cœli, & om
nes bestiæ terræ super e-
am uenient. In tempore il
lo deferentur munera do
mino Sabaoth de populo
afflicto et euulso, & à po
pulo magno, deinceps et
in æternum tempus. Gens
sperans & cõculcata, quę
est in parte fluminis regi
onis eius, in loco ubi no-
men domini Sabaoth, in
montem sanctum.

VISIO AEGYPTI.

Cap. XIX

ECce dominus sedet su
per nubem leuem, &
ueniet in Ægyptum, &
mouebuntur

βιβλίνας ἐπάνω τοῦ ὕδατος. πορεύ-
σονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ὕψος
μετέωρον, καὶ ξένον λαὸν καὶ χα-
λεπόν. τίς αὐτῷ ἐπέκεινα; ἔθνος
ἀνέλπιστον καὶ καταπεπατημένον.
νῦν οἱ ποταμοὶ τῆς γῆς πάντες ὡς
χώρα κατοικουμένη κατοικηθήσον-
ται. ἡ χώρα αὐτῶν ὡσεὶ σημεῖον ἀπὸ ὄ-
ρους ἀρθῇ, ὡς σάλπιγγος φωνὴ ἀκου-
στὸν ἔσται. διότι οὕτως εἶπε κύριός
μοι, ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πό-
λει, ὡς φῶς καύματος μεσημβρίας,
καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμήτου
ἔσται πρὸ τοῦ θερισμοῦ ὅταν συντελε-
σθῇ ἄνθος, καὶ ὄμφαξ ἐξανθήσῃ ἄν-
θος ὀμφακίζουσα. καὶ ἀφελεῖ τὰ βοτρύ-
δια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ
τὰς κληματίδας ἀφελεῖ, καὶ ἀποκό-
ψει, καὶ καταλείψει ἅμα τοῖς πε-
τεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις
τῆς γῆς. καὶ συναχθήσεται ἐπ' αὐ-
τοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάν-
τα τὰ θηρία τῆς γῆς ἐπ' αὐτὴν ἥξει.
ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται
δῶρα κυρίῳ σαβαὼθ ἐκ λαοῦ τεθλιμ-
μένου καὶ τετιλμένου, καὶ ἀπὸ λαοῦ με-
γάλου, ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα
χρόνον. ἔθνος ἐλπίζον καὶ καταπεπα-
τημένον, ὅ ἐστιν ἐν μέρει ποταμοῦ
τῆς χώρας αὐτοῦ, εἰς τὸν τόπον οὗ τὸ ὄνο-
μα κυρίου σαβαὼθ, ὄρος ἅγιον.

ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

ΙΔοὺ κύριος κάθηται ἐπὶ νεφέλης
κούφης, καὶ ἥξει εἰς αἴγυπτον, καὶ
σεισθή-

σεισθήσεται τὰ χειροποίητα αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ. καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς, καὶ ἐπεγερθήσονται αἰγύπτιοι ἐπ᾽ αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις ἐπὶ πόλιν, καὶ νόμος ἐπὶ νόμον. καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους. καὶ παραδώσω τὴν αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν. τάδε λέγει κύριος σαββαώθ. καὶ πίονται οἱ αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται. καὶ ἐκλείψουσιν οἱ ποταμοί, καὶ αἱ διώρυγες τοῦ ποταμοῦ. καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος, καὶ ἐν παντὶ ἕλει καλάμου καὶ παπύρου, καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ, καὶ πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον. καὶ στενάξουσιν οἱ ἁλιεῖς, καὶ στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας, καὶ οἱ ἀμφιβολεῖς πενθήσουσι. καὶ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους

τὸ

mouebūtur manufacta Ægyptia à facie eius. Et cor eorum deficiet in ipsis, et insurgēt Ægyptii in Ægyptios, et oppugnabit homo fratrem suum, et homo proximum suum, ciuitas in ciuitatem, et lex in legem. Et conturbabitur spiritus Ægyptiorum in ipsis, et consilium eorum dissipabo. Et interrogabunt deos eorum, et simulacra eorum, et è terra loquentes, et aruspices. Et tradam Ægyptum in manus hominum dominorū durorum, et reges duri dominabuntur eis. Hęc dicit dominus Sabaoth. Et bibent aquā quæ iuxta mare Ægyptii. At fluuius deficiet et siccabitur, et deficient flumina et fossæ fluminis. Et siccabitur omnis congregatio aquæ, et in omni palude calami et papyri. Et uiride omne quod circum flumen, et omne quod seminabitur per flumen siccabitur, uentoq; peribit. Et gement piscatores, et gement omnes mittentes hamum in flumen, et mittentes sagenas, et expandentes retia lugebunt. Et ignominia occupabit operantes

linum

coeli, dominus & bellatores eius, ut disperdat totũ orbem terrę. Plorate, prope enim dies domini, & uastatio à deo ueniet. Propterea omnis malus dissoluetur, & omnis anima hominis timebit. Terrebũtur legati, & dolores tales habebunt, quales sunt mulieris parturientis. Et condolebũt alter ad alterum, & stupebunt, & faciem eorum, sicut flamma, mutabunt. Ecce enim dies domini uenit insanabilis, & indignationis, furoris & iræ, ad inferendum terrarum orbi uastitatem, atq; ad tollendũ sceleratos ex illa. Nam stellæ cœli & Orion, & omnis ornatus cœli lumen suum non dabunt. Et tenebræ offundentur, sole oriente, neq; luna dabit lumen suum. Et mandabo orbi terræ uniuerso mala, & impijs impietates eorum. Et perdam superbiam iniquorũ, & arrogantiam superborum deprimam. Et super stites honoratiores erunt auro obryzo. Atque tum homo erit preciosior lapide ex Sapphir. Nã cœlũ irascetur, & terra mouebitur à fundamẽtis suis, propter uehementiam iræ domini sabaoth, eo die, quo exercetur iracundia eius. Et

τοῦ οὐρανοῦ, κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. ὀλολύζετε, ἐγγὺς γὰρ ἡ ἡμέρα κυρίου, καὶ συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει. ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν ὡς γυναικὸς τικτούσης. καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἐκστήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν. ἰδοὺ γὰρ ἡμέρα κυρίου ἔρχεται ἀνίατος, καὶ μίνιδος, θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν οἰκουμένην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. οἱ γὰρ ἀστέρες τοῦ οὐρανοῦ καὶ ὁ ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς οὐ δώσουσι. καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος, καὶ ἡ σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ ὅλῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν. καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται ἢ ὁ λίθος ὁ ἐκ σαπφείρ. ὁ γὰρ οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς κυρίου σαββαὼθ, ἐν τῇ ἡμέρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. καὶ

καὶ ἔσονται οἱ καταλελειμμένοι ὡς δορκάδιον φεῦγον, καὶ ὡς πρόβατον πλανώμενον, καὶ οὐκ ἔστιν ὁ συνάγων, ὥστε ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι, καὶ ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ διώξεται. ὃς γὰρ ἂν ἁλῷ ἡττηθήσεται, καὶ οἵτινες συνηγμένοι εἰσὶ, πεσοῦνται μαχαίρᾳ. καὶ τὰ τέκνα αὐτῶν ῥάξουσιν ἐνώπιον αὐτῶν, καὶ τὰς οἰκίας αὐτῶν προνομεύσουσι, καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν. ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς μήδους, οἳ ἀργύριον οὐ λογίζονται, οὐδὲ χρυσίου χρείαν ἔχουσι. τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις οὐ φείσονται οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ἔσται βαβυλὼν, ἣ καλεῖται ἔνδοξος ἀπὸ βασιλέως χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ θεὸς σόδομα καὶ γομόρρα. οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν, οὐδὲ μὴ διέλθωσιν αὐτὴν ἄραβες, οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσονται ἐν αὐτῇ. καὶ ἀναπαύσονται ἐκεῖ θηρία, καὶ ἐμπλησθήσονται αἱ οἰκίαι ἤχου. καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες, καὶ δαιμόνια ἐκεῖ ὀρχήσονται, καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσι, καὶ νοσσοποιήσουσιν ἐχῖνοι ἐν τοῖς οἴκοις αὐτῶν.

Ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ, καὶ ἡμέραι αὐτῶν οὐ μὴ ἐφελκυσθῶσι, καὶ

ἐλεήσει

Et erunt relicti quasi damula fugiens, & quasi ouis errans, & non est congregās ita, ut homo in populum suū conuertatur, & homo in regionem suam impellatur. Qui enim captus fuerit, erit uictus, & quicunq; cōgregati sunt, cadent per gladium. Et filios eorum conterent coram eis, & domos eorum diripient, & uxores eorū habebunt. Ecce suscitabo uobis Medos, qui argentum negligunt, neq; auro opus habent. Arcus adolescentium conterent, ~ filiorum uestrorum nō miserebuntur, neq; filijs tuis parcent oculi eorum. Et subuertetur Babylon, quę uocatur inclyta à regibus Chaldęorum, quemadmodum subuertit deus Sodomam & Gomorrhā. Non habitabitur in æternum, neq; ingredientur in eam per multas ætates, neq; ingredietur in eam Arabes, neque pastores requiescent in ea, sed requiescent in ea bestiæ, & implebuntur domus sonitu. Et accubabunt ibi Sirenes, & dæmones saltabunt ibi, & onocentauri illic habitabunt, & nidos construent erinacei in domibus eorum.

Gen.19

Cap.XIIII

Citò uenit, & non tardabit, & dies eorum non producentur, quod

misere-

miserebitur dominus Iacob, & eliget adhuc Israel, & requiescet super terram eorum, & aduena adiungetur ad domum Iacob, & accipient gentes, & ducent in locum eorũ, & possidebunt, & multiplicabuntur super terram dei in seruos & ancillas. Et erũt captiui ij, qui eos antea captiuos duxerunt, & subijcientur ij, qui antea ijs dominati sunt. Et illo die reficiet te dñs à dolore & ira tua, & seruitute tua dura, qua seruiuisti eis. Et uteris hoc plangore contra regem Babylonis, & dices die illa, Quomodo cessauit exactor, & cessauit solicitator? Contriuit dominus iugum peccatorum, iugum principũ, percutiens gentem iracundia, plaga insanabili, uerberauit gentem plaga iræ qua non pepercit, requieuit confidens. Omnis terra clamat cum lætitia, & ligna Libani gauisi sunt propter te, & cedrus Libani, ex quo tu dormiuisti, non ascendit, qui succidat nos. Infernus subtus iritatus est occurrens tibi, excitati sunt tibi omnes Gigantes, qui dominati sunt terræ, qui prouocarunt ex solijs

ἐλεήσει κύριος τὸν ἰακὼβ, καὶ ἐκλέξεται ἔτι τὸν ἰσραὴλ, καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γειώρας προστεθήσεται πρὸς αὐτοὺς, καὶ προστεθήσονται πρὸς τὸν οἶκον ἰακὼβ, καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ θεοῦ εἰς δούλους καὶ δούλας, καὶ ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτοὺς, καὶ κυριευθήσονται οἱ κυριεύσαντες αὐτῶν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναπαύσει σε κύριος ἀπὸ τῆς ὀδύνης, καὶ τοῦ θυμοῦ σου, καὶ τῆς δουλείας σου τῆς σκληρᾶς, ἣ ἐδούλευσας αὐτοῖς. καὶ λήψῃ τὸν θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα βαβυλῶνος, καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν, καὶ ἀναπέπαυται ὁ ἐπισπουδαστής; συνέτριψε κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν, τὸν ζυγὸν τῶν ἀρχόντων. πατάξας ἔθνος θυμῷ, πληγῇ ἀνιάτῳ, παίων ἔθνος πληγῇ θυμοῦ, ἣ οὐκ ἐφείσατο, ἀνεπαύσατο πεποιθώς. πᾶσα ἡ γῆ βοᾷ μετ' εὐφροσύνης, καὶ τὰ ξύλα τοῦ λιβάνου εὐφράνθησαν ἐπὶ σοὶ, καὶ ἡ κέδρος τοῦ λιβάνου ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς. ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοὶ, συνηγέρθησάν σοι πάντες οἱ γίγαντες, οἱ ἄρξαντες τῆς γῆς, οἱ ἐγείραντες ἐκ τῶν

τῶν θρόνων αὐτῶν πάντες βασιλεῖς ἐθνῶν. πάντες ἀποκριθήσονται, καὶ ἐροῦσί σοι, καὶ σὺ ἑάλως, ὥσπερ καὶ ἡμεῖς. ἐν ἡμῖν δὲ κατελογίσθης, κατέβη εἰς ᾅδου ἡ δόξα σου, ἡ πολλὴ εὐφροσύνη σου. ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κατάλειμμά σου σκώληξ. πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου. καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βοῤῥᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. νῦν δὲ εἰς ᾅδου καταβήσῃ, καὶ εἰς τὰ θεμέλια τῆς γῆς. οἱ ἰδόντες σε θαυμάσονται ἐπί σοι, καὶ ἐροῦσιν, οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καθεῖλε, τοὺς ἐν ἀπαγωγῇ οὐκ ἔλυσε. πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ, ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ. σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίρᾳ, καταβαινόντων εἰς ᾅδου. ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. διότι τὴν γῆν μου

ἀπώ-

soliis eorum omnes reges gentium. Omnes respondebunt, & dicent tibi, Et tu captus es, sicut & nos. In nobis autem reputatus es, descendit autem ad inferos gloria tua, multaq; lætitia tua. Subter te sternent putredinem, & reliquiæ tuæ uermis erit. Quomodo cecidit de cœlo lucifer mane oriens: cõtritus es in terram, qui mittebas ad omnes gentes. Tu autem dixisti in corde tuo, In cœlum ascendam, super astra cœli ponam solium meum. Sedebo in monte sublimi, super montes excelsos, qui ad Aquilonẽ. Ascendam super nubes, ero similis altissimo. Nunc autem in orcũ descendes, & in fundamenta terræ. Videntes te admirabuntur te, & dicent, Hic homo qui concitabat terram, qui concussit reges, qui posuit orbẽ terræ desertum, & ciuitates eius euertit, existentes in uinculo non soluit. Omnes reges gentiũ dormierunt cum honore, homo in domo sua: tu autem proiectus eris in montibus (sicut mortuus abominabilis) cum multis mortuis, confossis gladio, descendentibus ad inferos. Quemadmodũ uestimentũ sanguine mixtũ non erit mundũ, sic neq; tu eris mundus. Quia terrã meã

 perdi-

perdidisti, & populũ meum occidisti. Non manebis in æternum tempus, semen malum. Præpara filios tuos, ut occidãtur pro peccatis patris eorum, ne resurgant, & terræ hæreditatem adeant, & impleant terram hostibus, & insurgam eis, dicit dominus Sabaoth, & perdam eorum nomen, & reliquias, & semen. Hæc dicit dominus, Ponam Babylonẽ desertam ita, ut inhabitẽt erinacei, & redigetur in nihilum. Et faciam eam lutei barathrum in perditionem. Hæc dicit dominus Sabaoth: Quemadmodũ dixi, sic fiet, & quemadmodum deliberaui, sic manebit, ut perdam Assyrios in terra mea, & in montibus meis. Et erunt in cõculcationem, & auferetur ab eis iugum eorum, & gloria eorum ab humeris auferetur. Hoc consilium quod cogitauit dominus de uniuerso terrarum orbe, & hæc manus excelsa super omnes gentes. Quæ enim deus sanctus decreuit, quis dissipabit. Et manus eius excelsam quis auertet? Anno quo mortuus est Achaz rex, factum est uerbum hoc: Ne lætemini alienigenæ omnes, contritum est enim iugum percutientis uos. Nam ex semine serpen-

ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας. οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον, σπέρμα πονηρόν. ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτῶν, ἵνα μὴ ἀναστῶσι, καὶ κληρονομήσωσι τὴν γῆν, καὶ ἐμπλήσωσι τὴν γῆν πολεμίων. καὶ ἐπαναστήσομαι αὐτοῖς, λέγει κύριος σαββαὼθ, καὶ ἀπολέσω αὐτῶν ὄνομα, καὶ κατάλειμμα καὶ σπέρμα. τάδε λέγει κύριος, καὶ θήσω τὴν βαβυλωνίαν ἔρημον, ὥστε κατοικεῖν ἐχίνους, καὶ ἔσται εἰς οὐδέν. καὶ θήσω αὐτὴν πηλοῦ βάραθρον εἰς ἀπώλειαν. τάδε λέγει κύριος σαββαὼθ, ὃν τρόπον εἴρηκα, οὕτως ἔσται, καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ, τοῦ ἀπολέσαι τοὺς ἀσσυρίους ἐπὶ τῆς γῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου. καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται. αὕτη ἡ βουλὴ, ἣν βεβούλευται κύριος ἐπὶ τὴν ὅλην οἰκουμένην, καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη. ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει; Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς ἄχαζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο, μὴ εὐφρανθείητε οἱ ἀλλόφυλοι πάντες. συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς. ἐκ γὰρ σπέρματος

ὄφιος

ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται, ὄφεις πετάμενοι, καὶ βοσκηθήσονται πτωχοὶ δι' αὐτοῦ. πτωχοὶ δὲ ἄνθρωποι ἐπ' εἰρήνης ἀναπαύσονται. ἀνελεῖ δὲ ἐν λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ. ὀλολύξατε πύλαι πόλεων, κεκραγέτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ βορρᾶ καπνὸς ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι. καὶ τί ἀποκριθήσονται βασιλεῖς ἐθνῶν; ὅτι κύριος ἐθεμελίωσε σιών, καὶ δι' αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

Τὸ ῥῆμα τὸ κατὰ τῆς μωαβίτιδος, Νυκτὸς ἀπολεῖται ἡ μωαβῖτις. νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς μωαβίτιδος. λυπεῖσθε ἐφ' ἑαυτοῖς, ἀπολεῖται γὰρ καὶ δηβών, οὗ ὁ βωμὸς ὑμῶν, ἐκεῖ ἀναβήσεσθε κλαίειν, ἐπὶ ναβαυτὸν τῆς μωαβίτιδος. ὀλολύξατε ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα, πάντες βραχίονες κατατετμημένοι. ἐν ταῖς πλατείαις αὐτῶν περιζώσασθε σάκκους, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς, καὶ ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐν ταῖς ῥύμαις αὐτῆς πάντες ὀλολύζετε μετὰ κλαυθμοῦ. ὅτι κέκραγεν ἐσεβὼν καὶ ἐλεαλή, ἕως ἰασὰ ἠκούσθη ἡ φωνὴ αὐτῶν. διὰ τοῦτο ἡ ὀσφὺς τῆς μωαβίτιδος βοᾷ, ἡ ψυχὴ αὐτῆς γνώσεται. ἡ καρδία τῆς μωαβίτιδος βοᾷ ἐν αὐτῇ ἕως σηγώρ. δάμαλις

serpentium egredientur gemimina aspidum. Et genimina eorum egredientur, serpentes pennati, & pascentur mėdici per ipsum. Mendici autem homines in pace requiescent. Interficiet autē in fame semen tuum, & reliquias tuas interficiet. Plorate portæ ciuitatum, clament ciuitates turritæ, exteriq; omnes, quia ab Aquilone fumus uenit, & non est ut sit. Et quid respondebunt reges gentium? Quia dominus fundauit Sion, & per ipsum saluabuntur humiles in populo.

Verbum contra Moab, Nocte peribit Moabitis. Nocte enim uastabitur murus Moabitidis. Contristamini in uobisipsis, peribit enim & Nebon, ubi ara uestra, illuc ascenditis ad plorandum, super Nabaton Moabitidis. Plorate super omne caput, caluitium, omnia brachia concisa. in plateis eorum circumplicate uos saccis, & plangite super tectis eius, & in uicis eius omnes ululate cū fletu. Quia clamauit Esebō & Eleale, usq; Iassa audita est uox eorum. Proptera lūbus Moabitidis clamat, Anima ei⁹ cognoscet. Cor Moabitidis clamat in ipsa usq; Segor, Vitula

Cap. XV
Hiere. 48
Ezec. 25

enim est trima, super autē ascensum Luith. Ad te flentes ascendent uia Arenijm. Clamat, contritio et concussio, aqua Nemrim deserta erit, & herba eius deficiet, herba enim uiridis nō erit. Nūquid et sic debet saluari? Inducam enim super uallem Arabes, & capient eam. Attigit enim clamor terminū Moabitidis, Agalim, & ululatus eius usq; ad puteum Elim, eiulationis eius. Nā aqua Debon replebitur sanguine. Inducam enim super Dibon Arabes. Et tollam semen Moab & Ariel, & reliquū Adama.

Cap. XVI Mittam tanquam serpentes super terram. Nunquid petra deserta est, mons filiæ Sion? Eris enim sicut auis uolātis pullus ablatus, filia Moab. Deinde autem Arnon plura consule. Facite tegmen planctus ipsi semper. In meridianis tenebris fugiunt, obstupuerunt. Ne ducaris, habitabunt iuxta te fugitiui Moab. Erūt pro tectio uobis à facie persequentis. Quia sublatum est auxilium tuū, & princeps periit, conculcans super terra, & emendabitur cum misericordia solium, & sedebit super illud cum ueritate in tabernaculo Dauid, iudicans & requirens iudicium, & studens iustitiæ.

γάρ ἐστι τριετής, ἐπὶ δὲ τῆς ἀναβάσεως τῆς λουείθ, πρός σε κλαίοντες ἀναβήσονται τῇ ὁδῷ ἀρωνιείμ. βοᾷ, σύντριμμα καὶ σεισμὸς, τὸ ὕδωρ τῆς νιμρείμ ἔρημον ἔσται, καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει. χόρτος γὰρ χλωρὸς οὐκ ἔσται. μὴ καὶ οὕτως μέλλει σωθῆναι; ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα ἄραβας, καὶ λήψονται αὐτήν. συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς μωαβίτιδος, τῆς ἀγαλείμ, καὶ ὀλολυγμὸς αὐτῆς ἕως τοῦ φρέατος τοῦ ἐλείμ ὀλολύγματος αὐτῆς. τὸ γὰρ ὕδωρ τὸ δεβὼν πλησθήσεται αἵματος. ἐπάξω γὰρ ἐπὶ διβὼν ἄραβας, καὶ ἀρῶ τὸ σπέρμα μωὰβ, καὶ ἀριήλ, καὶ τὸ κατάλοιπον ἀδαμά.

Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. μὴ πέτρα ἔρημός ἐστι, τὸ ὄρος θυγατρὸς σιών; ἔσῃ γὰρ ὡς πετεινοῦ ἀνιπταμένου νεοσσὸς ἀφῃρημένος θύγατερ μωάβ, ἔπειτα δὲ ἀρνῶν πλείονα βουλεύου, ποιεῖτε σκέπην πένθους αὐτοῖς διαπαντός. ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν, ἐξέστησαν. μὴ ἀχθῇς, παροικήσουσί σοι οἱ φυγάδες μωάβ, ἔσονται σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντος, ὅτι ἤρθη ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς, καὶ διορθωθήσεται μετ' ἐλέους θρόνος, καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀληθείας ἐν σκηνῇ δαβίδ, κρίνων καὶ ἐκζητῶν κρίμα, καὶ σπεύδων

δικαιοσ

δικαιοσύνην. ἠκούσαμεν τὴν ὕβριν
μωάβ, ὑβριστὰ σφόδρα τὴν ὑπερη-
φανίαν, καὶ ἡ ὕβρις αὐτοῦ, καὶ ἡ
μῆνις αὐτοῦ. οὐχ οὕτως ἡ μαντεία
σου, οὐχ οὕτως. ὀλολύξει μωάβ, ἐν
γὰρ τῇ μωαβίτιδι πάντες ὀλολύξου-
σι. τοῖς κατοικοῦσι δεσὲθ μελετή-
σεις, καὶ οὐκ ἐντραπήσῃ. τὰ πεδία
ἐσεβὼν. πενθήσει ἄμπελος σεβα-
μά. καταπίνοντες τὰ ἔθνη, κατα-
πατήσατε τὰς ἀμπέλους αὐτῆς, ἕως
ἰαζήρ. οὐ μὴ συνάψητε, πλανήθη-
τε τὴν ἔρημον, οἱ ἀπεσταλμένοι ἀπ᾽
αὐτῆς ἐγκατελείφθησαν, διέβησαν
γὰρ τὴν θάλασσαν. διὰ τοῦτο κλαύ-
σομαι, ὡς τὸν κλαυθμὸν ἰαζὴρ ἄμ-
πελον σεβαμά. τὰ δένδρα σου κα-
τέβαλεν ἐσεβὼν, καὶ ἐλεαλὴ, ὅτι ἐ-
πὶ τῷ θερισμῷ, καὶ ἐπὶ τῷ τρυγήτῳ
σου καταπατήσω, καὶ πάντα πε-
σοῦνται. καὶ ἀρθήσεται εὐφροσύνη
καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπελώ-
νων, καὶ ἐν τοῖς ἀμπελῶσί σου οὐ μὴ
εὐφρανθήσονται. καὶ οὐ μὴ πατή-
σουσιν οἶνον εἰς τὰ ὑπολήνια, πέ-
παυται γάρ. διὰ τοῦτο ἡ κοιλία μου
ἐπὶ μωὰβ ὡς κιθάρα ἠχήσει, καὶ τὰ
ἐντός μου ὡς τεῖχος ἐνεκαίνισας. καὶ
ἔσται εἰς τὸ ἐντραπῆναί σε, ὅτι ἐκο-
πίασε μωὰβ ἐπὶ τοῖς βωμοῖς, καὶ
εἰσελεύσεται εἰς τὰ χειροποίητα αὐ-
τῆς, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ
δύνηται ἐξελέσθαι αὐτήν. Τοῦτο τὸ
ῥῆμα, ὃ ἐλάλησε κύριος ἐπὶ μωὰβ,
ὁπότε

iustitiæ. Audiuimus iniu-
riam Moab, contumelio-
sa ualde superbia, & iniu-
ria eius, & indignatio e-
ius. Nõ sic diuinatio tua,
non sic. Vlulabit Moab,
nam in Moabitide omnes
ululabunt. In habitãtibus
aũt Deseth meditaberis,
& nõ confundentur cam-
pi Esebon. Lugebit ui-
nea Sebama. Absorben-
tes gentes, conculcabunt
uites eius, usq; Iazer. Ne-
quaquã contingatis, erre-
tis per desertum, missi ab
ea relicti sunt, transieru...
enim mare. Propterea plo-
rabo in fletu Iazer uineã
Sebama. Arbores tuas de-
iecit Esebon & Eleale,
quia super messe & super
uindemia tua cõculcabo,
& omnia cadent. Et aufe-
retur lætitia & exultatio
de uineis. Et in uineis tuis
non lætabuntur, & non
calcabunt uineam in tor-
cularibus, cessauit enim.
Propterea uenter meus
ad Moab sicut cithara so-
nabit, & interiora mea si-
cut murum renouasti, &
erit ut cõfundaris tu, quia
laborauit Moab super al-
taribus. Et ingredietur ad
manufacta sua ut oret, at
non poterunt liberare e-
am. Hoc uerbũ quod locu-
tus est dominus ad Moab,

quando & loquutus est. Et nunc loquutus est dominus, dicēs, In tribus annis annorum mercenarii ignominia afficietur gloria Moab, in omnibus diuitiis usq; multis. Et relinquetur paucissimus, & nō honorabilis.

SERMO CONTRA Damascum.

Cap. XVII

ECce Damascus aufere tur à ciuitatibus, & erit in ruinam derelicta in seculum, in cubile gregū & requiē, & non erit persequens. Et non amplius erunt munitiones, ut confugiat illuc Ephraim. Et non amplius erit regnum in Damasco, & reliquum Syrorum. Non enim tu melior es filiis Israel, & gloria eorum. Hæc dicit dominus Sabaoth: Erit die illa defectio gloriæ Iacob, & plura gloriæ eius commouebuntur. Et erit perinde, ac si quis cōgregauerit messē quæ stetit, & semē spicarū metet. Et erit perinde, ac si quis congregauerit spicam in ualle dura, & relicta fuerit in ea stipula, aut sicut grana oliuæ, duo uel tria in extremitate sublimi, uel quatuor aut quinque in ramis eorum derelinquantur. Hæc dicit dominus deus Israel, Die illa confidet homo ei, qui fecit eū, oculiq; eius in sanctum Israel respicient, et nequaquam

ὁπότε καὶ ἐλάλησε. καὶ νῦν ἐλάλησε κύριος, λέγων, ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ ἀτιμασθήσεται ἡ δόξα μωὰβ, παντὶ τῷ πλούτῳ τῷ πολλῷ, καὶ καταλειφθήσεται ὀλιγοστὸς, καὶ οὐκ ἔντιμος.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑτὰ δαμασκοῦ.

ἸΔοὺ δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς πτῶσιν καταλελειμμένη εἰς τὸν αἰῶνα, εἰς κοίτην ποιμνίων καὶ ἀνάπαυσιν, καὶ οὐκ ἔσται ὁ διώκων. καὶ οὐκέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν ἐκεῖ τὸν ἐφραίμ. καὶ οὐκέτι βασιλεία ἐν δαμασκῷ, καὶ τὸ κατάλοιπον τῶν σύρων. οὐ γὰρ σὺ βελτίων εἶ τῶν υἱῶν ἰσραὴλ, καὶ τῆς δόξης αὐτῶν. τάδε λέγει κύριος σαβαώθ, ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης ἰακὼβ, καὶ τὰ πλείονα τῆς δόξης αὐτοῦ σεισθήσεται. καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα, καὶ σπέρμα σταχύων ἀμήσῃ. καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάραγγι στερεᾷ, καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη, ἢ ὡς ῥῶγες ἐλαίας δύο, ἢ τρεῖς ἐπ' ἄκρου μετεώρου, ἢ τέσσαρες ἢ πέντε ἐπὶ τῶν κλάδων αὐτῶν καταλειφθῶσι. τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσται ὁ ἄνθρωπος ἐπὶ τῷ ποιήσαντι αὐτὸν, οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν ἅγιον τοῦ ἰσραὴλ ἐμβλέψονται, καὶ οὐ μὴ

μὴ πεποιθότες ὦσιν ἐπὶ τοῖς βω-
μοῖς, οὐδ' ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν,
καὶ οὐκ ὄψονται τὰ δένδρα, οὐδὲ τὰ
βδελύγματα αὐτῶν. τῇ ἡμέρᾳ ἐκεί-
νῃ ἔσονται αἱ πόλεις σου ἐγκαταλε-
λειμμέναι, ὃν τρόπον κατέλιπον
οἱ ἀμορραῖοι καὶ οἱ εὐαῖοι ἀπὸ προ-
σώπου τῶν υἱῶν ἰσραήλ. καὶ ἔσονται
ἔρημοι, διότι κατέλιπες τὸν θεὸν
τὸν σωτῆρά σου, καὶ κυρίου τοῦ βοη-
θοῦ σου οὐκ ἐμνήσθης. διὰ τοῦτο φυ-
τεύσεις φύτευμα ἄπιστον, καὶ σπέρ-
μα ἄπιστον. τῇ δὲ ἡμέρᾳ ᾗ ἂν φυ-
τεύσῃς, πλανηθήσῃ. τὸ δὲ πρωὶ ἐὰν
σπείρῃς, ἀνθήσει εἰς ἀμητὸν, ᾗ ἂν
ἡμέρᾳ κληρώσῃ. καὶ ὡς πατὴρ ἀνθρώ-
που κληρώσει τοὺς υἱούς σου. οὐαὶ πλῆ-
θος ἐθνῶν πολλῶν. ὡς θάλασσα κυ-
μαίνουσα, οὕτω ταραχθήσεσθε. καὶ νῶ-
τος ἐθνῶν πολλῶν ὡς ὕδωρ ἠχήσει.
ὡς ὕδωρ πολὺ ἔθνη πολλὰ, ὡς ὕδατι
τοῦ πολλοῦ βίᾳ φερομένου. καὶ ἀπο-
σκορακιεῖ αὐτοὺς, καὶ πόρρω αὐτοὺς
διώξεται, ὡς χνοῦν ἀχύρου λικμώντων
ἀπέναντι ἀνέμου, καὶ ὡς κονιορτὸν
τροχοῦ καταιγὶς φέρουσα. πρὸς ἑσπέ-
ραν ἔσται πένθος, πρὶν ἢ πρωὶ, καὶ
οὐκ ἔσται. αὕτη ἡ μερὶς τῶν προνομευ-
σάντων ὑμᾶς, καὶ κληρονομία τοῖς
κληρονομοῦσιν ὑμᾶς.

Οὐαὶ γῆς πλοίων πτέρυγες, ἐπέ-
κεινα ποταμῶν αἰθιοπίας. ὁ ἀποστέλ-
λων ἐν θαλάσσῃ ὅμηρα, καὶ ἐπιστολὰς
βιβλί-

quam confident altaribus, neque operibus manuum eorum, quæ fecerunt digiti eorum, et non uidebunt arbores, neque abominationes eorum. Die illa erũt ciuitates tuæ derelictæ, quemadmodum reliquerunt Amorrhæi et Euæi à facie filiorum Israel. Et erunt desertæ, quia dereliquisti deum saluatorem tuum, et domini dei tui nõ es recordata. Propter hoc plantabis plantationem infidelem, et semen infidele. At eo die quo plantaueris, errabis. At mane si seminaueris, florebit in messem quo die sortieris. Et sicut pater hominis sortietur filios tuos. Væ multitudini gentium multarum, sicut mare inundãs sic cõturbabimini. Et sonitus gentium multarum quasi aqua sonabit. Sicut aqua multa, gentes multę, quasi aquæ multæ ui impulsæ. Et exterminabit eos, et procul eos prosequetur, sicut puluerem paleæ uentilatum à uento, et sicut puluerem rotæ, tempestate impellente. Ad uesperam erit luctus, antequã lucescat, nõ amplius erit. Hæc pars prædantiũ nos, hæc hæreditas qui nostras adeunt hæreditates.

Cap. XVIII

Væ terræ nauium alis trans flumina Æthiopię. Qui mittit in mari obsides, et epistolas

σεισθήσεται τὰ χειροποίητα αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ. καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς, καὶ ἐπεγερθήσονται αἰγύπτιοι ἐπ' αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις ἐπὶ πόλιν, καὶ νόμος ἐπὶ νόμον. καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν αἰγυπτίων ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας, καὶ τοὺς ἐγγαστριμύθους. καὶ παραδώσω τὴν αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν, καὶ βασιλεῖς σκληροὶ κυριεύσουσιν αὐτῶν. τάδε λέγει κύριος σαβαώθ. καὶ πίονται οἱ αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει, καὶ ξηρανθήσεται. καὶ ἐκλείψουσιν οἱ ποταμοί, καὶ αἱ διώρυγες τοῦ ποταμοῦ. καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος, καὶ ἐν παντὶ ἕλει καλάμου καὶ παπύρου, καὶ τὸ ἄχι τὸ χλωρὸν πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ, καὶ πᾶν τὸ σπειρόμενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται ἀνεμόφθορον. καὶ στενάξουσιν οἱ ἁλιεῖς, καὶ στενάξουσι πάντες οἱ βάλλοντες ἄγκιστρον εἰς τὸν ποταμόν, καὶ οἱ βάλλοντες σαγήνας, καὶ οἱ ἀμφιβολεῖς πενθήσουσι. καὶ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους

τὸ

mouebūtur manufacta Ægyptia à facie eius. Et cor eorum deficiet in ipsis, et insurgēt Ægyptii in Ægyptios, et oppugnabit homo fratrem suum, et homo proximum suum, ciuitas in ciuitatem, et lex in legem. Et conturbabitur spiritus Ægyptiorum in ipsis, et consilium eorum dissipabo. Et interrogabunt deos eorum, et simulacra eorum, et è terra loquentes, et aruspices. Et tradam Ægyptum in manus hominum dominorū durorum, et reges duri dominabuntur eis. Hęc dicit dominus Sabaoth. Et bibent aquā quæ iuxta mare Ægyptii. At flumius deficiet et siccabitur, et deficient flumina et fossæ fluminis. Et siccabitur omnis congregatio aquæ, et in omni palude calami et papyri. Et uiride omne quod circum flumen, et omne quod seminabitur per flumen siccabitur, uentoq; peribit. Et gement piscatores, et gement omnes mittentes hamum in flumen, et mittentes sagenas, et expandentes retia lugebunt. Et ignominia occupabit operantes

linum

linum fissile, & operantes byssum, & operabuntur ea in dolore, & omnes facientes zythum contristabuntur, & animabus dolebunt. Et stulti erunt principes Taneos. Sapientes consiliarij regis, & consilium eorum ad stultitiam conuertetur. Quomodo dicetis regi filij prudentum, Nos filij regum eorum qui ab initio, ubi sunt nunc sapientes tui & annuncient tibi? Et dicant, quid consilij cepit dominus Sabaoth super Ægyptum. Defecerunt principes Taneos, & exaltati sunt principes Mempheos, & decipient Ægyptũ & tribus. Dominus enim infusit eis spiritũ erroris, & seduxerunt Ægyptum in om̃ibus operibus eius, sicut errat ebrius & uomens simul. Et non erit Ægyptiis opus, quod faciet caput & caudã, principium & finem. Die illa erunt Ægyptij sicut mulieres in tremore & in timore à facie manus domini Sabaoth, quam ipse iniiciet eis. Et erit regio Iudæorum Ægyptiis terrori. Omnis qui nominauerit eam ipsis, timebunt per consilium, quod dominus Sabaoth decreuit super illam. Die

illa

τὸ λινὸν τὸ σχιστὸν, καὶ τοὺς ἐργαζομένους τὴν βύσσον, καὶ ἔσονται οἱ ἐργαζόμενοι αὐτὰ ἐν ὀδύνῃ, καὶ πάντες οἱ ποιοῦντες τὸν ζυθὸν λυπηθήσονται, καὶ τὰς ψυχὰς πονέσουσι. καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες τάνεως. οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐτῶν μωρανθήσεται. πῶς ἐρεῖτε τῷ βασιλεῖ υἱοὶ συνετῶν, ἡμεῖς υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς, ποῦ εἰσι νῦν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι; καὶ εἰπάτωσαν, τί βεβούλευται κύριος σαββαὼθ ἐπ' αἴγυπτον; ἐξέλιπον οἱ ἄρχοντες τάνεως, καὶ ὑψώθησαν οἱ ἄρχοντες μέμφεως, καὶ πλανήσουσιν τὴν αἴγυπτον καὶ τὰς φυλάς. κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως, καὶ ἐπλάνησαν αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων, καὶ ὁ ἐμῶν ἅμα. καὶ οὐκ ἔσται τοῖς αἰγυπτίοις ἔργον, ὃ ποιήσει κεφαλὴν καὶ οὐρὰν, καὶ ἀρχὴν καὶ τέλος. τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ αἰγύπτιοι ὡς γυναῖκες ἐν φόβῳ καὶ τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς κυρίου σαββαὼθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. καὶ ἔσται ἡ χώρα τῶν ἰουδαίων τοῖς αἰγυπτίοις εἰς φόβητρον. πᾶς δὲ ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν βουλὴν, ἣν βεβούλευται κύριος σαββαὼθ ἐπ' αὐτήν. τῇ ἡμέ

ρᾳ ἐκείν

ρᾳ ἐκείνῃ ἔσονται πέντε πόλεις ἐν
τῇ αἰγύπτῳ, λαλοῦσαι τῇ γλώσσῃ τῇ
χαναανίτιδι, καὶ ὀμνύουσαι τῷ ὀνόμα-
τι κυρίου σαβαώθ. πόλις ἀσεδὲκ
κληθήσεται ἡ μία πόλις. τῇ ἡμέρᾳ
ἐκείνῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ
ἐν χώρᾳ αἰγυπτίων, καὶ στήλη πρὸς
τὸ ὅριον αὐτῆς τῷ κυρίῳ. καὶ ἔσται εἰς
σημεῖον εἰς τὸν αἰῶνα κυρίῳ ἐν χώ-
ρᾳ αἰγύπτου. ὅτι κεκράξονται πρὸς κύ-
ριον διὰ τοὺς θλίβοντας αὐτοὺς, καὶ
ἀποστελεῖ αὐτοῖς ἄνθρωπον, ὃς σώσει
αὐτοὺς, κρίνων σώσει αὐτούς. καὶ
γνωστὸς ἔσται κύριος τοῖς αἰγυπτί-
οις. καὶ γνώσονται οἱ αἰγύπτιοι τὸν
κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ποιή-
σουσι θυσίας, καὶ δῶρον, καὶ εὔξονται
εὐχὰς τῷ κυρίῳ, καὶ ἀποδώσουσι. καὶ
πατάξει κύριος τοὺς αἰγυπτίους
πληγῇ, καὶ ἰάσεται αὐτοὺς, καὶ ἐ-
πιστραφήσονται πρὸς κύριον, καὶ εἰσα-
κούσεται αὐτῶν, καὶ ἰάσεται αὐτοὺς
ἰάσει. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἡ ὁδὸς
αἰγύπτου πρὸς ἀσσυρίους, καὶ εἰσελεύ-
σονται ἀσσύριοι εἰς αἴγυπτον, καὶ αἰγύ-
πτιοι πορεύσονται πρὸς ἀσσυρίους. καὶ
δουλεύσουσιν αἰγύπτιοι τοῖς ἀσσυρί-
οις. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἰσραὴλ
τρίτος ἐν τοῖς αἰγυπτίοις, καὶ ἐν τοῖς
ἀσσυρίοις εὐλογημένος ἐν τῇ γῇ,
ἣν εὐλόγησε κύριος σαβαὼθ, λέ-
γων, εὐλογημένος ὁ λαός μου ὁ ἐν αἰ-
γύπτῳ, καὶ ὁ ἐν ἀσσυρίοις, καὶ ἡ κληρο-
νομία μου ἰσραήλ.

illa quinque ciuitates i 18
terra Ægypti, loquentur
lingua Chananaica, & iu
rabunt nomini domini Sa
baoth. Ciuitas Asedec uo
cabitur una ciuitas. Die il
la erit altare domino in re
gione Ægyptiorum, &
titulus ad terminum eius
domino. Et erit in signũ
in seculum domino, in re
gione Ægypti. Quia cla
mabunt ad dominum, pro
pter affligantes eos. Et
mittet eis hominem, qui
saluabit eos, iudicans sal-
uabit eos. Et notus erit do
minus Ægyptiis. Et co-
gnoscent Ægyptii domi
nũ in die illa. Et facient sa
crificium & donũ, & uo-
uebunt uota domino, &
reddent. Et percutiet do-
minus Ægyptios plaga,
& sanabit eos, & conuer-
tentur ad dominum et ex
audiet eos, & medebitur
illis medicina. Die illa e-
rit uia Ægypti ad Assyri
os, & ingredientur Assy-
rii in Ægyptum, & Æ-
gyptii ibunt ad Assyrios.
Et seruient Ægyptii As-
syriis. Die illa erit Israel
tertius inter Ægyptios et
inter Assyrios benedictus
in terra. cui benedixit do
minus Sabaoth, dicens,
Benedictus populus me-
us qui in Ægypto, et qui
in Assyriis, & hæreditas
mea Israel.

Anno

Cap.XX Anno quo ingressus est Nathan in Azotum, quando missus est ab Arna regione Assyriorum, & oppugnauit Azotum, & cepit eam, tunc loquutus est dominus ad Hesaiam, dicens, Vade & aufer saccum de lumbis tuis, & calceamenta tua solue à pedibus tuis, & fac ut incedas nudus & discalceatus. Et dixit dominus, Quemadmodum ambulauit Hesaias seruus meus nudus, & sine calceis sic tribus annis erunt signa & portenta Ægyptiis & Æthiopibus, quia sic ducet rex Assyriorum captiuitatem Ægypti & Æthiopũ, iuuenes et senes, nudos & discalceatos, atque unà opertos dedecore Ægypti. Et confundentur uicti Ægyptij in Æthiopibus, in quibus fuerant cõfisi Ægyptii, erant enim eis gloria. Et dicent habitantes in insula hac illo die, Ecce nos fuimus confisi, ut fugeremus ad eos pro auxilio, cum ipsi non potuerunt saluari à regibus Assyriorum, quomodo nos saluabimur?

VISIO DESERTI.

Cap.XXI Aba.2 Ioan.3 Sicut tempestas per desertum transit de deserto, ueniẽs de terra, ita horribilis uisio & dura annunciata est mihi. Praeuaricator præuaricatur, iniquus

Τοῦ ἔτους οὗ εἰσῆλθε ναθὰν εἰς ἄζωτον, ἡνίκα ἀπεστάλη ὑπὸ ἀρνᾶ βασιλέως ἀσυρίων, καὶ ἐπολέμησε τὴν ἄζωτον, καὶ κατελάβετο αὐτήν, τότε ἐλάλησε κύριος πρὸς ἡσαΐαν υἱὸν ἀμώς, λέγων, πορεύου, καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου, καὶ τὰ σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου. καὶ ποίησον οὕτως πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. καὶ εἶπε κύριος, ὃν τρόπον πεπόρευται ὁ παῖς μου ἡσαΐας γυμνὸς καὶ ἀνυπόδετος, τρία ἔτη ἔσται εἰς σημεῖα καὶ τέρατα τοῖς αἰγυπτίοις καὶ αἰθίοψιν, ὅτι οὕτως ἄξει βασιλεὺς ἀσυρίων τὴν αἰχμαλωσίαν αἰγύπτου, καὶ αἰθιόπων νεανίσκους, καὶ πρεσβύτας γυμνούς, καὶ ἀνυποδέτους ἅμα κεκαλυμμένους τὴν αἰσχύνην αἰγύπτου. καὶ αἰσχυνθήσονται ἡττηθέντες ἐπὶ τοῖς αἰθίοψιν, ἐφ' οἷς ἦσαν πεποιθότες οἱ αἰγύπτιοι, ἦσαν γὰρ αὐτοῖς δόξα. καὶ ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν, οὐκ ἠδύναντο σωθῆναι ἀπὸ βασιλέως ἀσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα;

ΤΟ ΡΗΜΑ ΤΗΣ ἐρήμου.

Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς φοβερὸν τὸ ὅραμα, καὶ σκληρὸν ἀνηγγέλη μοι. ὁ ἀθετῶν ἀθετεῖ, ὁ ἀνομῶν ἀνο-

μεῖ

μεῖ. ἐπ' ἐμοὶ οἱ ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν περσῶν ἐπ' ἐμὲ ἔρχονται. νῦν στενάξω, καὶ παρακαλέσω ἐμαυτόν. διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως, καὶ ὠδῖνες ἔλαβόν με ὡς τὴν τίκτουσαν. ἠδίκησα τὸ μὴ ἀκοῦσαι, ἐσπούδασα τὸ μὴ βλέπειν. ἡ καρδία μου πλανᾶται, καὶ ἡ ἀνομία με βαπτίζει. ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον. ἑτοιμάσατε τὴν τράπεζαν, φάγετε, πίετε. ἀναστάντες οἱ ἄρχοντες ἀνασπάσατε θυρεούς, ὅτι οὕτως εἶπε πρός με κύριος, βαδίσας σεαυτῷ στῆσον σκοπὸν, καὶ ὃ ἂν ἴδῃς, ἀνάγγειλον. καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο, καὶ ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. ἀκρόασαι ἀκρόασιν πολλὴν, καὶ κάλεσον οὐρίαν εἰς τὴν σκοπιὰν κυρίου. καὶ εἶπεν, ἔστην διὰ παντὸς ἡμέρας, καὶ ἐπὶ τῆς παρεμβολῆς, ἐγὼ ἔστην ὅλην τὴν νύκτα, καὶ ἰδοὺ αὐτὸς ἔρχεται ἀναβάτης συνωρίδος. καὶ ἀποκριθεὶς εἶπε, πέπτωκε βαβυλὼν, καὶ πάντα τὰ ἀγάλματα αὐτῆς, καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβησαν εἰς τὴν γῆν. ἀκούσατε οἱ καταλελειμμένοι, καὶ οἱ ὀδυνώμενοι ἀκούσατε, ἃ ἤκουσα παρὰ κυρίου σαββαὼθ, ὁ θεὸς τοῦ ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ἰδουμαίας.

Πρὸς ἐμὲ καλεῖ παρὰ τοῦ σηεὶρ, φυλάσσετε ἐπάλξεις. φυλάσσω τὸ πρωῒ καὶ τὴν νύκτα. ἐὰν ζητῇς, ζήτει, καὶ

iniquus inique agit. Contra me Elamitæ, & legati Persarum contra me uenerunt. Nunc ingemiscam, et consolabor me ipse. Propter hoc repleti sunt lumbi mei dissolutione, & dolores apprehenderunt me sicut parientem. Inique egi, ne audirem, operā dedi, ne uiderem. cor meum aberrat, & iniquitas me immergit. Anima mea in iecta est timorem. Parate mēsam, bibite, comedite. Surgentes principes arripite clypeos, quia sic dixit dominus ad me, Abi, tibi statue speculatorem, & quodcunq; uideris, annuncia. Et uidi ascensores equites duos, ascensorem asini, & ascensorem cameli. Audi auditionem multam, & uoca Vrian in speculam domini. Et dixit, Steti per totum diem, & super castra steti totam noctem, & ecce ipse uenit ascensor bigæ. Et respondens ait: Cecidit Babylō, & omnia simulacra eius, & manufacta eius contrita sunt in terram. Audite derelicti, & dolentes audite, quæ audiui à domino Sabaoth, deus Israel annunciauit nobis.

Aba.2
Hiere.51
Apo.14

VISIO IDVMææ.

AD me clamat de Siir, Custodite propugnacula. custodio mane et noctem. Si quæsieris, quære. Et

Et apud me habita, in saltu uesperi dormies, aut in uia Dædan. In occursum sitienti aquam ferte, habitantes in regione Thæman. Panibus occurrite fugientibus, propter multitudinem occisorum, & propter multitudinem errantium, & propter multitudinem gladiorum, & propter multitudinem arcuum extentorum, & propter multitudinē eorum, qui ceciderunt in bello. Quia sic dixit mihi dominus. Adhuc anno (qui est q[illegible] nnus mercenarii) deficiet gloria Cedar. Et quod reliquum sagittarū fortium filiorum Cedar, erit parum, quia dominus locutus est deus Israel.

VISIO VALlis Sion.

Cap. XXII QVid factum est tibi, quod nunc ascendistis omnes tecta uana? Impleta est ciuitas clamantibus, uulnerati tui, non uulnerati gladijs, neque mortui tui occubuere bello. Omnes primates tui fugerunt, & capti grauiter uincti sunt, & fortes in te longè fugerūt. Propterea dixi, dimittite me, amarè flebo. Nolite cōtēdere, ut cōsolemini me in cōtritione filię generis mei. Quia dies tumultus & interitus & cōculcationis, et error à do-

καὶ παρ' ἐμοὶ οἴκει, ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθῇς, ἢ ἐν τῇ ὁδῷ δαιδάν. εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε οἱ ἐνοικοῦντες ἐν χώρᾳ θαιμάν, ἄρτοις συναντᾶτε τοῖς φεύγουσιν διὰ τὸ πλῆθος τῶν πεφονευμένων, καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων, καὶ διὰ τὸ πλῆθος τῆς μαχαίρας, καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων, καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ. διότι οὕτως εἶπέ μοι κύριος, ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ, ἐκλείψει ἡ δόξα τῶν υἱῶν κηδάρ, καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν ἰσχυρῶν υἱῶν κηδὰρ ἔσται ὀλίγον, διότι κύριος ἐλάλησε ὁ θεὸς ἰσραήλ.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΦΑραγγος σιών.

ΤΙ ἐγένετό σοι, ὅτι νῦν ἀνέβητε πάντες εἰς δώματα μάταια; ἐνεπλήσθη ἡ πόλις βοώντων, οἱ τραυματίαι σου οὐ τραυματίαι ἐν μαχαίραις, οὐδὲ οἱ νεκροί σου νεκροὶ πολέμων. πάντες οἱ ἄρχοντές σου πεφεύγασι, καὶ οἱ ἁλόντες σκληρῶς δεδεμένοι εἰσί, καὶ οἱ ἰσχύοντες ἐν σοὶ πόῤῥω πεφεύγασι. διὰ τοῦτο εἶπα, ἄφετέ με, πικρῶς κλαύσομαι. μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου, ὅτι ἡμέρα ταραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος· καὶ πλάνησις

παρὰ

παρὰ κυρίου σαβαώθ. ἐν φάραγγι σιὼν πλανῶνται, ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη. οἱ δὲ ἐλαμῖται ἔλαβον φαρέτρας, καὶ ἀναβάται ἄνθρωποι ἐφ' ἵπποις, καὶ συναγωγὴ παρατάξεως. καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου, πλησθήσονται ἁρμάτων, οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου, καὶ ἀνακαλύψουσι τὰς πύλας ἰούδα. καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως, καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας δαβίδ. καὶ εἴδοσαν, ὅτι πλείους εἰσί, καὶ ὅτι ἀπέστρεψαν τὸ ὕδωρ τῆς ἀρχαίας κολυμβήθρας εἰς τὴν πόλιν, καὶ ὅτι καθείλοσαν τοὺς οἴκους ἱερουσαλὴμ εἰς ὀχυρώματα τείχους τῇ πόλει, καὶ ἐποιήσατε αὐτοῖς ὕδωρ ἀνὰ μέσον τῶν δύο τειχῶν, ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπ' ἀρχῆς ποιήσαντα αὐτὴν, καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε. καὶ ἐκάλεσε κύριος σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς κλαυθμὸν καὶ κοπετὸν, καὶ ξύρησιν καὶ ζῶσιν σάκκων, αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ ἀγαλλίαμα, σφάζοντες μόσχους, καὶ θύοντες πρόβατα, ὥστε φαγεῖν κρέατα, καὶ πιεῖν οἶνον, λέγοντες, φάγωμεν, καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. καὶ ἀνακεκαλυμμένα ταῦτά ἐστιν ἐν τοῖς ὠσὶ κυρίου σαβαώθ,

à domino Sabaoth. In ualle uisionis errant, a paruo usque ad magnum errant in montibus. At Elamitę tulerunt pharetras, & ascenderunt homines super equos, & conuenerunt ad pugnam. Et electæ ualles tuæ, replebuntur quadrigis, at equites oppilabunt portas tuas, & patefaciēt portas Iuda, & inspicient die illa in electas domos ciuitatis, et reuelabunt abscondita domorum arcis Dauid. Et uiderunt quòd plures sunt, quodque auerterunt aquam antiquæ piscinæ in ciuitatē, & quod destruxerunt domos Hierusalem ad firmandos muros ciuitati, & fecistis uobis aquam inter duos muros, intra piscinam antiquam, & non inspexistis in eum qui principio fecit eam, & qui creauit illam non uidistis. Et uocauit dominus Sabaoth die illo ad fletum & planctum, & rasuram & cincturam saccorum. Ipsi autem fecerūt gladium et lætitiam, iugulantes uitulos & sacrificātes oues ita, ut comederent carnes, & biberent uinum dicentes: Comedamus & bibamus, cras enim morimur. Et patefacta hęc 1. Corin. 15 sunt in auribus domini

d Sabaoth,

Sabaoth, quoniam nõ di-
mittetur uobis hoc pecca
tum, donec moriamini.
Hæc dicit dominus saba-
oth: Vade in pastophori-
um ad Somnan quæstorẽ,
& dic ei, quid tu hic? &
quid tibi est hic? quod in-
cideris ipse tibi huc moni
mentum, quodq; feceris ti
bi in excelso sepulchrum,
scripserisq; tibi in petra
tabernaculum. Ecce iam
dominus Sabaoth ejiciet
& conteret uirum, & au-
feret togam tuam, & co-
ronam tuam gloriosam, et
pr[illegible] te in regionem
magna[illegible] & immensam,
& ibi morieris. Et ponet
currum tuum pulchrum
in ignominiam, & domũ
principis tui in conculca-
tionem, & auferetis à di-
spensatione tua, & de gra
du tuo. Et fiet illo die, ut
uocauero puerũ meũ E-
liacim, filium Helchiæ, &
induero illũ toga tua, &
coronam tuam dabo illi,
& potentiam & dispensa
tionem tuam dabo in ma-
nus eius. Et erit quasi pa-
ter habitantibus Hierusa-
lem, & habitantibus Iu-
da. Et dabo ei clauem do
mus Dauid super hume-
rum eius, & aperiet, & ne
mo erit qui claudat, &
claudet, et nemo aperiet.
Iob 12 Et dabo gloriam Dauid
Apo. 3 ei, & imperabit, & ne-
mo contradicet. Et con-
stituam eum principem
in

σαββαώθ, ὅτι οὐκ ἀφεθήσεται ὑμῖν αὕ-
τη ἡ ἁμαρτία, ἕως ἂν ἀποθάνητε.
τάδε λέγει κύριος σαββαώθ, πο-
ρεύου εἰς τὸ παστοφόριον, πρὸς σομ-
ναν τὸν ταμίαν, καὶ εἶπον αὐτῷ, τί
σοι ὧδε; καὶ τί σοι ὧδέ ἐστιν; ὅτι ἐλα-
τόμησας σεαυτῷ ὧδε μνημεῖον, καὶ
ἐποίησας σεαυτῷ ἐν ὑψηλῷ μνημεῖ-
ον, καὶ ἔγραψας σεαυτῷ ἐν πέτρᾳ
σκηνήν. ἰδοὺ δὴ κύριος σαββαὼθ
ἐκβάλλει καὶ ἐκτρίψει ἄνδρα, καὶ ἀ-
φελεῖ τὴν στολήν σου, καὶ τὸν στέφανόν
σου τὸν ἔνδοξον, καὶ ῥίψει σε εἰς χώ-
ραν μεγάλην καὶ ἀμέτρητον, καὶ ἐκεῖ
ἀποθανῇ. καὶ θήσει τὸ ἅρμα σου τὸ
καλὸν εἰς ἀτιμίαν, καὶ τὸν οἶκον τοῦ
ἄρχοντός σου εἰς καταπάτημα, καὶ
ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου, καὶ
ἐκ τῆς στάσεώς σου. καὶ ἔσται ἐν τῇ ἡ-
μέρᾳ ἐκείνῃ, καὶ καλέσω τὸν παῖδά
μου ἐλιακείμ, τὸν τοῦ χελκίου, καὶ ἐν-
δύσω αὐτὸν τὴν στολήν σου, καὶ τὸν
στέφανόν σου δώσω αὐτῷ, καὶ τὸ
κράτος, καὶ τὴν οἰκονομίαν σου δώ-
σω εἰς τὰς χεῖρας αὐτοῦ. καὶ ἔσται ὡς
πατὴρ τοῖς ἐνοικοῦσιν ἐν ἱερουσα-
λήμ, καὶ τοῖς ἐνοικοῦσιν ἐν ἰού-
δᾳ. καὶ δώσω αὐτῷ τὴν κλεῖδα οἴ-
κου δαβὶδ ἐπὶ τῷ ὤμῳ αὐτοῦ, καὶ
ἀνοίξει, καὶ οὐκ ἔσται ὁ ἀποκλείων.
καὶ κλείσει, καὶ οὐκ ἔσται ὁ ἀνοί-
γων. καὶ δώσω τὴν δόξαν δαβὶδ
αὐτῷ, καὶ ἄρξει, καὶ οὐκ ἔσται ὁ ἀντι-
λέγων. καὶ στήσω αὐτὸν ἄρχοντα
ἐν

ἐν τόπῳ πιστῷ, καὶ ἔσται εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. καὶ ἔσται πεποιθὼς ἐπ᾽ αὐτὸν πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ, ἀπὸ μικροῦ ἕως μεγάλου. πᾶν τὸ σκεῦος τὸ μικρὸν ἀπὸ σκευῶν τῶν ἀγανώθ, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ τῇ ἡμέρᾳ ἐκείνῃ. τάδε λέγει κύριος σαβαώθ, κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐστηριγμένος ἐν τόπῳ πιστῷ, καὶ ἀφαιρεθήσεται, καὶ πεσεῖται, καὶ ἐξολοθρευθήσεται ἡ δόξα ἐπ᾽ αὐτόν, ὅτι κύριος ἐλάλησεν.

ΤΟ ΟΡΑΜΑ τύρου.

Ὀλολύξατε πλοῖα καρχηδόνος, ὅτι ἀπώλετο, καὶ οὐκέτι ἔρχεται, ἐκ γῆς κιτιαίων, ἦκται αἰχμάλωτος. τίνι ὅμοιοι γεγόνασιν οἱ ἐνοικοῦντες ἐν τῇ νήσῳ; μεταβόλοι φοινίκης, διαπερῶντες τὴν θάλασσαν ἐν ὕδατι πολλῷ, σπέρμα μεταβόλων, ὡς ἀμήτου εἰσφερομένου, οἱ μεταβόλοι τῶν ἐθνῶν. αἰσχύνθητι σιδών, εἶπεν ἡ θάλασσα. ἡ δὲ ἰσχὺς τῆς θαλάσσης εἶπεν, οὐκ ὤδινον, οὐδὲ ἔτεκον, οὐδὲ ἐξέθρεψα νεανίσκους, οὐδὲ ὕψωσα παρθένους. ὅταν δὲ ἀκουστὸν γένηται αἰγύπτῳ, λήψεται αὐτοὺς ὀδύνη περὶ τύρου. ἀπέλθετε εἰς καρχηδόνα, ὀλολύξατε οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ. οὐχ αὕτη ἦν ὑμῶν ἡ ὕβρις ἀπ᾽ ἀρχῆς, πρὶν ἢ παραδοθῆναι αὐτήν; τίς

in loco fideli, & solium gloriosum erit domui patris eius, & confidet ei quiuis gloriosus in domo patris sui, paruus æquè ac magnus. Omne uas paruum à uase Aganoth, & pendebunt ab eo die illa. Hæc dicit dominus Sabaoth, Mouebitur homo stabilitus in loco fideli, et auferetur & corruet, & dissoluetur gloriã in ipsum, quia dominus loquutus est.

VISIO TYRI

Cap. XXIII.

VLulate naues Carthaginis, quia perierunt, nec amplius reuertuntur, de terra Citiensiũ, uenit captiuus. Cui similes facti sunt habitantes in insula? Negociatores Phœniciæ transmeabant mare per aquã multam, semẽ negociatorũ multũ erat, quasi esset messis illata, multi etiam negociatores gentium. Erubesce Sidon, dixit mare. At fortitudo maris ait, non parturiui, neq; peperi, neq; enutriui iuuenes, neque euexi uirgines. Cum autem auditum fuerit in Ægypto, apprehendet eos dolor de Tyro: Abite in Carthaginẽ, ululate habitantes in insula hac. erat ne huiusmodi contumelia uestra initio, antequã traderetur ipsa? Quis

Quis hęc cogitauit super Tyrum, utrum imbecillior hic est, an non potuit: Negociatores eius clari dominabantur terrę. Dñs Sabaoth cogitauit dissoluere omnẽ iniuriã gloriosorũ, & ignominia afficere omne quod est inclytũ super terrã. cole terrã tuã, etenim naues non ultra ueniunt Carthagine. At manus tua nõ quicquã potest per mare, quæ prouocat reges. Dominus Sabaoth præcepit de Chanaan, ut per[illegible] eius fortitudinem, & dicent: non pergetis uexare, et iniuria afficere filiam Sion. Et si abieris in Cithim, neque illic tibi requies erit, uel in terram Chaldæorum, nam cum uastata sit ab Assyrijs, neque illic tibi requies erit, quia paries ipsius cecidit. Vlulate naues Carthaginis, quia perijt munitio uestra. Et die illa derelinquetur Tyrus annis septuaginta, id quod ætas est regis & quasi tempus hominis. Et post septuaginta annos erit Tyrus quasi canticum meretricis. Sume citharam, circuin ciuitatem meretrix obliuioni tradita, bene cithara cane, plurimum canta, ut tui memoria sit. Et post septuaginta annos inuiset deus Tyrũ, & iterum restituet in pristinũ, et erit emporiũ omnib. regnis orbis

in con-

τίς ταῦτα ἐβουλεύσατο ἐπὶ τύρον; μὴ ἥσσων ἐστὶν, ἢ οὐκ ἰσχύει; οἱ ἔμποροι αὐτῆς ἔνδοξοι ἄρχοντες τῆς γῆς. κύριος σαββαὼθ ἐβουλεύσατο παραλῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων, καὶ ἀτιμάσαι πᾶν ἔνδοξον ἐπὶ τῆς γῆς. ἐργάζου τὴν γῆν σου, καὶ γὰρ πλοῖα οὐκέτι ἔρχεται ἐκ καρχηδόνος. ἡ δὲ χείρ σου οὐκέτι ἰσχύει κατὰ θάλασσαν, ἡ παροξύνουσα βασιλεῖς. κύριος σαββαὼθ ἐνετείλατο περὶ χαναὰν ἀπολέσαι αὐτῆς τὴν ἰσχὺν, καὶ ἐροῦσιν, οὐκέτι οὐ μὴ προσθῆτε το ὑβρίζειν, καὶ ἀδικεῖν τὴν θυγατέρα σιών. καὶ ἐὰν ἀπέλθῃς εἰς κιτιεῖς, οὐδὲ ἐκεῖ ἀνάπαυσις ἔσται σοὶ, καὶ εἰς γῆν χαλδαίων, καὶ αὕτη ἠρήμωται ἀπὸ τῶν ἀσσυρίων, οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις ἔσται, ὅτι ὁ τοῖχος αὐτῆς πέπτωκεν. ὀλολύζετε πλοῖα καρχηδόνος, ὅτι ἀπώλετο τὸ ὀχύρωμα ὑμῶν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταλειφθήσεται τύρος ἔτη ἑβδομήκοντα, ὡς χρόνος βασιλέως, ὡς χρόνος ἀνθρώπου. καὶ ἔσται μετὰ ἑβδομήκοντα ἔτη, τύρος ἔσται ὡς ᾆσμα πόρνης. λαβὲ κιθάραν, ῥέμβευσον πόλιν πόρνη ἐπιλελησμένη, καλῶς κιθάρισον, πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται. καὶ ἔσται μετὰ τὰ ἑβδομήκοντα ἔτη, ἐπισκοπὴν ποιήσει ὁ θεὸς τύρου, καὶ πάλιν ἀποκαταστήσεται εἰς τὸ ἀρχαῖον, καὶ ἔσται ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης ἐπὶ

προσω

πρόσωπον τῆς γῆς. καὶ ἔσται αὐτῆς ἡ ἐμπορία καὶ ὁ μισθὸς ἅγιος τῷ κυρίῳ. οὐκ αὐτοῖς συναχθήσεται, ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι κυρίου ἐν ἱερουσαλὴμ πᾶσα ἡ ἐμπορία αὐτῆς, φαγεῖν καὶ πιεῖν καὶ ἐμπλησθῆναι, καὶ εἰς συμβολὴν μνημόσυνον ἔναντι κυρίου.

Ἰδοὺ κύριος καταφθείρει τὴν οἰκουμένην ὅλην, καὶ ἐρημώσει αὐτήν, καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς, καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ. καὶ ἔσται ὁ λαὸς ὡς ὁ ἱερεύς, καὶ ὁ παῖς ὡς ὁ κύριος, καὶ ἡ θεράπαινα ὡς ἡ κυρία. ἔσται ὁ ἀγοράζων ὡς ὁ πωλῶν, ὁ δανείζων ὡς ὁ δανειζόμενος, καὶ ὁ ὀφείλων ὡς ᾧ ὀφείλει. φθορᾷ φθαρήσεται ἡ γῆ, καὶ προνομῇ προνομευθήσεται ἡ γῆ, τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. ἐπένθησεν ἡ γῆ, καὶ ἐφθάρη ἡ οἰκουμένη, ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς. καὶ ἡ γῆ ἠνόμησε διὰ τοὺς κατοικοῦντας αὐτήν, διότι τὸν νόμον παρέβησαν κυρίου, καὶ διεσκέδασαν. ἤλλαξαν τὰ προστάγματα, διαθήκην αἰώνιον. διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν οἱ κατοικοῦντες αὐτήν. διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ γῇ, καταλειφθήσονται ἄνθρωποι ὀλίγοι. πενθήσει οἶνος, πενθήσει ἄμπελος, στενάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν. πέπαυται εὐφροσύνη τυμπάνων, πέπαυται αὐθάδεια καὶ

πλοῦτος

in conspectu terrae. Et erit eius negociatio et merces sancta domino. Non ipsis congregabitur, sed iis qui habitant coram domino. Hierosolymis omnis negociatio eius, ut comedant, et bibant, et impleãtur, ut sit memoriae signum coram domino.

Ecce dominus dissipat orbem terrae totum, & uastabit eum, & aperiet faciem eius, & dissem-nabit habitantes in eo. Et erit populus sicut sacerdos, & seruus sicut dominus, & ancilla sicut domina. Erit emens sicut uendens, et foenerans sicut foenus accipiens, & debens sicut is cui debet. Corruptela peribit terra, & direptione depraedabitur terra. nam os domini loquutum est hęc. Luxit terra, & corruptus est orbis, luxerunt excelsi terrae. Et terra inique egit propter habitantes eam, quia transgressi sunt legem domini, & dissipauerunt. Mutauerunt praecepta, testamentum aeternum. propterea execratio conficiet terrã, quia peccauerunt ij, qui incolũt eam. Quapropter pauperes habitabunt in terra, & relinquentur homines pauci. Lugebit uinum, lugebit uitis, gement omnes laeti anima. Cessauit laetitia tympanorũ, cessauit cõtumacia &

Cap. XXIIII
Osee 4

diuitiæ impiorum, cessauit uox citharæ. Erubuerunt, non biberunt uinũ, amara facta est sicera bibentibus. Deserta est omnis ciuitas, claudet domũ, ne ingrediantur. Plorate pro uino ubiq;. Cessauit omnis lætitia, abijt omne gaudium terræ. Et derelinquentur ciuitates uastę, & domus peribunt. Hæc omnia fient in terra, in medio gentium. Quemadmodum si quis excutiat oli- e
uam, sic excutient eos. Et si quieuerit uindemia, & isti uoce clamabunt. At superstites in terra, lætabuntur simul cum gloria domini. Cõturbabitur aqua maris. Propterea gloria domini in insulis erit maris. Nomen domini gloriosum erit. Domine deus Israel, ab alis terrę portenta audiuimus, spes iusto. Et dicent, Væ præuaricantibus ijs, qui legẽ præuaricantur, timor et fouea & laqueus super uos qui terram incoletis. Et qui fugiet timorem, cadet in foueam, at egrediens de fouea, capietur à laqueo. Quia fenestræ de cœlo apertæ sunt, & concutientur fundamenta terræ, tumultu conturbabitur terra & ad summam inopiam redigetur terra.

Decli-

πλοῦτος ἀσεβῶν, πέπαυται φωνὴ κιθάρας. ᾐσχύνθησαν, οὐκ ἔπιον οἶνον, πικρὸν ἐγένετο τὸ σίκερα τοῖς πίνουσιν. ἠρημώθη πᾶσα πόλις, κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν. ὀλολύζετε περὶ τοῦ οἴνου πανταχῆ, πέπαυται πᾶσα εὐφροσύνη τῆς γῆς, ἀπῆλθε πᾶσα εὐφροσύνη τῆς γῆς. καὶ καταλειφθήσονται πόλεις ἔρημοι, καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπολοῦνται. ταῦτα πάντα ἔσονται ἐν τῇ γῇ, ἐν μέσῳ τῶν ἐθνῶν. ὃν τρόπον ἐάν τις καλαμήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς. καὶ ἐὰν παύσηται ὁ τρυγητός, καὶ οὗτοι φωνῇ βοήσονται, οἱ δὲ καταλειφθέντες ἐπὶ τῆς γῆς, εὐφρανθήσονται ἅμα τῇ δόξῃ κυρίου, ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης. διὰ τοῦτο ἡ δόξα κυρίου ἐν ταῖς νήσοις ἔσται τῆς θαλάσσης, τὸ ὄνομα κυρίου ἔνδοξον ἔσται. Κύριε ὁ θεὸς ἰσραήλ, ἀπὸ τῶν πτερύγων τῆς γῆς τέρατα ἠκούσαμεν, ἐλπὶς τῷ εὐσεβεῖ. καὶ ἐροῦσι, οὐαὶ τοῖς ἀθετοῦσιν. οἱ ἀθετοῦντες τὸν νόμον, φόβος καὶ βόθυνος, καὶ παγὶς ἐφ᾽ ὑμᾶς, τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς. καὶ ἔσται ὁ φεύγων τὸν φόβον, ἐμπεσεῖται εἰς τὸν βόθυνον. ὁ δὲ ἐκβαίνων ἐκ τοῦ βοθύνου, ἁλώσεται ὑπὸ τῆς παγίδος. ὅτι θυρίδες ἐκ τοῦ οὐρανοῦ ἠνεῴχθησαν, καὶ σεισθήσεται τὰ θεμέλια τῆς γῆς. ταραχῇ ταραχθήσεται ἡ γῆ, καὶ ἀπορίᾳ ἀπορηθήσεται ἡ γῆ.

ἔκλινον

ἔκλινεν, καὶ σεισθήσεται ὡς ὀπωρο-
φυλάκιον ἡ γῆ, ὡς ὁ μεθύων καὶ κραι-
παλῶν, καὶ πεσεῖται, καὶ οὐ μὴ
δυνήσεται ἀναςῆναι. κατίσχυσε γὰρ
ἀπ' αὐτῆς ἡ ἀνομία. καὶ ἔσται ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, ἐπάξει ὁ θεὸς ἐπὶ
τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα,
καὶ ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς. καὶ
συνάξουσι συναγωγὴν αὐτῆς, καὶ ἀ-
ποκλείσουσιν εἰς ὀχύρωμα, καὶ εἰς
δεσμωτήριον, διὰ πολλῶν γενεῶν
ἐπισκοπὴ ἔσται αὐτῶν. καὶ τακήσεται
ἡ πλίνθος, καὶ πεσεῖται τὸ τεῖ-
χος. καὶ ἐντραπήσεται ἡ σελήνη,
καὶ αἰσχυνθήσεται ὁ ἥλιος, ὅτι βασι-
λεύσει κύριος ἐν σιὼν, καὶ ἐν ἱε-
ρουσαλὴμ, καὶ ἐνώπιον τῶν πρεσβυτέ-
ρων δοξασθήσεται.

Κύριε ὁ θεός μου δοξάσω σε, ὑμ-
νήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυ-
μαστὰ πράγματα, βουλὴν ἀρχαίαν
ἀληθινήν. γένοιτο κύριε. ὅτι ἔθηκας
πόλεις εἰς χῶμα, πόλεις ὀχυρὰς τοῦ μὴ
πεσεῖν αὐτῶν τὰ θεμέλια, τῶν ἀσεβῶν
πόλις εἰς τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ.
καὶ διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτω-
χὸς, καὶ πόλεις ἀνθρώπων ἀδικουμέ-
νων εὐλογήσουσί σε. ἐγένου γὰρ πάσῃ
πόλει ταπεινῇ βοηθὸς, καὶ τοῖς ἀτιμώ-
σασι δι' ἔνδειαν σκέπη, ἀπὸ ἀνθρώ-
πων πονηρῶν ῥύσῃ αὐτούς. σκέπη δι-
ψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀ-
δικουμένων εὐλογήσουσί σε. ὡς ἄνθρω-
ποι ὀλιγόψυχοι διψῶντες ἐν σιὼν, ὅτι
ῥύσῃ

Declinabit, & commo-
uebitur ficut tugurium ter-
ra, quafi ebrius, & crapu-
lans, & cadet, & non po-
terit furgere, inualuit enim
fuper eam iniquitas. Et e-
rit illo die, inducet deus fu-
per ornatum cœli manũ,
& fuper reges terræ. Et
congregabunt cœtum, &
concludent in munitionẽ
& in carcerem, per mul-
tas ætates uifitatio erit eo-
rum. Et liquefiet later, &
cadet mur⁹. & pudefiet lu-
na, & erubefcet fol. Quia
regnabit dñs in Sion, &
in Hierufalẽ, & in [illegible]pe
ctu feniorũ gloria afficief.

Cap. XXV

Domine deus meus
gloriofum te prædicabo,
et carminibus laudabo no-
mẽ tuum, qui fecisti admi-
rabiles res, cõfilium anti-
quũ uerũ. Fiat dñe. Quia
redegifti ciuitates in tu-
mulum, ciuitates munitas,
ut caderent eorum funda-
menta, impiorum ciuitas
in æternum non ædifica-
bitur. Propterea laudabit
te populus mendicus, &
ciuitates hominum iniu-
riam patientium glorio-
fum te dicent. Fuifti enim
omni ciuitati humili auxi-
lio, contẽptis propter ino-
piã defenfioni, ab homini-
b⁹ malis liberabis eos. um-
braculũ fitientium, & fpi-
ritus hominũ iniuriã pati-
entiũ benedicẽt tibi. Qua-
fi hoẽs paruo animo præ-
diti, fitiẽtes in Sion. Quia

libera-

liberabis eos ab hominibus impijs, quibus nos tradidisti. Et faciet dominus Sabaoth omnibus gentibus. Super montem istum bibent in lætitia, bibent uinum. Vngētur unguento in monte hoc. Trade hæc omnia gentibus. Nā consilium hoc super omnes gentes. Deuorauit mors potēs, & rursum abstulit deus omnem lachrymam ab omni facie. Obprobrium populi abstulit ab omni terra. Nam os domini loquutum est. Et dicē[illegible]lla, Ecce deus noster in quo sperabamus, liberabit nos. Ipse dominus, expectabimus illum. Exultabimus, atq; lætabimur in salute eius, quia requiem dabit deus super montem hunc. Et conculcabitur Moabitis, quemadmodum calcant aream curribus. Et remittet manus suas, quemadmodum & ipse humiliauit ut perderet. Et opprimet superbiam eius, super quæ manus iniecit. Et altitudinē refugij domus tuæ humiliabit, & descendet usque ad pauimentum.

Cap. XXVI Die illa cantabunt cāticum istud in terra Iuda, dicentes, Ecce ciuitas fortis, & salus nostra ponet murum et propugnaculū. Aperite portas, ingrediatr populus seruās iustitiā, et custodiens

ῥύσῃ αὐτοὺς ἀπὸ ἀνθρώπων ἀσεβῶν, οἷς ἡμᾶς παρέδωκας. καὶ ποιήσει κύριος σαββαὼθ πᾶσι τοῖς ἔθνεσιν. ἐπὶ τὸ ὄρος τοῦτο πίονται εὐφροσύνην, πίονται οἶνον. χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν. ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη. κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλε κύριος ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς, τὸ γὰρ στόμα κυρίου ἐλάλησε. καὶ ἐροῦσι τῇ ἡμέρᾳ ἐκείνῃ, ἰδοὺ ὁ θεὸς ἡμῶν ἐφ᾽ ᾧ ἠλπίζομεν, καὶ σώσει ἡμᾶς. οὗτος κύριος, ὑπεμείναμεν αὐτῷ, καὶ ἠγαλλιώμεθα, καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν. ἀνάπαυσιν δώσει ὁ θεὸς ἐπὶ τὸ ὄρος τοῦτο, καὶ καταπατηθήσεται ἡ μωαβῖτις, ὃν τρόπον πατοῦσιν ἅλωνα ἐν ἁμάξαις. καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ, ὃν τρόπον καὶ αὐτὸς ἐταπείνωσε τοῦ ἀπολέσαι. καὶ ταπεινώσει τὴν ὕβριν αὐτοῦ, ἐφ᾽ ἃ τὰς χεῖρας ἐπέβαλε. καὶ τὸ ὕψος τῆς καταφυγῆς τοῦ οἴκου σου ταπεινώσει, καὶ καταβήσεται ἕως τοῦ ἐδάφους.

Τῇ ἡμέρᾳ ἐκείνῃ ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς τῆς ἰουδαίας, λέγοντες, ἰδοὺ πόλις ἰσχυρὰ, καὶ σωτήριον ἡμῶν θήσει τὸ τεῖχος, καὶ περίτειχος. ἀνοίξατε πύλας, εἰσελθέτω λαὸς φυλάσσων δικαιοσύνην, καὶ φυλάσ-

φυλάσσων ἀλήθειαν, ἀντιλαμβανόμενος ἀληθείας, καὶ φυλάσσων εἰρήνην. ὅτι ἐπὶ σοὶ ἐλπίδι ἤλπισαν κύριε ἕως τοῦ αἰῶνος, ὁ θεὸς ὁ μέγας, ὁ αἰώνιος, ὃς ταπεινώσας κατήγαγες τοὺς ἐνοικοῦντας ἐν ὑψηλοῖς. πόλεις ὀχυρὰς καταβαλεῖς, καὶ κατάξεις ἕως ἐδάφους. καὶ πατήσουσιν αὐτοὺς πόδες πραέων, καὶ ταπεινῶν βήματα. ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς εὐσεβῶν. ἡ γὰρ ὁδὸς κυρίου κρίσις. ἠλπίσαμεν ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ ᾗ ἐπιθυμεῖ ἡ ψυχή μου. ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρός σε ὁ θεός, διότι φῶς τὰ προστάγματά σου ἐπὶ τῆς γῆς. δικαιοσύνην μάθετε οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. πέπαυται γὰρ ὁ ἀσεβής. πᾶς δὲ οὐ μὴ μάθῃ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἀλήθειαν οὐ μὴ ποιήσει. ἀρθήτω ὁ ἀσεβής, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βραχίων, καὶ οὐκ ᾔδεισαν, γνόντες δὲ αἰσχυνθήσονται. ζῆλος λήψεται λαὸν ἀπαίδευτον, καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. κύριε ὁ θεὸς ἡμῶν εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν. κύριε ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς. κύριε ἐκτὸς σου ἄλλον οὐκ οἴδαμεν. τὸ ὄνομά σου ὀνομάζομεν, οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσιν, οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι.

διὰ

custodiens ueritatem, apprehendens ueritatem, & custodiens pacem. quia in te sperauerunt domine usq; in sempiternum. Deus magnus, æternus, qui humiliando deduxit habitantes in excelsis. Ciuitates munitas destrues, & sternes usq; ad solum. Et conculcabunt eas pedes mansuetorum, & humiliũ gressus. Via iustorum recta facta est, & præparata uia iustorum. Nam uia domini, iudicium. Sperauimus in nomine tuo, & in memoria quam [illegible] bat anima mea. De nocte cõsurgit spiritus meus ad te deus, quia lux præcepta tua sunt super terra. Iustitiam discite habitantes in terra. Cessauit enim impius. Quicunq; non didicerit iustitiam super terra, ueritatem non faciet. Auferatur impius, ut non uideat gloriam domini. Domine excelsum tuum brachium, & non scierũt, si uerò cognouerint, pudefient. Æmulatio apprehẽdet populum incruditum, & nunc ignis aduersarios comedet. Domine deus noster pacem da nobis, omnia enim reddidisti nobis. Domine deus noster posside nos, domine extra te aliũ non scimus. Nomen tuũ uocamus, at mortui uitã nõ uidebũt, neq; medici unq̃ suscitabunt.

 Propter

Propter hoc induxisti, & perdidisti, & tulisti omnẽ masculum eorum. Adde eis mala domine, adde mala gloriosis terræ. Domine in afflictione recordati sumus tui, in afflictione parua, doctrina tua nobis. Et sicut parturiens cum appropinquat ad pariendum, & in dolore clamat, sic facti sumus dilecto tuo. Propter timorem tuum, domine, grauidi facti sumus, & parturiuimus, & peperimus spiritum salutis tuæ, quẽ dedisti super terram. Nõ cademus, sed cadent habitantes in terra. Surgent mortui, & reuiuiscent qui in monumentis, & lætabuntur qui in terra sunt. Nam ros qui à te,

Mich. 3 sanitas ipsis est. At terra impiorũ cadet. Vade popule mi, ingredere in cubicula tua, claude ostium tuũ. Abscondere modicũ quantulumcunq;, donec pertranseat ira domini. Ecce em̃ dñs à sancto adducit iram ad eos, qui habitant super terram. Et reuelabit terra sanguinẽ suum, & non abscondet interfectos ultra.

Cap. XXVII In die illa inducet deus gladium sanctum & magnum & fortẽ, super draconem serpentem fugientẽ, super draconẽ serpentẽ tortuosum, & occidet draconẽ, q in mari. Die illa uinea bona desideriũ incipit

διὰ τοῦτο ἐπήγαγες, καὶ ἀπώλεσας, καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. πρόσθες αὐτοῖς κακὰ κύριε, πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. κύριε ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. καὶ ὡσεὶ ὠδίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν, οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου. διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας σου, ὃ ἐποίησας ἐπὶ τῆς γῆς. οὐ πεσούμεθα, ἀλλὰ πεσοῦνται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς. ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ. ἡ γὰρ δρόσος ἡ παρά σου, ἴαμα αὐτοῖς ἐστιν, ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου. ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου. ἰδοὺ γὰρ κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ κατακαλύψει τοὺς ἀνῃρημένους.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ τὴν μεγάλην καὶ τὴν ἰσχυράν, ἐπὶ τὸν δράκοντα τὸν ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιόν, καὶ ἀνελεῖ τὸν δράκοντα. τῇ ἡμέρᾳ ἐκείνῃ ἀμπελὼν καλός, ἐπιθύμημα ἐξάρχειν

contra κατ'

κατ' αὐτῆς. ἐγὼ πόλις ὀχυρὰ, πό-
λις πολιορκουμένη, μάτην ποτιῶ
αὐτήν. ἁλώσεται γὰρ νυκτὸς, ἡμέ-
ρας δὲ πεσεῖται τεῖχος αὐτῆς. οὐκ
ἔστιν, ὃ οὐκ ἐπιλάβηται αὐτῆς. τίς με
θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ;
διὰ τὴν πολεμίαν ταύτην ἠθέτη-
κα αὐτήν. τοίνυν διὰ τοῦτο ἐποίη-
σε κύριος πάντα ὅσα συνέταξε. κα-
ταλέκαυμαι, βοήσονται πάντες οἱ
ἐνοικοῦντες ἐν αὐτῇ, ποιήσωμεν
εἰρήνην αὐτῷ, ποιήσωμεν εἰρήνην,
οἱ ἐρχόμενοι τέκνα ἰακώβ. βλα-
στήσει καὶ ἐξανθήσει ἰσραὴλ, καὶ ἐμ-
πλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ
αὐτοῦ. μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐ-
τὸς οὕτως πληγήσεται; καὶ ὡς αὐτὸς
οὕτως ἀνεῖλε, καὶ αὐτὸς οὕτως ἀναι-
ρεθήσεται; μαχόμενος καὶ ὀνειδίζων
ἐξαποστελεῖ αὐτούς. οὐ σὺ ἦσθα ὁ
μελετῶν τῷ πνεύματι τῷ σκληρῷ,
ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ;
διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία
ἰακὼβ, καὶ τοῦτό ἐστιν ἡ εὐλογία
αὐτοῦ, ὅταν ἀφέλωμαι ἁμαρτίαν
αὐτοῦ, ὅταν θῶσι πάντας τοὺς λί-
θους τῶν βωμῶν κατακεκομμένους,
ὡς κονίαν λεπτήν. καὶ οὐ μὴ μεί-
νῃ τὰ δένδρα αὐτῶν, καὶ τὰ εἴ-
δωλα αὐτῶν ἐκκεκομμένα, ὥσπερ
δρυμὸς μακράν. τὸ κατοικούμενον
ποίμνιον ἀνειμένον ἔσται, ὡς ποί-
μνιον καταλελειμμένον. Καὶ ἔσται
πολὺν χρόνον εἰς βόσκημα, καὶ ἐκεῖ
ἀναπαύ-

contra eam. Ego ciuitas
munita, ciuitas oppugnā-
ta frustra potum dabo illi.
Capietur enim nocte, die
autem cadet murus eius.
Non est, qui apprehēdit.
Quisme constituet, ut cu-
stodiam stipulā in agro?
Propter hostilem regio-
nem istam, aspernatus sum
eam. Igitur propter hoc fe-
cit dominus deus omnia,
quæcunque constituit. Cō-
bustus sum. Clamabunt o-
mnes habitantes in ea, Fa-
ciamus pacem illi, facia-
mus pacem qui [illegible]
filij Iacob. Germinabit et
florebit Israel, & implebi-
tur orbis terræ fructu eius.
Nunquid ut ipse percus-
sit, ita et ipse percutietur?
& sicut ipse occidit, ita et
ipse occidetur? Rixans et
exprobrans emittet eos.
Non'ne tu eras qui medi-
tabaris spiritu duro, inter-
ficere eos spiritu furoris?
propterea auferetur ini-
quitas Iacob. Et hoc est
benedictio eius, cum au-
feram eius peccatū, cum
posuerint omnes lapides
altarium concisos, ut pul-
uerem minutum. Et non
manebunt arbores eo-
rum, & idola eorum
excisa, quasi lucus lon-
ge. Translata grex di-
mittetur, tanquam grex
derelictus. Et erit multo
tempore in pascua, & ibi
requie-

requiescēt greges, & post multū tēpus non erit in ea uiride, quia exiccatū est. Mulieres uenientes à spectaculo accedite. Non enim populus est qui habet intelligentiam, propterea non miserebitur, qui fecit eos, neq; qui formauit, eorum miserebitur. Et die illa concludet dominus à fossa fluminis usq; ad torrentem Ægypti. Vos autem congregate filios Israel uniuersos. Et die illa clanget tuba magna, et uenient, qui pereunt in regione Assyriorum, & qui pereunt in Aegypto, & adorabunt dominum super montem sanctum in Hierusalem.

Ca.XXVIII Væ coronæ iniuriæ, mercenarii Ephraim, flos cadens de gloria super uerticem montis pinguis. Ebrij sine uino, ecce forte & durū furor domini, sicut grando, quæ seorsim fertur (nec habens quod impediat) uiolēter cadit. Sicut aquę magna uis trahens regionem, in terra faciet requiem, ita manibus & pedibus conculcabitur corona iniuriæ, mercenarij Ephraim. Et flos cadet de spe gloriæ in uertice montis alti. Perinde atq; præcoquū ficū quis cū uidet, priusq; manu id capiat,

ἀναπαύσονται ποίμνια, καὶ μετὰ χρόνον οὐκ ἔσται ἐν αὐτῇ χλωρὸν, διὰ τὸ ξηρανθῆναι. γυναῖκες ἐρχόμεναι ἀπὸ θέας δεῦτε. οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν, διὰ τοῦτο οὐ μὴ οἰκτειρήσει ὁ ποιήσας αὐτοὺς, οὐδὲ ὁ πλάσας αὐτοὺς οὐ μὴ ἐλεήσει. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συμφράξει κύριος ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ, ἕως ῥινοκορούρων. ὑμεῖς δὲ συναγάγετε κατὰ ἕνα τοὺς υἱοὺς ἰσραήλ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ, καὶ ἥξουσιν οἱ ἀπολόμενοι ἐν τῇ χώρᾳ τῶν ἀσσυρίων, καὶ οἱ ἀπολόμενοι ἐν αἰγύπτῳ, καὶ προσκυνήσουσι τῷ κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον ἐν ἱερουσαλήμ.

Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως, οἱ μισθωτοὶ ἐφραίμ, τὸ ἄνθος τὸ ἐκπεσὸν ἐκ τῆς δόξης, ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους τοῦ παχέος, οἱ μεθύοντες ἄνευ οἴνου, ἰδοὺ ἰσχυρὸν καὶ σκληρὸν, ὁ θυμὸς κυρίου, καὶ ὡς χάλαζα καταφερομένη οὐκ ἔχουσα σκέπην, βίᾳ καταφερομένη. ὡς ὕδατος πολὺ πλῆθος σῦρον χώραν, ἐν τῇ γῇ ποιήσει ἀνάπαυσιν. καὶ ταῖς χερσὶ, καὶ τοῖς ποσὶ καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως, οἱ μισθωτοὶ τοῦ ἐφραίμ. καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος τῆς δόξης, ἐπ' ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ. ὡς πρόδρομος σύκου, ὁ ἰδὼν αὐτὸ, πρὶν ἢ εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν

λαβεῖν, θελήσει αὐτὸ καταπιεῖν.
Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος σαβ-
βαὼθ ὁ στέφανος τῆς ἐλπίδος, ὁ πλα-
κεὶς τῆς δόξης τῷ καταλειφθέντι
μου λαῷ ἐν αἰγύπτῳ. καὶ καταλει-
φθήσονται ἐν πνεύματι κρίσεως ἐπὶ
κρίσιν, καὶ ἰσχὺν κωλυόντων ἀνε-
λεῖν. οὗτοι γὰρ οἴνῳ πεπλανημένοι
εἰσίν. ἐπλανήθησαν διὰ τὸ σίκερα
ἱερεὺς καὶ προφήτης, ἐξέστησαν διὰ
τὸ σίκερα, κατεπόθησαν διὰ τὸν
οἶνον. ἐσείσθησαν ἀπὸ τῆς μέθης τοῦ
σίκερα, ἐπλανήθησαν. τοῦτ᾽ ἔστι φά-
σμα. ἀρὰ ἔδεται ταύτην τὴν βουλὴν,
αὕτη γὰρ ἡ βουλὴ ἕνεκα πλεονεξί-
ας. τίνι ἀνηγγείλαμεν κακὰ, καὶ τί-
νι ἀνηγγείλαμεν ἀγγελίαν; οἱ ἀπο-
γεγαλακτισμένοι ἀπὸ γάλακτος,
οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ, θλί-
ψιν ἐπὶ θλίψιν προσδέχου, ἐλπίδα
ἐπ᾽ ἐλπίδα, ἔτι μικρὸν διὰ φαυλι-
σμὸν χειλέων, διὰ γλώσσης ἑτέ-
ρας, ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ λέ-
γοντες αὐτοῖς, τοῦτο τὸ ἀνάπαυμα
τῷ πεινῶντι, καὶ τοῦτο τὸ σύντριμ-
μα, καὶ οὐκ ἠθέλησαν ἀκούειν. καὶ
ἔσται αὐτοῖς τὸ λόγιον τοῦ θεοῦ, θλί-
ψις ἐπὶ θλίψιν, ἐλπὶς ἐπ᾽ ἐλπίδι,
ἔτι μικρὸν ἔτι μικρὸν, ἵνα πορεύ-
σωσι καὶ πέσωσιν εἰς τὰ ὀπίσω,
καὶ συντριβήσονται, καὶ κινδυ-
νεύσουσι, καὶ ἁλώσονται. διὰ τοῦτο
ἀκούσατε λόγον κυρίου ἄνδρες τε-
θλιμμένοι, καὶ οἱ ἄρχοντες τοῦ λαοῦ
τούτου

capiat, uult illud deuora-
re. Die illa erit dominus
Sabaoth corona spei, or-
namentum gloriæ relicto
meo populo in Ægyp-
to. Et derelinquetur in
spiritu iudicij super iudi-
cium, & fortitudinem pro
hibentium interficere. Hi
enim uino decepti sunt.
Errauerunt propter sice-
ram sacerdos & prophe-
ta, à mente discesserunt
propter siceram, ingurgi-
tauerunt se uino. Vacilla
uerunt ab ebrietate sice-
ræ, errauerunt. H[illegible]
sio. Execratio perdet hoc
consilium propter aurari-
tiam. Cui annunciauimus
mala, et cui afferemus nū-
cium? Ablactati à lacte, et
abstracti ab ubere, afflicti
onem ad afflictionem assu
me, spem ad spem, adhuc
parum, propter irrisionē
labiorum, propter linguā
alteram, quia loquentur
populo huic, dicentes ei:
Hæc requies esurienti, &
hæc contritio, & non uo-
luerunt audire. Et erit eis
sermo dei, tribulatio super
tribulationem, spes super
spem, adhuc parū, adhuc
parum, ut abeant, et cadāt
retro, & conterantur, &
periclitentur, & capian-
tur. Propter hoc audite
uerbum domini, uiri per-
diti, & principes populi
huius

Amos 9 huius Hierusalem, quia di
Rom. 9 xistis: Fecimus testamen-
1. Pet. 2 tum cum inferno, & cum
morte pactū. Tempestas
irruens si pertransierit, nō
ueniet ad nos. Posuimus
in mendacio spem nostrā,
& mēdacio protegemur.
Psal. 117 Propterea sic dicit domi-
Matth. 21 nus: Ecce ego immittam
Act. 4 fundamenta Sion, lapidē
Rom. 10 sumptuosum, electū, angu-
1. Pet. 2 larem, preciosum in funda
menta eius, & credens in
eo non confundetur. Et
ponam iudicium in spem,
et misericordia mea in sta
ta[tera]. Et qui credunt fru-
stra mendacio. Quia non
pertrāsibit uos tempestas,
no[n] auferet uobis testa-
m[entum] [illegible] mortis, et spes ue
stra, quæ ad infernum, nō
permanebit. Tempestas
ueniens si pertransierit, se-
quimini illam, ut concul-
cemini. Cum pertransie-
rit, tollet uos: mane mane
pertransibit uos, & in no-
cte erit spes mala. Discite
audire angustati. Nō pos-
sumus pugnare. Ipsi autē
infirmamur, dum uos con
gregamini. Sicut mōs im-
piorum consurget domi-
nus, & erit in ualle Gaba
on, cum furore faciet o-
pera sua, amaritudinis o-
pus. At furor eius alienè
tuetur & putredo eius a-
liena. Et uos ne lętemini,
neq; roborēt uobis uincu
la, quia

τούτου τοῦ ἐν ἱερουσαλὴμ, ὅτι εἴπατε·
ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅ-
δου, καὶ μετὰ τοῦ θανάτου συνθήκας·
καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ
μὴ ἐπέλθῃ ἡμῖν. ἐθήκαμεν ψεῦδος
τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκε-
πασθησόμεθα. διὰ τοῦτο οὕτω λέγει
κύριος, ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς τὰ θε-
μέλια σιὼν λίθον πολυτελῆ, ἐκλεκ-
τὸν, ἀκρογωνιαῖον, ἔντιμον εἰς τὰ
θεμέλια αὐτῶν, καὶ ὁ πιστεύων
ἐπ᾽ αὐτῷ οὐ μὴ καταισχυνθῇ. καὶ
θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεη-
μοσύνη μου εἰς σταθμοὺς, καὶ οἱ πεποι-
θότες μάτην ψεύδει. ὅτι οὐ μὴ
παρέλθῃ ὑμᾶς καταιγὶς, μὴ καὶ ἀφέ-
λῃ ὑμῶν τὴν διαθήκην τοῦ θανά-
του, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅ-
δην οὐ μὴ ἐμμείνῃ. καταιγὶς φερο-
μένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς
καταπάτημα. ὅταν παρέλθῃ, λήψε-
ται ὑμᾶς, πρωῒ πρωῒ παρελεύσε-
ται ἡμᾶς, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς
πονηρά. μάθετε ἀκούειν στενοχωρού-
μενοι. οὐ δυνάμεθα μάχεσθαι, αὐ-
τοὶ δὲ ἀσθενοῦμεν τοῦ ὑμᾶς συνα-
χθῆναι. ὥσπερ ὄρος ἀσεβῶν ἀναστή-
σεται κύριος, καὶ ἔσται ἐν τῇ φά-
ραγγι γαβαὼν, μετὰ θυμοῦ ποιή-
σει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον.
ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως χρή-
σεται, καὶ ἡ σαπρία αὐτοῦ ἀλλοτρία.
καὶ ὑμεῖς μὴ εὐφρανθείητε, μη-
δὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί·
διότι

διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ κυρίου σαβαὼθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν. ἐνωτίζεσθε καὶ ἀκούετε τῆς φωνῆς μου, προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου. μὴ ὅλην τὴν ἡμέραν μέλλει ὁ ἀροτριῶν ἀροτριᾷν, ἢ σπόρον προετοιμάσαι πρὶν ἐργάσασθαι τὴν γῆν; οὐχ ὅταν ὁμαλίσῃ τὸ πρόσωπον αὐτῆς, τότε σπείρει μικρὸν μελάνθιον ἢ κύμινον; καὶ πάλιν σπείρει πυρὸν καὶ κριθὴν, καὶ κέγχρον καὶ ζέαν ἐν τοῖς ὁρίοις σου. καὶ παιδευθήσῃ κρίματι θεοῦ σου, καὶ εὐφρανθήσῃ. οὐ γὰρ μετὰ σκληρότητος καθαίρεται τὸ μελάνθιον, οὐδὲ τροχὸς ἁμάξης περιάξει ἐπὶ τὸ κύμινον. ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον, τὸ δὲ κύμινον μετὰ ἄρτου βρωθήσεται. οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀργισθήσομαι, οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. καὶ ταῦτα παρὰ κυρίου σαβαὼθ ἐξῆλθε τὰ τέρατα. βουλεύσασθε, ὑψώσατε ματαίαν παράκλησιν.

Οὐαὶ πόλις ἀριήλ, ἣν ἐπολέμησε δαβίδ. συναγάγετε γεννήματα ἐνιαυτὸν ἐπ' ἐνιαυτὸν, φάγεσθε γὰρ σὺν μωάβ, ἐκθλίψω γὰρ ἀριήλ. καὶ ἔσται αὐτῆς ἡ ἰσχὺς καὶ ὁ πλοῦτος ἐμοί; καὶ κυκλώσω ὡς δαβὶδ ἐπί σε, καὶ βαλῶ περὶ σὲ χάρακα, καὶ οἰκοδομήσω, καὶ θήσω περὶ σὲ πύργους, καὶ ταπεινωθήσονται εἰς

τὴν

la, q̃a consummatas & abbreuiatas res audiui à domino deo Sabaoth, quæ faciet super omnem terrã. Auribus percipite, & audite uocem meam, attendite, & audite sermones meos. Nunquid tota die debet arans arare, aut semen præparare, antequã præparet terram? Nonne cum æquarit eius superficiem, tunc seminat paruũ papauer autem cyminũ? Et rursum seminat triticũ & ordeum & miliũ et far in finibus tuis. Et erudieris iudicio dei tui, & lætaberis. Non enim cum duritia mundatur papauer nigrum, neq; rota plaustri circumibit super cyminũ. Sed uirga excutitur nigrũ papauer, & cyminũ cum pane comedetur. Non enim in æternum ego irascar uobis, nec uox amaritudinis meæ conculcabit uos. Et hæc à domino Sabaoth egressa sunt portenta. Inite consilium, extollite uanã consolationẽ.

Cap. XXIX.

Væ ciuitati Ariel, quã Dauid expugnauit. Congregate germina ab anno ad annum. Comedetis enim cum Moab. Nam affligam Ariel. Et erunt eius fortitudo & diuitiæ meæ. Et circundabo sicut Dauid te. Et ponam circum te uallum, & ædificabo. Ponam circa te turres, & humiliabuntur in

terram

terram ſermones tui, & in terram uerba tua occidẽt. Et erit ut loquentium de terra, uox tua, & uſq; ad pauimentum uox tua infir mabitur. Et fient ſicut pul uis de rota, diuitię impio rum, & ut puluis, qui exci tatur, multitudo eorũ qui oppreſſerunt te, & fiet ſi cut punctus repente à do mino Sabaoth. Viſitatio enim erit cum tonitru & commotione, & uoce ma gna, tempeſtas ualida & flamma ignis deuorãs. Et erunt ut inſomniantis in ſomno, diuitiæ gentiũ om nium. Quicunq; militaue nunt contra Iſrael, & om nes qui pugnauerunt con tra Hieruſalem, & omnes qui congregati ſunt aduer ſus eam, & affligentes e am, & erunt ſicut in ſom no bibentes & comeden tes, & cũ ſurrexerint, ua num eorum inſomnium. Et quemadmodum inſo mniat ſitiens & bibens, et cũ ſurrexerit adhuc ſitit, animaq; eius fruſtra ſpera uit, ſic erunt diuitiæ omni um gentium, quotquot mi litauerunt contra montẽ Sion. Deficite, obſtupeſci te, & inebriamini, non ſi cera neq; uino, quia pota uit uos dominus ſpiritu cõ punctionis, & claudet o culos eorum, & propheta rum ſuorum, & principũ ſuorum, qui uident ab ſcondita, & erunt uobis uerba

τὴν γῆν οἱ λόγοι σου, καὶ εἰς τὴν γῆν οἱ λόγοι σου δύσονται. καὶ ἔσται ὡς οἱ φωνοῦντες ἐκ τῆς γῆς ἡ φωνή σου, καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου ἀσθενήσει. καὶ ἔσται ὡς κονιορτὸς ἀπὸ τροχοῦ ὁ πλοῦτος τῶν ἀσεβῶν, καὶ ὡς χνοῦς φερόμενος τὸ πλῆθος τῶν καταδυναστευόντων σε, καὶ ἔσται ὡς στιγμὴ παραχρῆμα παρὰ κυρίου σαβαὼθ. ἐπισκοπὴ γὰρ ἔσται μετὰ βροντῆς καὶ σεισμοῦ, καὶ φωνῆς μεγάλης, καταιγὶς φερομένη, καὶ φλὸξ πυρὸς κατεσθίουσα. καὶ ἔσται ὡς ἐνυπνιαζόμενος ἐν ὕπνῳ, ὁ πλοῦτος ἁπάντων τῶν ἐθνῶν, ὅσοι ἐπεστράτευσαν ἐπὶ ἰσραὴλ, καὶ πάντες οἱ στρατευόμενοι ἐπὶ ἱερουσαλὴμ, καὶ πάντες οἱ συνηγμένοι ἐπ' αὐτὴν, καὶ οἱ θλίβοντες αὐτήν. καὶ ὡς οἱ ἐν τῷ ὕπνῳ πίνοντες καὶ ἐσθίοντες, καὶ ἐξαναστάντες, μάταιον καὶ ἐνύπνιον. καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ διψῶν ὡς ὁ πίνων, καὶ ἐξαναστὰς ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος τῶν ἐθνῶν πάντων, ὅσοι ἐστράτευσαν ἐπὶ τὸ ὄρος σιών. ἐκλύθητε καὶ ἔκστητε, καὶ κραιπαλήσατε, οὐκ ἀπὸ σίκερα οὐδὲ ἀπὸ οἴνου, ὅτι πεπότικεν ὑμᾶς κύριος πνεύματι κατανύξεως, καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν, οἱ ὁρῶντες τὰ κρυπτά. καὶ ἔσται ὑμῖν τὰ

τὰ ῥήματα πάντα ταῦτα, ὡς οἱ λό-
γοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου
τούτου, ὃ ἐὰν δῶσιν αὐτὸ, ἀνθρώπῳ
ἐπισταμένῳ γράμματα, λέγοντες,
ἀνάγνωθι ταῦτα. καὶ ἐρεῖ, οὐ δύνα-
μαι ἀναγνῶναι, ἐσφράγισται γάρ.
καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖ-
ρας ἀνθρώπου μὴ ἐπισταμένου γράμ-
ματα. καὶ ἐρεῖ αὐτῷ, ἀνάγνωθι τοῦ-
το. καὶ ἐρεῖ, οὐκ ἐπίσταμαι γράμμα-
τα. Καὶ εἶπε κύριος, ἐγγίζει μοι ὁ
λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ
ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με,
ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει
ἀπ᾽ ἐμοῦ. μάτην δὲ σέβονταί με, δι-
δάσκοντες ἐντάλματα ἀνθρώπων
καὶ διδασκαλίας. διὰ τοῦτο ἰδοὺ
προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν
τοῦτον, καὶ μεταθήσω αὐτοὺς, καὶ
ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ
τὴν σύνεσιν τῶν συνετῶν κρύψω.
οὐαὶ οἱ βαθεῖαν βουλὴν ποιοῦντες,
καὶ οὐ διὰ κυρίου. οὐαὶ οἱ ἐν κρυφῇ
βουλὴν ποιοῦντες, καὶ ἔσται ἐν σκό-
τει τὰ ἔργα αὐτῶν. καὶ ἐροῦσι, τίς
ἑώρακεν ἡμᾶς; καὶ τίς ἡμᾶς γνώ-
σεται, ἢ ἃ ἡμεῖς ποιοῦμεν; οὐχ ὡς
πηλὸς τοῦ κεραμέως λογισθήσεσθε;
μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι
αὐτὸ οὐ σύ με ἔπλασας, ἢ τὸ ποίη-
μα τῷ ποιήσαντι, οὐ συνετῶς με
ἐποίησας; οὐκ ἔτι μικρὸν καὶ με-
ταθήσεται ὁ λίβανος, ὡς τὸ ὄρος τὸ
χερμὴλ, καὶ τὸ χέρμηλ εἰς δρυμὸν

λογι-

uerba omnia hæc, ſicut
uerba libri ſignati huius.
cuicunq; dederint illũ ho
mini ſcienti literas dicen-
tes, Lege iſta. Et dicet,
Non poſſum legere, ſigna
tus eſt enim. Et dabitur li
ber iſte in manus homi-
nis non ſcientis literas, di-
ceturq́; ei, Lege hoc, &
dicet, Nõ ſcio literas. Et Matth. 15
ait dominus, Appropin- Mar. 7
quat mihi populus iſte o-
re ſuo, labijs honorãt me,
at cor eorum longe abeſt
à me, fruſtra ergo colunt
me, docentes præcepta ho
minum & do[illegible] 1. Cor. 1
pterea e[illegible]go addam,
ut t[illegible]am populum
iſtu[illegible] & transferam eos,
& perdam ſapientiam ſa-
pientum, & intelligentiã
prudentium abſcondam.
Vę iis, qui profundũ con Abdiæ 1
ſilium capiunt, et non per Eccl. 23
dominum. Væ iis qui in
abſcondito conſilium in-
eunt, & quorum opera in
tenebris erunt, quiq́; di-
cent: Quis nos uidit? &
quis nos cognoſcet, aut
quę nos facimus? Non'ne
tu lutum figuli repudiam-
ni? numquid dicet figmen
tum fictori, non tu me for-
maſti, aut opus ad eum,
qui fecit, nõ ſapienter me
feciſti? Non'ne breui tem
pore trãsferetur Libanus
quaſi mons Chermel, &
mons Chermel in ſyluam

e reputa-

reputabitur. Et audiet die illa surdi uerba libri, & qui in tenebris sunt, & ij, qui in nebula. Oculi cæcorum uidebunt, & exultabunt mēdici propter dominū in lætitia, & spe destituti homines implebuntur lætitia. Defecit iniquus, & perijt superbus, & extermi tati sunt inique agētes propter malitiam, & facientes peccare homines per sermonem. Omnes autē arguentes in portis, offensionem ponent, quia [illegible]runt ad iniquos iustu[illegible] propter hæc dicit domi[illegible] domum Iacob, quam se[illegible]it ex Abraham: Iam non [illegible]defiet Iacob, neque nunc faciem mutabit Israel, sed cū uiderint filios suos, opera mea, propter me sancte colent nomen meum, & piè colent sanctum Iacob, & deum Israel timebunt. Et scient spiritu errantes intelligentiam, & murmurantes discent obedire, & linguæ balbutientes discent loqui pacem.

λογισθήσεται. καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου, καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ. ὀφθαλμοὶ τυφλῶν ὄψονται, καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ διὰ κύριον ἐν εὐφροσύνῃ, καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης. ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος, καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ, καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ, πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσιν, ὅτι ἐπλαγίασαν ἐπ' ἀδίκοις δίκαιον. διὰ τοῦτο τάδε λέγει κύριος, ἐπὶ τὸν οἶκον ἰακὼβ, ὃν ἀφώρισεν ἐξ ἀβραάμ, οὐ νῦν αἰσχυνθήσεται ἰακὼβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ ἰσραήλ. ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν, τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου, καὶ ἁγιάσουσι τὸν ἅγιον ἰακὼβ, καὶ τὸν θεὸν τοῦ ἰσραὴλ φοβηθήσονται. καὶ γνώσονται οἱ πλανώμενοι τῷ πνεύματι σύνεσιν, οἱ δὲ γογγύζοντες μαθήσονται ὑπακούειν, καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι μαθήσονται λαλεῖν εἰρήνην.

Cap. XXX

Væ filijs apostatis, hęc dicit dominus, Fecistis cōsilium non per me, & pactum non per spiritum meum, ut adderetis peccata ad peccata. Descendūt in Ægyptū (me aūt nō interrogauerunt) ut auxilium habeant à Pharaone, &

Οὐαὶ τέκνα ἀποστάται, τάδε λέγει κύριος, ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου, προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίας, οἱ πορευόμενοι καταβῆναι εἰς αἴγυπτον, ἐμὲ δὲ οὐκ ἐπηρώτησαν, βοηθῆναι ὑπὸ φαραὼ, καὶ

καὶ σκεπασθῆναι ὑπὸ αἰγυπτίων. ἔσται γὰρ ὑμῖν σκέπη φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' αἴγυπτον ὄνειδος. ὅτι εἰσὶν ἐν τάνει ἀρχηγοί, ἄγγελοι πονηροί. μάτην κοπιάσουσι πρὸς λαόν, ὃς οὐκ ὠφελήσει αὐτούς, εἰς βοήθειαν, ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.

ΟΡΑΣΙΣ ΤΩΝ ΤΕΤΡΑποδων τῶν ἐν τῇ ἐρήμῳ.

Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ, λέων καὶ σκύμνος λέοντος, ἐκεῖθεν καὶ ἀσπίδες, καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος, ὃ οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος. αἰγύπτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς. ἀπάγγειλον αὐτοῖς, ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη. νῦν οὖν καθίσας γράψον ἐπὶ πυξίου ταῦτα, καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας καιρῶν ταῦτα, καὶ ἕως εἰς τὸν αἰῶνα. ὅτι ὁ λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς, οἳ οὐκ ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ θεοῦ, οἱ λέγοντες τοῖς προφήταις, μὴ ἀναγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσι, μὴ λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης. ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λόγιον τοῦ ἰσραήλ,

διὰ

& ut protegerentur ab Ægyptijs. Vertet enim uobis protectio Pharaonis in confusionem, & cōfidentibus in Ægypto in obprobrium. Quia sunt in Tani principes, nuncij mali. Frustra laborabūt de populo, qui non proderit eis, ad auxiliū, sed ad confusionem & obprobriū.

VISIO QVADRVpedum, quæ sunt in deserto.

In tribulatione & angustia leo & catulus leonis, inde & aspides, & germina aspidum uolantium, qui ferebant super asinos & camelos diuitias suas ad gentem, quæ non proderit eis ad auxilium, sed ad confusionem & obprobrium. Ægyptij falsæ uaneq; proderunt uobis. annuncia eis, quod sit uana cōsolatio uestra hæc. Nūc ergo sedens scribe in buxum hæc, & in librum, quod fient in diebus temporum ista, & usq; in æternum. Quia populus incredulus est, filij mendaces, qui non uoluerunt audire legem dei, dicentes prophetis, ne annuncietis nobis, & uisiones uidentibus ne loquamini nobis, alia nobis loquimini, & annunciate nobis alterum errorem, & auertite nos a uia hac, auferte à nobis semitam hanc, & auferte à nobis uerbum Israel.

propterea hæc dicit dominus sanctus Israel, Quia non obedistis uerbis istis, & sperastis in mendacio, et quia murmurasti, et cõfisus fuisti uerbo isto, propter hoc erit uobis peccatũ hoc quasi murus cadẽs subitò, ciuitate munita capta, cuius subitò adest ruina. & ruina eius erit quasi contritio uasis testacei, ex figuli officina comminuti ita, ut non inueniatur in eis testa, in qua ignem tollas, & in qua abstrahas aqu[illegible]um. Hæc dicit dominus do[illegible]us, sanctus Israel: Cũ conuer[illegible] ingemueris, tunc saluabe[illegible]. & scies ubi fueris, quodq; confisus fueris inanibus. Vana fortitudo uestra facta est, & nõ uoluistis audire, sed dixistis, equis fugiemus, idcirco fugietis. Et dixistis, super leuibus ascensoribus ascendemus, ideo leues erunt persequẽtes uos. Mille per uocem unius fugient, & per uocẽ quinq; fugient multi, donec relinquamini quasi malus nauis super montẽ, & quasi lignum ferens super collẽ. Et rursus expectat deus ut misereatur uestri, & propter hoc in altum tollitur, ut misereatur uestri, quia iudex dñs deus uester est. Beati omnes perseuerantes in eo, quia populus sanctus in Sion habitabit. Et Hierusalem

διὰ τοῦτο τάδε λέγει κύριος ὁ ἅγιος τοῦ ἰσραὴλ, ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις, καὶ ἠλπίσατε ἐπὶ ψεύδει, καὶ ὅτι ἐγόγγυσας, καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ τούτῳ, διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη, ὡς τεῖχος πίπτον παραχρῆμα, πόλεως ὀχυρᾶς ἑαλωκυίας, ἧς παραχρῆμα πάρεστι τὸ πτῶμα, καὶ τὸ πτῶμα αὐτῆς ἔσται, ὡς σύντριμμα ἀγγείου ὀστρακίνου, ἐκ κεραμίου λεπτοῦ, ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄστρακον, ἐν ᾧ πῦρ ἀρεῖς, καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν. οὕτω λέγει κύριος κύριος, ὁ ἅγιος τοῦ ἰσραὴλ, ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ, καὶ γνώσῃ, ποῦ ἦσθα, ὅτε ἐπεποίθεις ἐπὶ τοῖς ματαίοις. ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη, καὶ οὐκ ἠθελήσατε ἀκούειν, ἀλλ' εἴπατε, ἐφ' ἵππων φευξόμεθα. διὰ τοῦτο φεύξεσθε, καὶ εἴπατε, ἐπὶ κούφοις ἀναβάταις ἀναβησόμεθα. διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς. χίλιοι διὰ φωνὴν ἑνὸς φεύξονται, καὶ διὰ φωνὴν πέντε φεύξονται πολλοί, ἕως ἂν καταλειφθῆτε, ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαῖον φέρων ἐπὶ βουνοῦ. καὶ πάλιν μενεῖ ὁ θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς, καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς. διότι κριτὴς κύριος ὁ θεὸς ὑμῶν. μακάριοι οἱ ἐμμένοντες ἐν αὐτῷ, διότι λαὸς ἅγιος ἐν σιὼν οἰκήσει. καὶ ἱερουσαλὴμ, ἐν

ἐν κλαυθμῷ ἔκλαυσεν, ἐλέησόν με. ἐλεήσει σε, τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου. καὶ δώσει κύριος ὑμῖν ἄρτον θλίψεως, καὶ ὕδωρ στενὸν, καὶ οὐκ ἔτι μὴ ἐγγίσωσί σοι οἱ πλανῶντές σε. ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε, καὶ ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων, οἱ λέγοντες, αὕτη ἡ ὁδὸς, πορευθῶμεν ἐν αὐτῇ, εἴτε δεξιὰ, εἴτε ἀριστερά. καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα, καὶ τὰ περικεχρυσωμένα λεπτὰ ποιήσεις, καὶ λικμήσεις ὡς ὕδωρ ἀποκαθημένους, καὶ ὡς κόπρον ὤσεις αὐτά. τότε ἔσται ὁ ὑετὸς τῷ σπέρματι τῆς γῆς σου, καὶ ὁ ἄρτος τοῦ γεννήματος τῆς γῆς σου, ἔσται πλησμονὴ καὶ λιπαρός, καὶ βοσκηθήσεταί σου τὰ κτήνη τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα, καὶ εὐρύχωρον. οἱ ταῦροι ὑμῶν καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν, φάγονται ἄχυρα ἀναπεποιημένα ἐν κριθῇ λελικμημένῃ. καὶ ἔσται ἐπὶ παντὸς ὄρους ὑψηλοῦ, καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου ὕδωρ διαπορευόμενον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅταν ἀπόλωνται πολλοὶ, καὶ ὅταν πέσωσι πύργοι. καὶ ἔσται τὸ φῶς τῆς σελήνης ὡς τὸ φῶς τοῦ ἡλίου. καὶ τὸ φῶς τοῦ ἡλίου ἑπταπλάσιον ἐν τῇ ἡμέρᾳ, ὅταν ἰάσηται κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς πληγῆς σου ἰάσεται.

ἰδοὺ

in fletu planxit, miserere mei. Miserebitur tui, uocem clamoris tui posteaquam uidit, exaudiuit te. Dabit dominus uobis panem tribulationis et aquã angustam, & nequaquam ultra appropinquabunt tibi decipientes te. Quia oculi tui uidebunt seducentes te, & audient uerba qui te decipiunt, et dicũt, Hęc uia, ambulem' in ea, siue ad dextram siue ad sinistram. Et auferes idola argentata, & deaurata in frustula rediges, & disperges sicut aquã à menstruata muliere [illegible] ta redditam, & [illegible] cu stercus abijcie[illegible] a. Tum ueniet pluuia semini terræ tuæ, & panis germinis tui erit abundans & pinguis. Et pascentur tua iumenta die illa in loco pingui & spacioso. Tauri uestri & boues operantes terram, comedẽt paleas commixtas ordeo uentilato. Et erit super omni monte excelso, & super omni colle sublimi aqua pertransiens die illo, cum perierint multi, & cum ceciderint turres. Et erit lumen lunæ sicut lumen solis. Et lumẽ solis erit septies clarior eo die, quo sanauerit dñs contritionem populi sui, et dolorem plagæ tuæ curauerit.

Ecce nomen domini uenit post tempus multum, ardens furor cum gloria. Locutio labiorum eius locutio iræ plena, & ira furoris eius quasi ignis deuorat, et spiritus eius sicut aqua in ualle trahens, quę cum uenerit usq; ad collum, diuidetur, ut terreantur gentes in errore uano, & persequetur eos error, & capiet eos in conspectu eorum. Nunquid semper oportet uos lætari, & ingredi ad sancta mea iugiter, quasi festa celebrantes, & quasi gaudentes ingredi cu... ...bia ad montem domini a... deum Israel? Et ut audiatu... ...fficiet deus gloria uocis tuæ, & furor brachij sui, ut ostendat, cum furore & ira, & flamma deuorante, fulminabit uehemẽter, perinde ac aqua & grando deorsum ruens cum uehementia. Nam per uocem domini uincẽtur Assyrij, ea plaga, qua percutiet eos, facietq; hæc ei per circuitum, unde erat ei spes auxilij, in quam is confidebat. Ipsi cum tympanis & cithara pugnabunt cõtra eum ex commutatione. non enim ante dies aspernaberis. nunquid et tibi paratum est regnare? uallem profundam, ligna posita, ignẽ & ligna multa. Furor domini quasi uallis à sulphure accensa.

Væ

ἰδοὺ τὸ ὄνομα κυρίου ἔρχεται διὰ χρόνου πολλοῦ, καιόμενος θυμὸς μετὰ δόξης. τὸ λόγιον τῶν χειλέων αὐτοῦ, τὸ λόγιον ὀργῆς πλῆρες· καὶ ἡ ὀργὴ τοῦ θυμοῦ αὐτοῦ ὡς πῦρ ἔδεται, καὶ τὸ πνεῦμα αὐτοῦ ὡς ὕδωρ ἐν φάραγγι σῦρον, ἥξει ἕως τοῦ ῥαχήλου, καὶ διαιρεθήσεται, τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ· καὶ διώξεται αὐτοὺς πλάνησις, καὶ λήψεται αὐτοὺς κατὰ πρόσωπον αὐτῶν. μὴ διαπαντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι, καὶ εἰσπορεύεσθαι εἰς τὰ ἅγιά μου διαπαντὸς, ὡσεὶ ἑορτάζοντας, καὶ ὡσεὶ εὐφραινομένους εἰσελθεῖν μετὰ αὐλοῦ εἰς τὸ ὄρος κυρίου, πρὸς τὸν θεὸν τοῦ ἰσραήλ; καὶ ἀκουστὴν ποιήσει κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ, καὶ τὸν θυμὸν τοῦ βραχίονος αὐτοῦ, δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς, καὶ φλογὸς κατεσθιούσης, κεραυνώσει βιαίως, καὶ ὡς ὕδωρ καὶ χάλαζα συγκαταφερομένη βίᾳ. διὰ γὰρ τῆς φωνῆς κυρίου ἡττηθήσονται ἀσσύριοι τῇ πληγῇ, ᾗ ἂν πατάξῃ αὐτοὺς, καὶ ἔσται αὐτῷ κυκλόθεν, ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς βοηθείας, ἐφ' ᾧ αὐτὸς ἐπεποίθει. αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς, οὐ γὰρ πρὸ ἡμερῶν ἀθετηθήσῃ. μὴ καί σοι ἡτοιμάσθη βασιλεύειν; φάραγγα βαθεῖαν, ξύλα κείμενα, πῦρ καὶ ξύλα πολλά. ὁ θυμὸς κυρίου, ὡς φάραγξ ὑπὸ θείου καιομένη.

Οὐαὶ

Οὐαὶ οἱ καταβαίνοντες εἰς αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες, καὶ ἐφ' ἅρμασιν. ἔστι γὰρ πολλὰ, καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα. καὶ οὐκ ἤκουσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ ἰσραὴλ, καὶ τὸν θεὸν οὐκ ἐζήτησαν, καὶ αὐτὸς σοφῶς ἦγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, καὶ ἐπαναστήσεται ἐπ' οἴκους ἀνθρώπων πονηρῶν, καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν, αἰγύπτιον ἄνθρωπον, καὶ οὐ θεὸν, ἵππον σαρκὸς, καὶ οὐκ ἔστι βοήθεια. ὁ δὲ κύριος ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, καὶ κοπιάσουσιν οἱ βοηθοῦντες, καὶ ἅμα πάντες ἀπολοῦνται μαχαίρᾳ. ὅτι οὕτως εἶπέ μοι κύριος, ὃν τρόπον ἐὰν βοήσῃ ὁ λέων, ἢ ὁ σκύμνος ἐπὶ τῇ θήρᾳ ἣν ἔλαβε, καὶ κεκράξῃ ἐπ' αὐτὴν, ἕως ἂν ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἡττήθησαν, καὶ τὸ πλῆθος τοῦ θυμοῦ ἐπτοήθησαν, οὕτως καταβήσεται κύριος σαβαὼθ ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος τὸ σιὼν, ἐπὶ τὰ ὄρη αὐτῆς. ὡς ὄρνεα πετόμενα, οὕτως ὑπερασπιεῖ κύριος σαβαὼθ, ὑπὲρ ἱερουσαλὴμ ὑπερασπιεῖ, καὶ ἐξελεῖται, καὶ περιποιήσεται, καὶ σώσει. ἐπιστράφητε οἱ καὶ βαθεῖαν βουλὴν βουλευόμενοι, καὶ ἄνομον υἱοὶ ἰσραήλ. ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ ἀπαρνήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ, καὶ τὰ χειροποίητα τὰ

χρυσᾶ

Væ qui descendunt in Ægyptum ad auxilium, equis confidunt & curribus. Sunt enim multa, & eorum qui equis insident multitudo magna. Neque audierunt cõfidendum esse sancto Israel, neque deum quæsierunt. Quare ipse sapienter adduxit ad eos mala & uerbum eius non frustrabitur, et insurget in domos hominum malorũ, et ad spem eorum uanam, ad Ægyptum hominem & non deum, equum carneum, quare nullum erit auxilium. Nam dominus adducit man[illegible]am ad eos. Et [illegible]orabunt auxiliant[illegible], & simul omnes peribunt gladio. Quia sic dixit mihi dominus: Quemadmodum cum rugierit leo, uel catulus leonis, capta præda, clamauerit super eam, donec impleantur montes uoce eius, & uicti sunt, & magnitudine furoris terrefacti sunt: sic descendet dominus Sabaoth, ut prælietur in monte Sion, in montibus eius. Vt aues uolantes, sic proteget dominus Hierusalem, & liberabit, & fouebit & saluabit. Conuertimini profundum consiliũ consultãtes, & iniquũ, filij Israel. Quia die illa negabunt homines manufacta sua argẽtea, & manufacta

Cap. XXXI

aurea

Sup. 2 aurea, quæ fecerunt manus eorū. Et cadet Assur, non gladius uiri, neq; gladius hominis interficiet eum, neq; effugiet à facie gladij. At iuuenes uincentur, petra enim circundabuntur quasi uallo, & uincentur, fugientes capient. Hæc dicit dominus, Beatus qui habet in Sion semen, & domesticos in Hierusalem.

Ca. XXXII Ecce enim rex iustus regnabit, & principes cū iudicio imperabuntur. Et erit h[illegible] occultans sermones suos, [illegible] abscondetur, ut ab aqua q[illegible] fertur. Et apparebit aliq[illegible] in Sion fluminis instar fluentis, inclyti in terra sitienti, & nequaquam confident hominibus, sed aures dabunt ad audiendū, & cor infirmorum attendet audire. Et linguæ balbutientes citò discent loqui pacem, & non ultra dicent stulto, ut princeps sit, & non ultra dicent ministri tui, tace. Nam fatuus stulte loquetur, & cor eius uane intelliget, ad perficiendum iniqua, & loquendū ad dominum errorem, ut dispergat animas esurientes, & animas sitientes uacuas reddat. Nam consilium malorum iniqua cogitat, ut conficiant humiles in sermonibus iniquis

χρυσᾶ, ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν, καὶ πεσεῖται ἀσσοὺρ, οὐ μάχαιρα ἀνδρὸς, οὐδὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτὸν, καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας. οἱ δὲ νεανίσκοι ἔσονται εἰς ἥττημα, πέτρα γὰρ περιλημφθήσονται ὡς χάρακι, καὶ ἡττηθήσονται, ὁ δὲ φεύγων ἁλώσεται. Τάδε λέγει κύριος, μακάριος, ὃς ἔχει ἐν σιὼν σπέρμα, καὶ οἰκείους ἐν ἱερουσαλήμ.

Ιδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι. καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ, καὶ κρυβήσεται, ὡς ἀφ᾽ ὕδατος φερομένου. καὶ φανήσεται ἐν σιὼν ὡς ποταμὸς φερόμενος, ἔνδοξος ἐν γῇ διψώσῃ, καὶ οὐκέτι ἔσονται πεποιθότες ἐπ᾽ ἀνθρώπους, ἀλλὰ τὰ ὦτα ἀκούειν δώσουσι, καὶ ἡ καρδία τῶν ἀσθενούντων προσέξει τῷ ἀκούειν. καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι ταχὺ μαθήσονται λαλεῖν εἰρήνην, καὶ οὐκέτι μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν, καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου, σίγα. ὁ γὰρ μωρὸς μωρὰ λαλήσει, καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει, τοῦ συντελεῖν ἄνομα καὶ λαλεῖν πρὸς κύριον πλάνησιν, τοῦ διασπεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς ποιῆσαι. ἡ γὰρ βουλὴ τῶν πονηρῶν ἄνομα βουλεύσεται, καταφθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις,

ἀδίκοις, καὶ διασκεδάσαι λόγους ταπεινῶν ἐν κρίσει. οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο, καὶ αὕτη ἡ βουλὴ μενεῖ. Γυναῖκες πλούσιαι ἀνάστητε, καὶ ἀκούσατε τῆς φωνῆς μου. θυγατέρες ἐν ἐλπίδι ἀκούσατε λόγους μου, ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ᾽ ἐλπίδος. ἀνήλωται ὁ τρυγητός, πέπαυται ὁ σπόρος, καὶ οὐκέτι μὴ ἔλθῃ. ἔκστητε, λυπήθητε αἱ πεποιθυῖαι. ἐκδύσασθε, γυμναὶ γένεσθε, περιζώσασθε σάκκους τὰς ὀσφύας, καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε, ἀπὸ ἀγροῦ ἐπιθυμήματος, καὶ ἀμπέλου γενήματος. ἡ γῆ τοῦ λαοῦ μου, ἄκανθα καὶ χόρτος ἀναβήσεται, καὶ ἐκ πάσης οἰκίας εὐφροσύνη ἀρθήσεται. πόλις πλουσία, οἶκοι ἐγκαταλελειμμένοι, πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπιθυμητούς. καὶ ἔσονται αἱ κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος, εὐφροσύνη ὄνων ἀγρίων, βοσκήματα ποιμένων, ἕως ἂν ἔλθῃ ἐφ᾽ ὑμᾶς πνεῦμα ἀφ᾽ ὑψηλοῦ. καὶ ἔσται ἔρημος ὁ χέρμιλ, καὶ ὁ χέρμιλ εἰς δρυμὸν λογισθήσεται, καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρίμα, καὶ δικαιοσύνη ἐν τῷ καρμήλῳ κατοικήσει. καὶ ἔσται τὰ ἔργα τῆς δικαιοσύνης, εἰρήνη. καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἔσονται ἕως τοῦ αἰῶνος, καὶ κατοικήσει ὁ λαὸς αὐτοῦ ἐν πόλει εἰρήνης, καὶ ἐνοικήσει

πεποι-

niquis, et diſsipent uerba humilium in iudicio. At pij ſapienter cogitauerũt, & id conſilium manebit. Mulieres diuites ſurgite, & audite uocem meam. Filiæ in ſpe audite uerba mea, diebus anni mentionem facite in dolore cum ſpe. Conſummata eſt uindemia, ceſſaunt ſemen, & non ultra ueniet. Obſtupeſcite, contriſtamini cõfidentes, exuite uos, nudæ eſtote, accingite ſaccis lumbos ueſtros, & ſuper ubera plangite, ex agro cõcupiſcentiæ [illegible] germinis. T[illegible] populi mei ſpinam & gramen profe[illegible] ex omni domo lætitia auferetur. Ciuitas diues, domus derelictæ ſunt. diuitias ciuitatis dimittẽt, & domos deſiderabiles. Et erunt uillæ ſpeluncæ uſq; in æternum, gaudium onagrorum, paſcua paſtorum, donec adueniat ſuper uos ſpiritus ab excelſo loco. Et fiet ſolitudo Chermel, & Chermel in ſyluis numerabitur, & requieſcet in deſerto iudicium. Sup. 29 Et iuſtitia in Carmelo habitabit. Et erunt opera iuſtitiæ pax, et obtinebit iuſtitia requiem, & confidentes erunt uſque in æternum, & habitabit populus eius in ciuitate pacis, & habitabit

 confidens

confidens, & requiescent cum diuitijs. At grando si descenderit, non super uos ueniet. Et qui in syluis habitant tam erunt cõfidentes, quàm ii qui in campis. Beati seminantes super omnem aquam, ubi bos & asinus calcat.

Ca.XXXIII Væ his qui miseros faciunt, cum tamẽ nemo uos miseros faciat, & reprobanti uos, cum nemo reprobat. Capientur reprobantes, & tradentur, & ut tinea in uestimento, sic isti superabuntur. Domi- n[illegible] mis[illegible]re nostri, tibi eñ confi[illegible]mu[illegible] [illegible]dactum est semen diffidenti[illegible] [illegible]d interitũ, at salus nostra [illegible] [illegible]em pore afflictionis. Propter uocem timoris tui obstupuerunt populi, à timore tuo gentes sunt dispersæ, nunc autem congregabũtur spolia uestra parui & magni. Perinde ac si quis congregauerit locustas, sic illi illudent uobis. Sanctus deus qui habitat in cœlis excelsis, repleta est Sion iudicio & iustitia, in lege tradetur, in thesauris salus nostra, illic sapientia & scientia, & pietas ad dominum: hi sunt thesauri iustitiæ. Ecce iã timore uestro ipsi afficientur, quos timuistis, ii, uos iam timebunt. Angeli enim mittentur adhortantes ad pacẽ, amarè flentes. Deserentur enim horum uiæ.

πεποιθὼς, καὶ ἀναπαύσονται μετὰ πλούτου. ἡ δὲ χάλαζα ἐὰν καταβῇ, οὐκ ἐφ' ὑμᾶς ἥξει. καὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τοῖς δρυμοῖς πεποιθότες, ὡς οἱ ἐν τῇ πεδινῇ. μακάριοι οἱ σπείροντες ἐπὶ παντὸς ὕδατος, οὗ βοῦς καὶ ὄνος πατεῖ.

Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς, ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους, καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ. ἁλώσονται οἱ ἀθετοῦντες, καὶ παραδοθήσονται, καὶ ὡς σὴς ἐφ' ἱματίου, οὕτως ἡττηθήσονται. Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν, ἡ δὲ σωτηρία ὑμῶν ἐν καιρῷ θλίψεως. διὰ φωνὴν τοῦ φόβου σου ἐξέστησαν λαοὶ ἀπὸ τοῦ φόβου σου, καὶ διεσπάρησαν τὰ ἔθνη, νῦν δὲ συναχθήσεται τὰ σκῦλα ὑμῶν μικροῦ καὶ μεγάλου. ὃν τρόπον ἐάν τις συναγάγῃ ἀκρίδας, οὕτως ἐμπαίξουσιν ὑμῖν. ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν οὐρανοῖς ὑψηλοῖς, ἐνεπλήσθη Σιὼν κρίσεως καὶ δικαιοσύνης, ἐν νόμῳ παραδοθήσονται, ἐν θησαυροῖς ἡ σωτηρία ἡμῶν, ἐκεῖ σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια πρὸς τὸν κύριον. οὗτοί εἰσι θησαυροὶ δικαιοσύνης. ἰδοὺ δὴ ἐν τῷ φόβῳ ὑμῶν οὗτοι φοβηθήσονται. οὓς ἐφοβεῖσθε, φοβηθήσονται ἀφ' ὑμῶν. ἄγγελοι γὰρ ἀποσταλήσονται παρακαλοῦντες εἰρήνην, πικρῶς κλαίοντες. ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί.

ὁδοί. πέπαυται ὁ φόβος τῶν ἐθνῶν, καὶ ἡ πρὸς τούτους διαθήκη αἴρεται, καὶ οὐ μὴ λογισθήσεσθε αὐτοὺς ἀνθρώπους. ἐπένθησεν ἡ γῆ, ᾐσχύνθη ὁ Λίβανος, ἐγένετο ὡς ἔρημος ὁ Σαρών, φανερὰ ἔσται ἡ Γαλιλαία καὶ ὁ Κάρμηλος. νῦν ἀναστήσομαι, λέγει κύριος, νῦν δοξασθήσομαι, νῦν ὑψωθήσομαι, νῦν ὄψεσθε, νῦν αἰσθηθήσεσθε, ματαία ἔσται ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν. πῦρ κατέδεται ὑμᾶς, καὶ ἔσονται ἔθνη κατακεκαυμένα, ὡς ἄκανθα ἐν ἀγρῷ ἐρριμμένη καὶ κατακεκαυμένη. ἀκούσονται οἱ πόρρωθεν, ἃ ἐποίησα, καὶ γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. ἀπέστησαν οἱ ἐν Σιὼν ἄνομοι, λήψεται τρόμος τοὺς ἀσεβεῖς. τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον; πορευόμενος ἐν δικαιοσύνῃ, λαλῶν εὐθεῖαν ὁδόν, μισῶν ἀνομίαν καὶ ἀδικίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων. βαρύνων τὰ ὦτα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος. καμμύων τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἵνα μὴ ἴδῃ ἀδικίαν, οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς. ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν. βασιλέα μετὰ δόξης ὄψεσθε, καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται γῆν πόρρωθεν, ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον. ποῦ εἰσιν γραμματικοί; ποῦ εἰσιν οἱ συμβουλεύοντες; ποῦ ἐστιν ὁ

ἀριθμῶν

uiæ. Cessauit timor gentium, & testamentū quod ad illos attinet tollitur, neque eos in hominum numero habebit. Luxit terra, confusus est Libanus, tanquam solitudo facta est Scharon, manifesta erit Galilæa & Carmelus. Nunc cōsurgā dicit dominus, nunc gloriose prædicabor, nunc in altum efferar, nunc uidebitis, nunc sentietis, uanam fieri fortitudinem spiritus uestri. Ignis uos conficiet, & comburentur gentes, tanquam spina in agro proiecta & combusta. Audiēt qui lōge sunt quæ feci, & scient qui appropinquāt fortitudinem meam. Recesserunt qui in Sion iniqui, apprehendet tremor iniquos. Quis annunciabit uobis, quod ignis ardeat? quis annunciabit uobis locum æternum? Ambulās in iustitia, loquens rectum uiam, qui odit iniquitatē & iniustitiam, & è manibus eiiciens munera. Obturans aures, ut non audiat iudiciū sanguinis, claudens oculos, ut non uideat iniquitatem, hic habitabit in excelsa spelunca petræ fortis. Panis ei dabitur, & aqua. regem cum gloria uidebitis, et oculi nr̄i uidebūt terrā procul: anima uestra meditabit̄ timorē. Vbi sunt literati? ubi sūt cōsiliatores? ubi est 1. Cor. 1

numerans

numerās eos, qui in agmē cogunt paruū et magnum populū? Cui non dederūt consiliū, neq; sciebat profundā uocem habentē ita, ut nō audiret populus cōtemptus, & nō est audiēti intelligentia. Ecce Sion ciuitas salutare nostrū, oculi tui uidebūt Hierusalē, ciuitatē diuitē, tabernacula quæ non commouebuntur, neq; mouebunt paxilli tabernaculi eius in æternū tēpus, neq; funiculi ei⁹ disrumpent: quia nomen dñi magnū uobis erit. Locus ua[illegible]erit, flumina, & fossę latę & [illegible]osæ. Nō ambulabis hanc [illegible] neq; trāsibit nauē agitan[illegible]gio. nā deus meus magnus est. Nō pręteribit me dñs, dñs iudex noster, dñs princeps noster, dñs rex noster, dominus ipse nos saluabit. Dirupti sunt funiculi tui, quia non præualuerūt. Tela tua inclinata est, non pandet uela, non tollet signū, donec tradatur uastationi. Igit multi claudi prædā faciēt, neq; ego laborabo. Dimisśū est ēm eis delictū, qui habitant, populus qui habitat in ea.

Caput XXXIIII Accedite gentes, & audite principes. Audiat terra & in ea habitantes, orbis terrę & populus qui in ea. Quia furor domini est contra omnes gentes, & ira in numerum eorum, ut perdat eos, & tradat

ἀριθμῶν τοὺς συντρεφομένους μικρὸν καὶ μέγαν λαόν; ᾧ οὐ συνεβουλεύσαντο, οὐδὲ ᾔδει βαθύφωνον, ὥστε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος, καὶ οὐκ ἔστι τῷ ἀκούοντι σύνεσις. ἰδοὺ σιὼν ἡ πόλις, τὸ σωτήριον ὑμῶν, οἱ ὀφθαλμοί σου ὄψονται ἱερουσαλὴμ, πόλις πλουσία, σκηναὶ αἳ οὐ μὴ σεισθῶσιν, οὐδὲ μὴ κινηθῶσιν, οἱ πάσσαλοι τῆς σκηνῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον, οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ διαῤῥαγῶσιν, ὅτι τὸ ὄνομα κυρίου μέγα ὑμῖν. τόπος ὑμῖν ἔσται, ποταμοὶ καὶ διώρυγες πλατεῖς καὶ εὐρύχωροι. οὐ πορεύσῃ ταύτην τὴν ὁδόν. οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον. ὁ γὰρ θεός μου μέγας ἐστίν. οὐ παρελεύσεταί με κύριος κριτὴς ἡμῶν, κύριος ἄρχων ἡμῶν, κύριος βασιλεὺς ἡμῶν, κύριος αὐτὸς ἡμᾶς σώσει. ἐῤῥάγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσεν, ὁ ἱστός σου ἔκλινεν, οὐ χαλάσει τὰ ἱστία, οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ εἰς προνομήν. τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσιν, καὶ οὐ μὴ κοπιῶ. ἀφέθη γὰρ αὐτοῖς ἡ ἁμαρτία, οἱ κατοικοῦντες, ὁ λαὸς ἐνοικῶν ἐν αὐτῇ.

Προσαγάγετε ἔθνη, καὶ ἀκούσατε ἄρχοντες. ἀκουσάτω ἡ γῆ, καὶ οἱ ἐν αὐτῇ, ἡ οἰκουμένη, ὁ λαὸς ὁ ἐν αὐτῇ. διότι θυμὸς κυρίου ἐπὶ πάντα τὰ ἔθνη, καὶ ὀργὴ ἐπὶ τὸν ἀριθμὸν αὐτῶν τοῦ ἀπολέσαι αὐτοὺς, καὶ παραδοῦναι

αὐτοὺς εἰς σφαγήν. οἱ δὲ τραυμα-
τίαι αὐτῶν ῥιφήσονται, καὶ οἱ νεκροί,
καὶ ἀναβήσεται αὐτῶν ἡ ὀσμή, καὶ
βρεχθήσεται τὰ ὄρη ἀπὸ τοῦ αἵματος
αὐτῶν. καὶ τακήσονται πᾶσαι αἱ δυ-
νάμεις τῶν οὐρανῶν, καὶ ἑλιγήσεται ὁ
οὐρανὸς ὡς βιβλίον, καὶ πάντα τὰ
ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου.
καὶ ὡς πίπτει φύλλα ἀπὸ συκῆς, ἐ-
μεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ.
ἰδοὺ ἐπὶ τὴν ἰδουμαίαν καταβήσε-
ται, καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας με-
τὰ κρίσεως. ἡ μάχαιρα τοῦ κυρίου ἐν-
επλήσθη αἵματος, ἐπαχύνθη ἀπὸ
στέατος, ἀπὸ αἵματος τράγων καὶ
ἀμνῶν, καὶ ἀπὸ στέατος τράγων καὶ
κριῶν. ὅτι θυσία τῷ θεῷ ἐν Βοσόρ, καὶ
σφαγὴ μεγάλη ἐν τῇ ἰδουμαίᾳ, καὶ
συμπεσοῦνται οἱ ἁδροὶ μετ' αὐτῶν, καὶ
οἱ κριοὶ καὶ οἱ ταῦροι, καὶ μεθυσθήσε-
ται ἡ γῆ ἀπὸ τοῦ αἵματος, καὶ τὸ χῶ-
μα αὐτοῦ, ἀπὸ τοῦ στέατος αὐτῶν ἐμ-
πλησθήσεται. ἡμέρα γὰρ κρίσεως κυ-
ρίου, καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρί-
σεως σιών. καὶ στραφήσονται αἱ φάραγ-
γες αὐτῆς εἰς πίσσαν, καὶ ἡ γῆ αὐτῆς
εἰς θεῖον. καὶ ἔσται ἡ γῆ αὐτῆς ὡς πίσ-
σα καιομένη νυκτὸς καὶ ἡμέρας, καὶ
οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον,
καὶ ἀναβήσεται ὁ καπνὸς αὐτῆς ἄ-
νω. εἰς γενεὰς αὐτῆς ἐρημωθήσε-
ται, καὶ εἰς χρόνον πολὺν ἐρημωθή-
σεται, καὶ κατοικήσουσιν ἐν αὐτῇ ὄρνεα
καὶ ἐχῖνοι, καὶ ἴβεις καὶ κόρακες.
καὶ

eos mactationi. At uulne-
rati eorum proiicientur,
& mortui, & ascendet e-
orum fœtor, & rigabun-
tur montes ſanguine eo-
rum. Et tabeſcent omnes
cœli uirtutes, & conuol-
uetur cœlum tanquam uo
lumen, & omnes ſtellæ ca
dent ſicut folia ex uite, &
ſicut cadunt folia ex ficu,
quoniam ebrius eſt factus
gladius meus in cœlo. Ec
ce ad Idumæam deſcen-
det, & ad populum interi
tui deſtinatum cum iudi-
cio. Gladius domini re-
pletus eſt ſan[illegible] pin-
gue fact[illegible] est adipe &
ſangui[illegible] hircorum & ag
ne[illegible], & adipe hircorũ
& arietum. Quia ſacri-
ficium deo in Boſor, &
mactatio magna in Idu-
mæa, & ſicut cadent ro-
buſti cum eis, & arietes
& tauri, & ebria fiet ter-
ra ſanguine, & puluis e-
ius adipe illorum implebi
tur. Dies enim iudicij do-
mini, & annus retributio
nis iudicij Sion adeſt. Et
conuertentur ualles eius
in picem, & terra eius in
ſulphur. Et erit terra eius
pix ardens nocte et die, et
non extinguetur in æter-
num tempus, & aſcendet
fumus eius ſurſum. In ge-
nerationes deſeret, et in tē
pus multũ deſeret, & ha-
bitabũt in ea aues & eri-
nacei, & ibices & corui.
Et

Et iniicietur super eam funiculus Geometriæ deserti, & onocentauri habitabunt in ea. Principes eius non erunt. Nam reges eius & principes, et magnates eius interibunt, et renascetur in ciuitatibus eorum spinea ligna, & in munitionibus eius, et erũt cubilia Sirenum, & aula struthionum, et occurrent demonia onocẽtauris. Et clamabit alter ad alterũ, illic requiescet onocentauri. Inuenerunt enim sibi requiem, illic nidum construxi... ericeus, et salua bit terra filio... cum securitate. illic ce... occur rerunt, & uiderunt ...ies inter se. Numero transierunt, et una ex eis non periit, altera alterã non quæsiuit, quia dominus ipsis præcepit, & spiritus eius congregauit illos. Et ipse immittet eis sorores, & manus eius diuisit, ut pascerentur. In æternum tempus hæreditatem habebitis, et in omnes ætates qui escent in ea.

Ca.XXXV Lætare desertum sitiens, exultet solitudo, et flo
Infra 60 reat quasi lilium. Et florebunt et exultabunt solitudines Iordanis, et gloria Libani data est ei, et honor Carmeli, et populus meus uidebit gloriam domini, et altitudinẽ dei. Corroborate manus remissæ et ge-

καὶ ἐπιβληθήσεται ἐπ' αὐτὴν σπαρτίον γεωμετρίας ἐρήμου, καὶ ὀνοκένταυροι οἰκήσουσιν ἐν αὐτῇ. οἱ ἄρχοντες αὐτῶν οὐκ ἔσονται. οἱ γὰρ βασιλεῖς αὐτῶν, καὶ οἱ μεγιστᾶνες αὐτῆς ἔσονται εἰς ἀπώλειαν. καὶ ἀναφύει εἰς τὰς πόλεις αὐτῶν ἀκάνθινα ξύλα, καὶ εἰς τὰ ὀχυρώματα αὐτῶν, καὶ ἔσονται ἐπαύλεις σειρήνων, καὶ αὐλὴ στρουθίων. καὶ συναντήσουσι δαιμόνια ὀνοκενταύροις. καὶ βοήσονται ἕτερος πρὸς τὸν ἕτερον, ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι. εὗρον γὰρ αὐτοῖς ἀνάπαυσιν. ἐκεῖ ἐνόσσευσεν ἐχῖνος, καὶ ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας. ἐκεῖ συνήντησαν ἔλαφοι, καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων. ἀριθμῷ παρῆλθον, καὶ μία αὐτῶν οὐκ ἀπώλετο, ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν, ὅτι ὁ κύριος αὐταῖς ἐνετείλατο, καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς. καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους, καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκεσθαι. εἰς τὸν αἰῶνα χρόνον κληρονομήσετε, εἰς γενεὰς γενεῶν ἀναπαύσονται ἐπ' αὐτῶν.

Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνων. καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ ἰορδάνου, ἡ δόξα τοῦ λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου, καὶ τὸ ὕψος τοῦ θεοῦ. ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ

καὶ γόνατα παραλελυμένα, παρα-
καλέσατε οἱ ὀλιγόψυχοι τῇ δια-
νοίᾳ. ἰσχύσατε, μὴ φοβεῖσθε. ἰδοὺ ὁ
θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι,
καὶ ἀνταποδώσει. αὐτὸς ἥξει καὶ σώ-
σει ἡμᾶς. τότε ἀνοιχθήσονται ὀφθαλ-
μοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσον-
ται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χω-
λὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλά-
λων, ὅτι ἐῤῥάγη ἐν τῇ ἐρήμῳ ὕδωρ,
καὶ φάραγξ ἐν γῇ διψώσῃ, καὶ ἔσται
ἡ ἄνυδρος εἰς ἕλη. καὶ εἰς τὴν δι-
ψῶσαν γῆν πηγὴ ὕδατος ἔσται, ἐ-
κεῖ εὐφροσύνη ὀρνέων, ἐπαύλεις κα-
λάμου ποιμνίου καὶ ἕλη. ἔσται ἐκεῖ ὁ-
δὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθή-
σεται, καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκά-
θαρτος, οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκά-
θαρτος. οἱ δὲ διεσπαρμένοι πορεύ-
σονται ἐν αὐτῇ, καὶ οὐ μὴ πλανη-
θῶσι. καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ
τῶν πονηρῶν θηρίων οὐ μὴ ἀναβῇ
εἰς αὐτὴν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ, ἀλλὰ
πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι,
καὶ συνηγμένοι διὰ κύριον, καὶ ἀ-
ποστραφήσονται, καὶ ἥξουσιν εἰς σιὼν
μετ᾽ εὐφροσύνης, καὶ εὐφροσύνη
αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. ἐπὶ
γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις, καὶ
ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλή-
ψεται αὐτοὺς, ἀπέδρα ὀδύνη καὶ λύπη
καὶ στεναγμός.

Καὶ ἐγένετο τοῦ τεσσαρεσκαιδε-
κάτου ἔτους βασιλεύοντος ἐζεκίου,
ἀνέβη

et genua dissoluta, conso-
lamini eos, qui paruo ani-
mo sunt ac mente. sitis ro-
busti, ne timeatis. Ecce Mat. 15
deus noster iudicium retri-
buit, et retribuet. Ipse ue-
niet, et saluabit nos. Tunc
aperientur oculi cæcorũ,
et aures surdorum audi-
ent, tunc saltabit sicut cer-
uus claudus, et diserta erit
lingua balborũ, quia erũ-
pit in deserto aqua et ual-
lis in terra sitiente. Ver-
tentur sine aquis loca in
paludes, et in sitiente terra
fons aquæ erit, illic læti-
tia auiũ, caulæ [illegible]dinis
gregis et [illegible]des. Erit il-
lic uia [illegible]ra, et uia sancta
uo[illegible]itur, et non transibit
illac immundus, neq; erit
illic uia immunda. At di-
spersi ambulabunt in ea,
et non errabunt, et non e-
rit illic leo, neq; ulla mala
bestia ascendet ad eam,
neq; inuenietur illic, sed
ambulabunt in ea redem-
pti, et congregati per do-
minum, et cõuertentur, et
uenient in Sion cum læti-
tia, et lætitia sempiterna
super caput eorum. Nam
in capite eorum laus et ex-
ultatio, et lætitia capiet
eos, fugit dolor et tristitia
et gemitus.

Et factũ est quartodeci- CXXXVI
mo anno, regnãte Ezecia
ascendit

4.Reg.18 ascēdit Sennacherim rex
2.Pa.32 Assyriorum ad ciuitates
munitas,& cepit eas. Et
misit rex Assyriorum Ra
psacen ex Lachis in Hie
rusalem, ad regem Eze-
ciam. cum copijs mul-
tis,& stetit in aquæductu
piscinæ superioris, in uia
agri fullonis. Et egressus
est ad eum Eliacim filius
Chelciç aulæ moderator,
& Somnas scriba, & Io-
ach filius Asaph, qui erat
à commentariis, & dixit
eis Rapsaces: Dicite ad
Eze[illegible] Hæc dicit rex,
magnus ille [illegible] Assyriorū,
Cui cōfidis? nu[illegible] [illegible]d con
silio aut sermonibu[illegible] [illegible]bio
rum prælium fit? & nunc
in quem confidis, quod
non obtemperas mihi?
Ecce confidis uirgæ a-
rundineæ confractæ isti,
Ægypto,cui si innixus fu
erit uir, intrabit in manū
eius, & perforabit eam.
Sic est Phaaro ex Ægy
pti,& omnes qui ei confi
dunt. Quod si dicatis,Do
mino deo nostro confidi-
mus, non'ne ipse est, cui
abstulit Ezecias excelsa,
& altaria? & dixit Iu-
dæ & Hierusalem,coram
facie altaris huius adorabi
tis nūc. Miscemini uos do
mino

ἀνέβη σενναχηρὶμ βασιλεὺς ἀσσυ-
ρίων ἐπὶ τὰς πόλεις τῆς ἰουδαίας
τὰς ὀχυρὰς, καὶ ἔλαβον αὐτάς. καὶ
ἀπέστειλε βασιλεὺς ἀσσυρίων τὸν
ῥαψάκην ἐκ λάχις εἰς ἱερουσαλὴμ
πρὸς τὸν βασιλέα ἐζεκίαν μετὰ δυ
νάμεως πολλῆς, καὶ ἔστη ἐν τῷ ὑδρα
γωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἐν τῇ
ὁδῷ τοῦ ἀγροῦ τοῦ κναφέως. καὶ ἐξῆλ
θε πρὸς αὐτὸν ἐλιακεὶμ ὁ τοῦ χελκίου
ὁ οἰκονόμος, καὶ σομνᾶς ὁ γραμμα
τεὺς, καὶ ἰωὰχ ὁ τοῦ ἀσὰφ ὁ ὑπομν
ηματογράφος. καὶ εἶπεν αὐτοῖς ῥα
ψάκης, εἴπατε δὴ πρὸς ἐζεκίαν, τάδε
δὲ λέγει ὁ βασιλεὺς, ὁ μέγας βασι
λεὺς ἀσσυρίων, τίνι πεποιθὼς εἶ;
μὴ ἐν βουλῇ ἢ λόγοις χειλέων παι
ράταξις γίνεται; καὶ νῦν ἐπὶ τίνα
πέποιθας, ὅτι ἀπειθεῖς μοι; ἰδοὺ πε
ποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν κα-
λαμίνην τὴν τεθλασμένην ταύτην,
ἐπ' αἴγυπτον, ὡς ἂν ἐπιστηριχθῇ
ἀνὴρ ἐπ' αὐτῇ, εἰσελεύσεται εἰς τὴν
χεῖρα αὐτοῦ, καὶ τρήσει αὐτήν. οὕ-
τως ἐστὶ φαραὼ βασιλεὺς αἰγύπτου,
καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐ-
τῷ. εἰ δὲ λέγετε πρός με, ἐπὶ κύ-
ριον τὸν θεὸν ἡμῶν πεποίθαμεν,
οὐκ αὐτός ἐστιν, οὗ ἀφεῖλεν ἐζε-
κίας τὰ ὑψηλὰ αὐτοῦ, καὶ τὰ θυ-
σιαστήρια αὐτοῦ; καὶ εἶπε τῷ ἰού-
δα καὶ τῇ ἱερουσαλὴμ, κατὰ πρό-
σωπον τοῦ θυσιαστηρίου τούτου προσ-
κυνήσατε νῦν; μίχθητε δὴ τῷ κυ-
ρίῳ μου

ρίῳ μου τῷ βασιλεῖ ἀσσυρίων, καὶ δώσω ὑμῖν δισχιλίαν ἵππων, εἰ δυνήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς. καὶ πῶς δύνασθε ἀποστρέψαι εἰς πρόσωπον τῶν τοπαρχῶν; οἰκέται εἰσίν, οἱ πεποιθότες ἐπ' αἰγυπτίοις, εἰς ἵππον καὶ ἀναβάτην. καὶ νῦν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην πολεμῆσαι αὐτήν. κύριος εἶπε πρός με, ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην, καὶ διάφθειρον αὐτήν. καὶ εἶπε πρὸς αὐτὸν ἐλιακείμ καὶ σομνᾶς, καὶ ἰωὰχ πρὸς ῥαψάκην, λάλησον δὴ πρὸς τοὺς παῖδάς σου συριστί. ἀκούομεν γὰρ ἡμεῖς, καὶ μὴ λάλει πρὸς ἡμᾶς ἰουδαϊστί. καὶ ἵνα τί λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων τῶν ἑστηκότων ἐπὶ τῷ τείχει; καὶ εἶπε πρὸς αὐτοὺς ῥαψάκης, μὴ πρὸς τὸν κύριον ὑμῶν, ἢ πρὸς ὑμᾶς ἀπέσταλκέ με ὁ κύριός μου, λαλῆσαι τοὺς λόγους τούτους, οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ τῷ τείχει, ἵνα φάγωσι κόπρον, καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅμα; καὶ ἔστη ῥαψάκης, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ ἰουδαϊστί, καὶ εἶπον, ἀκούσατε τοὺς λόγους βασιλέως, τοῦ μεγάλου βασιλέως ἀσσυρίων. τάδε λέγει ὁ βασιλεὺς, μὴ ἀπατάτω ὑμᾶς ἐζεκίας λόγοις, οὐ μὴ δύνηται ῥύσασθαι ὑμᾶς, καὶ μὴ λεγέτω ὑμῖν ἐζεκίας, ὅτι ῥύσεται ὑμᾶς ὁ θεὸς, καὶ οὐ μὴ παραδοθῇ ἡ πό-

λις

mino meo regi Assyriorum, & dabo uobis duo millia equorum, si poteritis dare equites super eos. Et quomodo potestis stare corā ducib. loci unius? Serui sunt qui confidunt Ægyptijs, equo, & domitori equi, & nunc nō sine dño ascēdimus ad regionē hanc oppugnatum eam. Dominus dixit ad me, Ascende in eam, et disperde eam. Et dixit ad eum Eliacim, & Somnas, & Ioas ad Rapsacen: Loquere iam ad seruos tuos Syriacè, audiemi[illegible]m nos, et non lo[illegible]s ad nos Iudaicè. E[illegible] quare loqueris in aures hominū stantiū sup murū? Et ait ad eos Rapsaces: Vtrū ad dominū tuū an ad uos misit me dominus meus ut hæc uerba faciam, non ne ad homines sedentes super murum, ut comedant stercus, & bibant urinam uobiscum? Et stetit Rapsaces, & clamauit uocē magna Iudaicè, & ait, Audite iam uerba regis magni illius regis Assyriorum. Hæc dicit rex: Non decipiat uos Ezecias uerbis, quibus non poterit liberare uos, & non dicat uobis Ezecias, liberabit uos deus, & non tradetur ciui-

f tas

tas ista in manu regis Assyriorum. Non audiatis Ezeciam. Hæc dicit rex Assyriorum, Si uultis fortunari, egredimini ad me, & comedite singuli uitē suam et ficus, et bibite singuli aquam cisternæ suæ, donec ueniā, & accipiam uos in terram quę perinde est ac terra uestra, terra frumenti & uini, & panum & uinearū. Non seducat uos Ezecias dicens, Deus liberabit nos. Nunquid liberauerūt dij gentium, singuli suam regionē de manu regis Assyriorum? [illegible] est deus Emath & Arph[illegible] & ubi deus ciuitatis Se[illegible]haruaim? Nunquid potuerunt liberare Samariam à ma manu mea? Quis deorum omnium gentium harum, liberauit terram suam de manu mea? quomodo ergo liberabit dominus Hierusalē de manu mea? Et siluerunt, & nemo ei respondit uerbum. quia præceperat rex, ut nihil respōderēt. Et intrauit Eliacim filius Helchiæ magister aulę, et Sōnas scriba exercitus Et Ioach filius Asaph à commētarijs ad Ezeciā, induti tunicis, et nūciauerūt ei sermōes Rapsacis.

Cap. XXXVII 4.Reg.19 Et factum est cum audiret rex Ezechias, scidit uestimenta sua, & induit saccum, & ascendit in domum Domini, & misit

λις αὕτη ἐν χειρὶ βασιλέως ἀσσυρίων. μὴ ἀκούετε ἐζεκίου. τάδε λέγει ὁ βασιλεὺς ἀσσυρίων, εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρός με, καὶ φάγεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ, καὶ τὰς συκᾶς, καὶ πίεσθε ὕδωρ ἐκ τοῦ λάκκου ὑμῶν, ἕως ἂν ἔλθω, καὶ λάβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ σίτου καὶ οἴνου, καὶ ἄρτων καὶ ἀμπελώνων. μὴ ἀπατάτω ὑμᾶς ἐζεκίας, λέγων, ὁ θεὸς ῥύσεται ὑμᾶς. μὴ ἐῤῥύσαντο οἱ θεοὶ τῶν ἐθνῶν, ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως ἀσσυρίων; ποῦ ἐστιν ὁ θεὸς ἐμὰθ καὶ ἀρφάθ; καὶ ποῦ ὁ θεὸς τῆς πόλεως σεπφαρουαίμ; μὴ ἐδύναντο ῥύσασθαι σαμάρειαν ἐκ χειρός μου; τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων, ὅστις ἐῤῥύσατο τὴν γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ θεὸς τὴν ἱερουσαλὴμ ἐκ χειρός μου; καὶ ἐσιώπησαν, καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον, διὰ τὸ προστάξαι τὸν βασιλέα μηδένα ἀποκριθῆναι. καὶ εἰσῆλθεν ἐλιακεὶμ ὁ τοῦ χελκίου ὁ οἰκονόμος, καὶ σομνᾶς ὁ γραμματεὺς τῆς δυνάμεως, καὶ ἰωὰχ ὁ τοῦ ἀσὰφ ὁ ὑπομνηματογράφος πρὸς ἐζεκίαν, περιεσχισμένοι τοὺς χιτῶνας, καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λόγους ῥαψάκου.

Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα ἐζεκίαν, ἔσχισε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἀνέβη εἰς τὸν οἶκον κυρίου, καὶ

ἀπέστ

ἀπέστειλεν ἐλιακεὶμ τὸν οἰκονόμον,
καὶ σομνᾶν τὸν γραμματέα, καὶ
τοὺς πρεσβυτέρους τῶν ἱερέων περι-
βεβλημένους σάκκους, πρὸς ἠσαΐαν
υἱὸν ἀμὼς τὸν προφήτην, καὶ εἶπαν
αὐτῷ, τάδε λέγει ἐζεκίας, ἡμέρα θλί-
ψεως καὶ ὀνειδισμοῦ, καὶ ἐλεγμοῦ,
καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει
ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει
τοῦ τεκεῖν, εἴπως εἰσακούσεται κύ-
ριος ὁ θεός σου τοὺς λόγους ῥαψάκου,
οὓς ἀπέστειλε βασιλεὺς ἀσσυρίων
ὁ κύριος αὐτοῦ, ὀνειδίζειν θεὸν ζῶν-
τα, καὶ ὀνειδίζειν λόγους οὓς ἤκου-
σε κύριος ὁ θεός σου, καὶ δεηθήσῃ
πρὸς κύριον τὸν θεόν σου περὶ τῶν
καταλελειμμένων τούτων. καὶ ἦλ-
θον οἱ παῖδες τοῦ βασιλέως ἐζεκίου
πρὸς ἠσαΐαν, καὶ εἶπεν αὐτοῖς ἠ-
σαΐας, οὕτως ἐρεῖτε πρὸς τὸν κύρι-
ον ὑμῶν. τάδε λέγει κύριος, μὴ φο-
βηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας,
οὓς ὠνείδισάν με οἱ πρέσβεις βασι-
λέως ἀσσυρίων. ἰδοὺ ἐγὼ ἐμβαλῶ
εἰς αὐτὸν πνεῦμα, καὶ ἀκούσας ἀγ-
γελίαν, ἀποστραφήσεται, εἰς τὴν χώ-
ραν αὐτοῦ, καὶ πεσεῖται μαχαίρᾳ
ἐν τῇ γῇ αὐτοῦ. καὶ ἀπέστρεψε ῥα-
ψάκης, καὶ κατέλαβε τὸν βασιλέα
ἀσσυρίων πολιορκοῦντα λοβνᾶν. καὶ
ἤκουσεν ὅτι ἀπῆρεν ἀπὸ λάχης, καὶ
ἐξῆλθε θαρακὰ βασιλεὺς αἰθιό-
πων πολιορκῆσαι αὐτόν. καὶ ἀ-
κούσας ἀπέστρεψε, καὶ ἀπέστειλεν

ἀγγέ

misit Eliacim magistrum
aulæ, & Somnam scribā,
& seniores sacerdotum in
dutos saccis ad Hesaiā fi-
lium Amos prophetā, &
dixerūt ei, Hęc dicit Eze-
cias, Dies tribulationis,
& opprobrij, redarguti-
onis & irę hodiernus est
dies. Quia uenit dolor pa-
rienti, sed uires non habet
ad pariendum: si quo mo
do audiat dominus deus
tuus uerba Rapsacis, quę
misit rex Assyriorum do-
mi nus eius ad maledicen-
dum deo uiuēti, et obijci
endum uerba, o[illegible]di-
uit dominus [illegible]uus, &
depreca[illegible] ad dominū
deū t[illegible] pro relictis his.
Et uenerūt serui Eze-
ciæ ad [illegible]esaiā, et ait illis
Hesaias, Sic dicetis ad do
minum uestrū, Hæc dicit
dominus, ne timeas uerba
quæ audisti, quibus uitu-
perarunt me legati regis
Assyriorū. Ecce ego im-
mittam in eum spiritum, et
audiens nuncium reuer-
tetur in regionem suam,
& cadet gladio in terra
sua. Et reuersus est Rapsa
ces, & inuenit regem As-
syriorum obsidētem Lo-
bnan. Et audiuit quod
discesserit à Lachis, &
egressus est Tharaca rex
Æthiopum, ut obsideret
eum. Illo hæc audien-
te, reuersus est, & misit

nuncios

nuncios ad Ezechiam di-
cens, Sic dicetis Eze-
chiæ regi Iudææ: Non de
cipiat te deus tuus in quo
tu confisus es, dicens, Nõ
tradetur Hierusalẽ in ma-
nu regis Assyriorum: tu
non audisti, quæ fecerunt
reges Assyriorum omni
terræ quam destruxerũt,
et tu liberaberis? Nunqd
liberauerunt eos dij gen-
tium, quos perdiderũt pa
tres mei, & Gozan &
Charran, & Rasem, quæ
sunt in regiõe Theemath.
Vbi sunt reges Emath, et
ubi A[illegible]th, & ubi ciui-
tatis Epph[illegible]im, Ana &
Aba? Et accep[illegible]zechi-
as librũ à nunciis, [illegible]itq;
illum: & ascendit in domũ
domini, & aperuit illum
coram domino. Et orauit
Ezechias ad dominũ di-
cẽs: Domine Sabaoth de-
us Israel, qui sedes super
Cherubim, tu es deus so-
lus omnis regni orbis ter-
ræ, tu fecisti cœlum & ter
ram, inclina domine aurẽ
tuam, exaudi domine, a-
peri domine oculos tuos,
inspice domine, & uide,
& audi omnia uerba Sen
nacherib, qui misit ad ui-
tuperandum deum uiuen-
tem. Equidem uerum est
domine, uastauerunt re-
ges Assyriorũ orbem ter-
ræ totũ & regionẽ eorũ,
& iniecerũt idola illius in
ignem, nõ enim dii erant,
sed

ἀγγέλους πρὸς ἐζεκίαν, λέγων, οὕ-
τως ἐρεῖτε ἐζεκίᾳ βασιλεῖ τῆς ἰουδαί-
ας, μή σε ἀπατάτω ὁ θεός σου, ἐφ᾽ ᾧ
πέποιθας ἐπ᾽ αὐτῷ λέγων, οὐ μὴ
παραδοθῇ ἱερουσαλὴμ ἐν χειρὶ βα-
σιλέως ἀσσυρίων. σὺ οὐκ ἤκουσας ἃ
ἐποίησαν βασιλεῖς ἀσσυρίων, πᾶ-
σαν τὴν γῆν ὡς ἀπώλεσαν, καὶ σὺ
ῥυσθήσῃ; μὴ ἐῤῥύσαντο αὐτοὺς οἱ
θεοὶ τῶν ἐθνῶν, οὓς ἀπώλεσαν οἱ πα-
τέρες μου, τήν τε γωζὰν, καὶ χαῤῥὰν,
καὶ ῥασὲμ, αἵ εἰσιν ἐν χώρᾳ θεεμάθ.
ποῦ εἰσι βασιλεῖς ἐμὰθ, καὶ ποῦ ἀρ-
φὰθ, καὶ ποῦ πόλεως ἐπφαρουὶμ, ἀ-
να καὶ ἄβα; καὶ ἔλαβεν ἐζεκίας τὸ
βιβλίον παρὰ τῶν ἀγγέλων, καὶ ἀ-
νέγνω αὐτὸ, καὶ ἀνέβη εἰς οἶκον κυ-
ρίου, καὶ ἤνοιξεν αὐτὸ ἐναντίον κυ-
ρίου. καὶ προσηύξατο ἐζεκίας πρὸς
κύριον λέγων, κύριος σαββαὼθ ὁ
θεὸς ἰσραὴλ, ὁ καθήμενος ἐπὶ τῶν
χερουβὶμ, σὺ εἶ ὁ θεὸς μόνος πάσης
βασιλείας τῆς οἰκουμένης, σὺ ἐποίη-
σας τὸν οὐρανὸν καὶ τὴν γῆν, κλῖ-
νον κύριε τὸ οὖς σου, εἰσάκουσον κύ-
ριε, ἄνοιξον κύριε τοὺς ὀφθαλμούς
σου, ἔπιβλεψον κύριε, καὶ ἰδὲ, καὶ ἄ-
κουσον πάντας τοὺς λόγους σενα-
χηρεὶμ οὓς ἀπέστειλεν ὀνειδίζειν θε-
ὸν ζῶντα. ἐπ᾽ ἀληθείας γὰρ κύριε
ἠρήμωσαν βασιλεῖς ἀσσυρίων τὴν
οἰκουμένην ὅλην, καὶ τὴν χώραν
αὐτῶν, καὶ ἐνέβαλον τὰ εἴδωλα
αὐτῶν εἰς τὸ πῦρ. οὐ γὰρ θεοὶ ἦσαν,
ἀλλὰ

ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων, ξύλα
καὶ λίθοι, καὶ ἀπώλεσαν αὐτούς.
νῦν δὲ κύριε ὁ θεὸς ἡμῶν, σῶσον ἡ-
μᾶς ἐκ χειρὸς αὐτῶν, ἵνα γνῷ πᾶ-
σα βασιλεία τῆς γῆς, ὅτι σὺ εἶ ὁ θεὸς
μόνος. καὶ ἀπεστάλη ἡσαΐας υἱὸς ἀ-
μὼς πρὸς ἐζεκίαν, καὶ εἶπεν αὐτῷ,
τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ, ἤ-
κουσα ἃ προσηύξω πρός με περὶ σεν-
ναχηρεὶμ βασιλέως ἀσσυρίων. οὗτος
ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ
θεός, ἐφαύλισέ σε, καὶ ἐμυκτήρισέ
σε παρθένος θυγάτηρ σιών, ἐπὶ
σοὶ κεφαλὴν ἐκίνησε θυγάτηρ ἱερου-
σαλήμ. τίνα ὠνείδισας καὶ παρώξυ-
νας; ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν
σου, καὶ οὐκ ἦρας εἰς ὕψος τοὺς ὀφ-
θαλμούς σου εἰς τὸν ἅγιον τοῦ ἰσραήλ;
ὅτι δι᾽ ἀγγέλων ὠνείδισας κύριον.
σὺ γὰρ εἶπας τῷ πλήθει τῶν ἁρμά-
των, ἐγὼ ἀνέβην εἰς ὕψος ὀρέων,
καὶ εἰς τὰ ἔσχατα τοῦ λιβάνου, καὶ
ἔκοψα τὸ ὕψος τῆς κέδρου αὐτοῦ, καὶ
τὸ κάλλος τῆς κυπαρίσσου, καὶ εἰσ-
ῆλθον εἰς ὕψος μέρους τοῦ δρυμοῦ,
καὶ ἔθηκα γέφυραν, καὶ ἠρήμωσα
ὕδατα, καὶ πᾶσαν συναγωγὴν ὕδα-
τος. οὐ ταῦτα ἤκουσας πάλαι ἃ ἐ-
γὼ ἐποίησα; ἐξ ἡμερῶν ἀρχαίων
συνέταξα, νῦν δὲ ἐπέδειξα ἐξερη-
μῶσαι ἔθνη ἐν ὀχυροῖς, καὶ οἰκοῦν-
τας ἐν πόλεσιν ὀχυραῖς. ἀνῆκα τὰς
χεῖρας, καὶ ἐξηράνθησαν, καὶ ἐγένον-
το ὡς χόρτος ξηρὸς ἐπὶ δωμάτων,
καὶ

sed opera manuum homi-
num, ligna & lapides, i-
deo destruxerunt eos. Tu
domine deus noster salua
nos de manu eorum, ut co
gnoscat omne regnum ter
ræ, quod tu sis deus solus.
Et missus est Hesaias filius
Amos ad Ezechiam, &
dixit ei, Hæc dicit domi-
nus deus Israel: Audiui
quæ orasti ad me de Sen-
nacherib rege Assyriorũ,
hic est sermo, qui loqu-
tus est de eo deus. Despe-
xit te, & subsannauit te
uirgo filia Sion, in te ca-
put mouit filia Hierusa-
lem, quem uituperasti &
irritasti? Et ad quem extu
listi uocem tuam, & sustu
listi in excelsum oculos
tuos in sanctũ Israel: quia
per nuncios criminatus es
dñm. Tu eñ dixisti mul-
titudini curruum: Ego a-
scendi in altitudinẽ mon-
tium, & in extrema Liba
ni, & succidi altitudinem
cedri eius, & pulchritudi
nem cupressi, & intraui
in altitudinem partis syl-
uæ, & posui pontem, &
uastaui aquas, et omnem
congregationem aquæ.
Non hæc audisti olim,
quæ ego feci? A diebus
antiquis decreui, nunc ue
ro domum ostendi, ut ua-
starem gentes in munitio-
nibus, et habitãtes in ciui
tatib. munitis. Remisi ma-
nus, et exaruerũt, et fuerũt
quasi fœnũ aridũ in tectis,

& ut gramen : nunc autē
ocium tuum, & egressum
tuum & introitum tuum
ego scio. At furor tuus,
quo incitatus es, & ama-
ritudo tua ascēdit ad me:
& imponam circulum in
nasum tuum, & frenum in
labia tua, & efficiam, ut
reuertaris ea uia, qua ue-
nisti. Hoc autem tibi si-
gnum: Comede hoc an-
no quæ seminasti, at an-
no secundo reliquias, ter-
tio uerò seminantes me-
tite, & plantate uineam,
& comedite fructum eo-
rum. E[illegible] relicti in Iudæa
mittent ra[illegible] deorsum,
& facient se[illegible] sursum:
quia de Hierusalem exi-
bunt relicti, & saluati de
monte Sion. zelus domi-
ni sabaoth fecit hæc. Pro
pterea sic dicit dominus
ad regem Assyriorū: Nō
intrabit in ciuitatē hanc,
neque mittet in eam sa-
gittam, neque mittet in
eam scutum, neque cir-
cundabit eam uallo: sed
uia, qua uenit in ea reuer
tetur, & in ciuitatem hāc
nō intrabit. Hæc dicit do
4.Reg.19. minus: Protegam ciuita-
Eccl.48. tem istam ut saluem eam
propter me, & propter
Dauid seruum meum. Et
egressus est angelus do-
mini, & occidit ex ca-
stris Assyriorum centū o-
ctoginta et quinq; millia.
Et

καὶ ὡς ἄγρωστις. νῦν δὲ τὴν ἀνάπαυ-
σίν σου, καὶ τὴν ἔξοδόν σου, καὶ τὴν
εἴσοδόν σου ἐγὼ ἐπίσταμαι. ὁ δὲ θυ-
μός σου ὃν ἐθυμώθης, καὶ ἡ πικρία
σου ἀνέβη πρός με, καὶ ἐμβαλῶ φι-
μὸν εἰς τὴν ῥῖνά σου, καὶ χαλινὸν
εἰς τὰ χείλη σου, καὶ ἀποστρέψω σε
τῇ ὁδῷ, ᾗ ἦλθες ἐν αὐτῇ. τοῦτο δέ
σοι τὸ σημεῖον, φάγε τοῦτον τὸν ἐνι-
αυτὸν ἃ ἔσπαρκας, τῷ δὲ ἐνιαυτῷ
τῷ δευτέρῳ τὸ κατάλειμμα, τῷ δὲ
τρίτῳ σπείραντες ἀμήσατε, καὶ φυ-
τεύσατε ἀμπελῶνας, καὶ φάγεσθε
τὸν καρπὸν αὐτῶν. καὶ ἔσονται οἱ
καταλελειμμένοι ἐν τῇ ἰουδαίᾳ,
φυήσουσι ῥίζαν κάτω, καὶ ποιήσουσι
σπέρμα ἄνω, ὅτι ἐξ ἱερουσαλὴμ ἔσον-
ται οἱ καταλελειμμένοι, καὶ οἱ σωζό-
μενοι ἐξ ὄρους σιών. ὁ ζῆλος κυρίου
σαβαὼθ ποιήσει ταῦτα. διὰ τοῦτο
οὕτως λέγει κύριος ἐπὶ βασιλέα ἀσ-
συρίων, οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν
ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέ-
λος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυ-
ρεὸν, οὐδὲ μὴ κυκλώσει ἐπ' αὐτὴν
χάρακα, ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθον ἐν αὐ-
τῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πό-
λιν ταύτην οὐ μὴ εἰσέλθῃ. τάδε λέ-
γει κύριος, ὑπερασπιῶ ὑπὲρ τῆς πό-
λεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐ-
μὲ, καὶ διὰ δαβὶδ τὸν παῖδά μου.
καὶ ἐξῆλθεν ἄγγελος κυρίου, καὶ ἀνεῖ-
λεν ἐκ τῆς παρεμβολῆς τῶν ἀσσυρίων
ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας.
καὶ

καὶ ἀναστάντες τὸ πρωῒ, εὗρον πάντα τὰ σώματα νεκρά. καὶ ἀπῆλθεν ἀποστραφεὶς, καὶ ἀπέστρεψε σενναχηρεὶμ βασιλεὺς ἀσυρίων, καὶ ᾤκησεν ἐν νινευῒ, καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ ἀσαρὰχ θεοῦ αὐτοῦ πάτραρχον αὐτοῦ, ἀδραμέλεχ καὶ σαρασὰρ οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις. αὐτοὶ δὲ διεσώθησαν εἰς ἀρμενίαν, καὶ ἐβασίλευσεν ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη ἐζεκίας ἕως θανάτου. καὶ ἦλθε πρὸς αὐτὸν ἡσαΐας υἱὸς ἀμὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτὸν, τάδε λέγει κύριος. τάξαι περὶ τοῦ οἴκου σου, ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ μὴ ζήσῃ. καὶ ἀπέστρεψεν ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ προσηύξατο πρὸς κύριον, λέγων. μνήσθητι κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας, ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα. καὶ ἔκλαυσεν ἐζεκίας κλαυθμῷ μεγάλῳ. καὶ ἐγένετο λόγος κυρίου πρὸς ἡσαΐαν λέγων, πορεύθητι, καὶ εἰπὸν ἐζεκίᾳ. τάδε λέγει κύριος ὁ θεὸς δαβὶδ τοῦ πατρός σου, ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου, ἰδοὺ προστίθημι πρὸς τὸν χρόνον σου πεντεκαίδεκα ἔτη, καὶ ἐκ χειρὸς βασιλέως ἀσυρίων ῥύσομαί σε, καὶ τὴν πόλιν ταύτην, καὶ

ὑπερα-

Et ſurgentes mane, inuenerunt corpora mortua. Et abijt reuerſus, & redijt Sennacherim rex Aſſyriorum, & habitauit in Nineui. Et cum ipſe adoraret in domo Aſarach dei ſui Patronũ eius, Adramelech & Saraſar filii eius interfecerunt eum gladiis. Ipſi autem ſaluati ſunt in Armeniam. Et regnauit Aſordan filius eius pro eo.

Caput XXXVIII.

Factum eſt autem, tempore illo ægrotauit Ezechias uſque ad mortem: & uenit ad [illegible]ias filius A[illegible]propheta, & dixit [illegible] eum: hæc dicit do[illegible]us, Diſpone de domo tua, morieris enim tu, & non uiues. Et conuertit Ezechias faciem ſuam ad parietem, & orauit ad dominum dicens: O domine, memento domine, quomodo ambulaui in conſpectu tuo, cum ueritate, & in corde uero, & placita in conſpectu tuo feci. & fleuit Ezechias fletu magno. Et factum eſt uerbũ domini ad Heſaiam dicens: Vade, & dic Ezechiæ: hæc dicit dominus deus Dauid patris tui: Audiui orationem tuam, & uidi lachrymas tuas, ecce adijcio ad tempus tuũ quindecim annos, & de manu regis Aſſyriorum liberabo te & ciuitatẽ hanc, &

4.Reg.20.
2.Par.32.
1.Reg.2.

protegam istam ciuitatẽ. Hoc autem tibi signum à domino, quod faciet deus uerbum hoc, quomodo loquutus est. Ecce ego uerto umbrã graduũ, q̃s descẽdit decem gradibus in domo patris tui sol, reducam solem decem gradus quos descẽdit umbra. Et reuersus est per decem gradus, per quos descenderat umbra.

ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης. τοῦτο δέ σοι τὸ σημεῖον παρὰ κυρίου, ὅτι ποιήσει ὁ θεὸς τὸ ῥῆμα τοῦτο ὡς ἐλάλησεν. ἰδοὺ ἐγὼ στρέψω τὴν σκιὰν τῶν ἀναβαθμῶν, οὓς κατέβη τοὺς δέκα ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου ὁ ἥλιος, ἀποστρέψω τὸν ἥλιον τοὺς δέκα ἀναβαθμούς, οὓς κατέβη ἡ σκιά. καὶ ἀνέβη ὁ ἥλιος τοὺς δέκα ἀναβαθμούς, οὓς κατέβη ἡ σκιά.

ORATIO EZECHIÆ regis Iudææ, qui cũ ægrotasset ex morbo suo conualuit.

ΠΡΟΣΕΥΧΗ ΕΖΕΧΙΟΥ βασιλέως τῆς ἰουδαίας, ἡνίκα ἐμαλακίσθη, καὶ ἀνέστη ἐκ τῆς μαλακίας αὐτοῦ.

EGo dixi in excelso dierum meorum, uadam ad portas orci, relinquam annos residuos. Dixi. Nõ ultra uidebo salutẽ dei in terra uiuentium, nec ultra uidebo hominem cum habitãtibus, defeci à cognatione mea, dereliqui reliquum uitæ meæ, exiuit et recessit à me, quasi tabernaculum dissoluat is, qui fixerat, spiritus meus apud me factus est, sicut tela texentis quę appropinquat ad succidendũ. Die illa traditus sum, usq; mane quasi leo, sic contriuit omnia ossa mea. Nam à die usque ad noctem traditus sum. Quasi hirundo clamabo, et columbæ instar meditabor,

ΕΓὼ εἶπα ἐν τῷ ὕψει τῶν ἡμερῶν μου, πορεύσομαι ἐν πύλαις ᾅδου, καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα. εἶπα, οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ θεοῦ ἐπὶ τῆς γῆς ζώντων. οὐκέτι οὐ μὴ ἴδω τὸ σωτήριον τοῦ ἰσραὴλ ἐπὶ γῆς, οὐκέτι οὐ μὴ ἴδω ἄνθρωπον μετὰ κατοικούντων, ἐξέλιπον ἐκ τῆς συγγενείας μου, κατέλιπον τὸ ἐπίλοιπον τῆς ζωῆς μου, ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύων σκηνὴν πήξας. τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο ὡς ἱστὸς ἐρίθου ἐγγιζούσης ἐκτεμεῖν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως πρωῒ ὡς λέων τίς, οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου, ἀπὸ γὰρ τῆς ἡμέρας παρεδόθην, ἕως νυκτὸς. ὡς χελιδών, οὕτως φωνήσω. καὶ ὡς περιστερά, οὕτω μελετή-

σω

ρα. ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ ἀπὸ τοῦ βλέπειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ πρὸς τὸν κύριον, ὃς ἐξείλατό με, καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς. κύριε περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοί, καὶ ἐξήγειράς μου τὴν πνοήν, καὶ παρακληθεὶς ἔζησα. εἵλου γάρ μου τὴν ψυχήν, ἵνα μὴ ἀπόληται, καὶ ἀπέῤῥιψας ὀπίσω μου τὰς ἁμαρτίας. οὐ γὰρ οἱ ἐν ᾅδου αἰνέσουσί σε, οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε, οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ᾅδου τὴν ἐλεημοσύνην σου. οἱ ζῶντες εὐλογήσουσί σε ὃν τρόπον κἀγώ. ἀπὸ γὰρ τῆς σήμερον παιδία ποιήσω, ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου κύριε τῆς σωτηρίας μου, καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, κατέναντι τοῦ οἴκου τοῦ θεοῦ. καὶ εἶπεν ἡσαΐας πρὸς ἐζεκίαν, λαβὲ παλάθην σύκων, καὶ τρίψον, καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. καὶ εἶπεν ἐζεκίας, τοῦτο σημεῖον πρὸς ἐζεκίαν, ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ θεοῦ;

Ἐν τῷ καιρῷ ἐκείνῳ, ἀπέστειλε μαρωδὰχ βαλαδὰν ὁ υἱὸς τοῦ βαλαδὰν, ὁ βασιλεὺς τῆς βαβυλωνίας, ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα ἐζεκίᾳ. ἤκουσε γὰρ, ὅτι ἐμαλακίσθη ἕως θανάτου. καὶ ἀνέστη, καὶ ἐχάρη ἐπ' αὐτοῖς ἐζεκίας χαρὰν μεγάλην, καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ νεχωθᾶ, καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου,

bor, defecerunt enim mei oculi, ne aspicerem ego in excelsum cœli ad dominum, qui eruit me, & abstulit à me dolorē animæ, Dñe de ipsa enim annunciatū est tibi, et suscitasti meū spiritū, et cōsolatione adhibita uixi. Liberasti enim meā animā ne pereat, & proiecisti à me omīa peccata. Nō enim q in Orco sunt laudabūt te, neq; morientes te gloriose prędicabūt, neq; sperabūt q apud inferos sunt misericordiā tuā. Viuētes benedicent tibi, quemadmodum [illegible] ego. Nam ab h[illegible]erno die filios facia[illegible], qui annunciabun[illegible]stitiam tuam domine salutis meæ, & non requiescam benedicens tibi cum psalterio omnibus diebus uitæ meæ, in conspectu domus dei. Et dixit Hesaias ad Ezechiā. Accipe massam ficuum, & tere, et emplastrum impone & sanus eris. Et dixit Ezechias, hoc est signum ad Ezechiam, quod ascendam in domum dei?

Tēpore illo misit Maerodach Baladan filius Baladan rex Babyloniæ epistolas, & legatos, & munera Ezechiæ. Audierat enim quod ægrotasset usque ad mortem, & conualuisset. Et gauisus est super eis Ezechias gaudio magno, & ostendit eis domū nechotha, et argēti et auri Cap.XXXIX

& stactæ & thymiamatum, & unguenti. & omnes domos uasorum supellectilis, & omnia quæcunque erãt in thesauris eius. et non fuit quicquam, quod non ostendit eis Ezechias in domo sua & in omni potestate sua. Et uenit Hesaias ꝓpheta ad Ezechiam, & ait ad eũ: Quid dicũt homines isti, & unde uenerũt ad te? & ait Ezechias: De terra longinqua uenerũt, è Babylone ad me. & dixit Hesaias: Quid uiderũt in dom[illegible] & ait Ezechias: Omn[illegible]e in domo mea sunt uider[illegible] & nihil est in domo m[illegible] q̃d non uiderunt, imo ea omnia, quæ sunt in thesauris meis. et ait illi Esaias: Audi uerbum domini sabaoth, Ecce dies ueniunt, quibus auferentur omnia quæ in domo tua sunt. & quæcũque congregauerũt patres tui usque in diem, hanc, in Babylonem uenient, & nihil relinquẽt. Dixit autẽ deus, quia & à filiis tuis, quos genuisti, accipient, & facient eunuchos in domo regis Babyloniorũ. Et ait Esaiæ Ezechias: Bonum uerbũ domini q̃d loquutus es, modo, fiat pax & iustitia in diebus meis.

καὶ τῆς στακτῆς, καὶ τῶν θυμιαμάτων, καὶ τοῦ μύρου, καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης, καὶ πάντα ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ. καὶ οὐκ ἦν οὐθὲν ὃ οὐκ ἔδειξεν αὐτοῖς ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ. καὶ ἦλθεν ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα ἐζεκίαν, καὶ εἶπε πρὸς αὐτόν. τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι; καὶ πόθεν ἥκασι πρός σε; καὶ εἶπεν ἐζεκίας, ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με ἐκ βαβυλῶνος. καὶ εἶπεν ἡσαΐας, τί εἴδοσαν ἐν τῷ οἴκῳ σου; καὶ εἶπεν ἐζεκίας, πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν, καὶ οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ὃ οὐκ εἴδοσαν, ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου. καὶ εἶπεν ἡσαΐας αὐτῷ, ἄκουσον τὸν λόγον κυρίου σαββαώθ. ἰδοὺ ἡμέραι ἔρχονται, καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς βαβυλῶνα ἥξει, καὶ οὐδὲν οὐ μὴ καταλείψουσιν. εἶπε δὲ ὁ θεὸς, ὅτι καὶ ἀπὸ τῶν τέκνων σου ὧν ἐγέννησας, λήψονται, καὶ ποιήσουσι σπάδοντας ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν βαβυλωνίων. καὶ εἶπεν ἐζεκίας ἡσαΐᾳ, ἀγαθὸς ὁ λόγος κυρίου ὃν ἐλάλησε, γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.

Cap. XL.

Consolamini consolamini populum meum, dicit deus uester. Sacerdotes loqui-

Παρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ θεὸς ὑμῶν. ἱερεῖς λαλή-

λαλήσατε εἰς τὴν καρδίαν ἱερουσα-
λὴμ, παρακαλέσατε αὐτὴν, ὅτι ἐ-
πλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυ-
ται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο
ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτή-
ματα αὐτῆς. φωνὴ βοῶντος ἐν τῇ
ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν κυ-
ρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ
θεοῦ ὑμῶν. πᾶσα φάραγξ πληρωθή-
σεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ται-
πεινωθήσεται. καὶ ἔσται πάντα τὰ
σκολιὰ εἰς εὐθεῖαν, καὶ ἡ τραχεῖα
εἰς ὁδοὺς λείας, καὶ ὀφθήσεται ἡ δό-
ξα κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ
σωτήριον τοῦ θεοῦ, ὅτι κύριος ἐλά-
λησε. φωνὴ λέγοντος, βόησον. καὶ
εἶπα, τί βοήσω; πᾶσα σὰρξ χόρτος,
καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄν-
θος χόρτου. ἐξηράνθη ὁ χόρτος, καὶ
τὸ ἄνθος ἐξέπεσε, τὸ δὲ ῥῆμα τοῦ
θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα. ἐπ'
ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζό-
μενος σιὼν, ὕψωσον τῇ ἰσχύι τὴν
φωνήν σου ὁ εὐαγγελιζόμενος ἱε-
ρουσαλὴμ, ὑψώσατε, μὴ φοβεῖσθε.
εἶπον ταῖς πόλεσιν ἰούδα, ἰδοὺ ὁ
θεὸς ὑμῶν, ἰδοὺ κύριος, κύριος με-
τὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων
μετὰ κυρίας, ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ'
αὐτοῦ, καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ.
ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον
αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συνάξει
ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρα-
καλέσει. τίς ἐμέτρησε τῇ χειρὶ τὸ
ὕδωρ,

loquimini ad cor Hierusa
lẽ. consolamini eam, quia Matth.5.
repleta est humilitas eius,
solutum est eius peccatũ:
quoniam recepit de ma-
nu domini duplicia pec-
cata eius. Vox clamantis Matth.3.
in deserto: Parate uiã do- Marci.1.
mini, rectas facite semitas Lucæ 3.
Deo nostro. Omnis ual- Ioan.3.
lis implebitur, & omnis
mons & collis reddet hu
milis, & fient quæ obli-
qua sunt directa, & aspe-
ra in uias planas, & appa
rebit gloria domini, & ui
debit omnis caro salutare
dei: quia dominus loqu-
tus est. Vox dicẽtis, Cla- Eccl.14.
ma. Et dixi: Quid clama- Iacob.1.
bo. Omnis caro fœnũ, & 1.Pet.1.
om̃is gloria hominis qua-
si flos fœni. Exaruit fœ-
nũ, & flos decidit: at uer-
bũ dei nostri manet in æ-
ternũ. Super montem ex-
celsum ascende læta nun-
cians Sion, intende forti-
ter uocem tuam. Tu qui
læta annuncias Hierusa-
lem, tollite, nolite timere.
Dic ciuitatibus Iuda: Ec
ce deus uester, ecce domi
nus cum uirtute uenit, &
brachium cum domina-
tione: ecce merces eius cũ
eo, & opus in conspe-
ctu illius. Vt pastor pa- Ezech.34.
scet gregem suum, & bra
chio suo cõgregabit ag-
nos, & prægnãtes cõsola
bit. Quis mẽsus est manu
aquam,

aquã, & cœlũ palmo, &
omnẽ terrã pugno? Quis
appẽdit mõtes põdere, et
rupes statera? Quis cog-
nouit mentẽ dñi, aut quis
cõsiliarius eius fuit? q in-
struet eũ, aut quẽ cõsuluit,
et instruxit eũ? aut quis o-
stẽdit ei iudicium, aut uiã
Sapien.9 intelligẽtiæ? Quis dedit il
Rom.11 li, aut quis antea dedit, ut
1.Cor.2 iã reddat ei? Quãdo qdẽ
omnes gẽtes sicut stilla à
situla, & sicut momẽtum
stateræ habitæ sunt, &
quasi saliua æstimabũtur?
At Libanº nõ sufficit ad
cõburẽ... et omĩa qua-
drupeda non ... sunt ad
holocaustũ. et om... gẽtes
quasi nihil sunt, & p... ni
lo putant collatæ cũ eo.
Cũ quo cõparastis dñm,
qua' ue cũ imagine cõtuli
stis eũ? nunqd imaginẽ fe
cit faber, aut aurifex con
stãs aurũ inaurauit eũ, ima
ginẽ fabricauit eũ? lignũ
eñ q̃d nõ putrescit, eligit
faber, & sapiẽter quærit
q̃modo statuet ei' simula
chrũ ut nõ moueat. nõ' ne
scietis? nõne audietis? nõ
ne annũciatũ est à princi-
pio uobis? nõ cognouistis
fundamẽta terræ? et inha-
bitãtes in ea q̃si locustæ.
Qui statuit q̃si fornicẽ cœ
lũ, et extendit q̃si taberna
culũ ad habitãdũ, qui red
dit principes ut nihil re-
gãt, at terrã quasi in nihi
lũ redigit. Nõ eñ planta
uerint, neq; seminauerint
neq;

ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ
πᾶσαν τὴν γῆν δρακί; τίς ἔστησε
τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ;
τίς ἔγνω νοῦν κυρίου, καὶ τίς αὐτοῦ
σύμβουλος ἐγένετο; ὃς συμβιβάσει
αὐτόν, ἢ πρὸς τίνα συνεβουλεύσα-
το, καὶ συνεβίβασεν αὐτόν; ἢ τίς ἔδει-
ξεν αὐτῷ κρίσιν, ἢ ὁδὸν συνέσεως;
τίς ἔδωκεν αὐτῷ, ἢ τίς προέδωκεν
αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; εἰ
πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδ-
δου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν,
καὶ ὡς σίελος λογισθήσονται. ὁ δὲ Λί-
βανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ
πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς
ὁλοκάρπωσιν; καὶ πάντα τὰ ἔθνη
ὡς οὐδέν εἰσι, καὶ εἰς οὐδὲν ἐλογίσθη-
σαν. τίνι ὡμοιώσατε κύριον, καὶ τί-
νι ὁμοιώματι ὡμοιώσατε αὐτόν; μὴ
εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος
χωνεύσας χρυσίον περιεχρύσωσεν
αὐτόν, ὁμοίωμα κατεσκεύασεν αὐ-
τόν; ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέ-
κτων, καὶ σοφῶς ζητήσει πῶς στήσει
εἰκόνα αὐτοῦ, καὶ ἵνα μὴ σαλεύηται.
οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε; οὐκ ἀνηγ-
γέλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ
θεμέλια τῆς γῆς; καὶ οἱ ἐνοικοῦντες
ἐν αὐτῇ ὡς ἀκρίδες. ὁ στήσας ὡς
καμάραν τὸν οὐρανόν, καὶ διατείνας
ὡς σκηνὴν κατοικεῖν, ὁ διδοὺς ἄρ-
χοντας ὡς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν
ὡς οὐδὲν ἐποίησεν. οὐ γὰρ μὴ φυτεύ-
σωσιν, οὐδὲ μὴ σπείρωσιν, οὐδὲ μὴ
ῥιζωθῇ

ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν. ἐνεφύσησεν ἐπ' αὐτοὺς, καὶ ἐξηράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα ἀναλήψεται αὐτούς. νῦν οὖν τίνι με ὡμοιώσατε, καὶ ὑψωθήσομαι; εἶπεν ὁ ἅγιος, ἀναβλέψατε εἰς τὸ ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε, τίς κατέδειξε ταῦτα πάντα, ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν κόσμον αὐτοῦ, πάντας ἐπ' ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος αὐτοῦ οὐδέν σε ἔλαθε. μὴ γὰρ εἴπῃς ἰακώβ, καὶ τί ἐλάλησας ἰσραήλ; ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ θεοῦ, καὶ ὁ θεός μου τὴν κρίσιν ἀφεῖλε, καὶ ἀπέστη. καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας; θεὸς αἰώνιος, θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδέ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ, διδοὺς τοῖς πεινῶσιν ἰσχὺν, καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην. πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι, καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται. οἱ δὲ ὑπομένοντες τὸν θεὸν, ἀλλάξουσιν ἰσχὺν, πτεροφυήσουσιν ὡς ἀετοί, δραμοῦνται καὶ οὐ κοπιάσουσι, βαδιοῦνται καὶ οὐ πεινάσουσιν.

Ἐγκαινίζεσθε πρός με νῆσοι, οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν. ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν. τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην, ἐκάλεσεν αὐτὴν κατὰ πόδας

radices aget in terra stirps eorum, cum spirasset in eos, exaruerunt, & procella ac si essent sarmenta, assumet eos. Iam ergo cum quibus me comparaueritis, et in excelsum collocabor. Dixit sanct⁹, Tollite in altum oculos uestros, et uidete, quis ostendit hæc omnia, qui educit iuxta numerum ornamentũ suũ, omnes nomine uocabit à multa gloria, et in robore fortitudinis. Nihil te latuit, nõ enim dicas Iacob. Matth. ιγ
Et quid locutus es Israel. Abscondita e[illegible] mea à deo, & de[illegible]eus iudiciũ abstul[illegible]t recessit. Et nũc no[illegible]isti, neque audisti, quod sit Deus æternus, quod fabricauit terminos terræ? Nõ esuriet, neq; laborabit, neq; est inuentio prudentiæ eius, qui dat esurientibus fortitudinem, & non dolentibus mœrorem. Esurient enim iuniores, & laborabunt adolescentes, & electi infirmi erunt. At expectãtes deum mutabunt fortitudinẽ, assume ut alas quasi aquilę, current & nõ laborabũt, gradientur & non esuriẽt.

Cap. XLI

Renouamini ad me insulę, nã principes mutãt fortitudinẽ, appropinquẽt & loquãtur simul, tunc iudicium annuncient. Quis suscitauit de oriẽte iustitiam, uocauit eam ad pedes

suos & uadit? dabit in cō spectu gentiū, & reges in stuporē mittet, et rediget in terrā gladios eorū. et efficiet ut stipulas proiectas arcus eorū, & persequet eos, & ptransibit in pace uiā pedū eius. Quis operatus est, & fecit hęc? uocauit eā is qui uocat eam ab ætatū principio. Ego de⁹ p̄mus, & in uētura tēpora ego sum. Viderūt gentes, & timuerunt, termini terrę obstupuerūt, appropinquauerūt tamē et uenerūt simul iudicās unusquisq; proximū & fratri auxiliaturus, & u... Potior fuit uir faber & ... qui pcutit malleo, ... dixit. tum quidem dicet, conflatio bona est, cōfirmarunt ea in clauis, ponent ea, et nō mouebunt. Tu autē Israel puer meus Iacob, quē elegi, semē Abraam, quē dilexi, quē assumpsi ab extremitatibus terrę, & a summitatib. eius uocaui te, & dixi tibi: puer me⁹ es, elegi te, et nō dereliq te: ne timeas, tecū enī sum. Nō erro. Ego enim sum deus tu⁹ qui corroboraui te, & auxiliatus sum tibi, & protexi te de xtera iusta mea. Ecce ignominia afficient, & erubescēt omes ij qui aduersant tibi. Erunt enī quasi nō existentes, & peribūt omes aduersarij tui. quęres eos, & non inuenies homi-

αὐτῶ, καὶ πορεύσεται; δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει. καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα τὰ τόξα αὐτῶν, καὶ διώξεται αὐτοὺς, διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ. τίς ἐνήργησε, καὶ ἐποίησε ταῦτα; ἐκάλεσεν αὐτὴν ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς. ἐγὼ θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι. εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἤγγισαν, καὶ ἦλθον ἅμα κρίνων ἕκαστος τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι, καὶ ἐρεῖ, ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων σφύρᾳ, ἅμα ἐλαύνων. τότε μὲν ἐρεῖ, σύμβλημα καλόν ἐστιν, ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις, θήσουσιν αὐτὰ, καὶ οὐ κινηθήσονται. σὺ δὲ ἰσραὴλ παῖς μου ἰακὼβ, καὶ ὃν ἐξελεξάμην σπέρμα ἀβραὰμ, ὃν ἠγάπησα, οὗ ἀντελαβόμην ἀπ' ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπά σοι, παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε, μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μὴ πλανῶ. ἐγὼ γάρ εἰμι ὁ θεός σου ὁ ἐνισχύσας, καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου. ἰδοὺ αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς οὐκ ὑπάρχοντες, καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου. ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώ-

ἄνθρωποι οἱ παρανομήσουσιν εἰς σέ. ἔσονται γὰρ ὡς οὐκ ὄντες, καὶ οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε, ὅτι ἐγὼ ὁ θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι, μὴ φοβοῦ ἰακὼβ ὀλιγοστὸς ἰσραὴλ, ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ θεός σου, ὁ λυτρούμενός σε ἰσραήλ. ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης ἀλοῶντας καινοὺς πριστηροειδεῖς, καὶ ἀλοήσεις ὄρη, καὶ λεπτυνεῖς βουνοὺς, καὶ ὡς χνοῦν θήσεις καὶ λικμήσεις, καὶ ἄνεμος λήψεται αὐτοὺς, καὶ καταιγὶς διασκορπιεῖ αὐτούς. σὺ δὲ εὐφρανθήσῃ ἐν τοῖς ἁγίοις ἰσραὴλ, καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ, καὶ οἱ ἐνδεεῖς. ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔσται, ἡ γλῶσσα αὐτῶν ἀπὸ τῆς δίψης ἐξηράνθη. ἐγὼ κύριος ὁ θεὸς, ἐγὼ ἐπακούσομαι ὁ θεὸς ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτοὺς, ἀλλὰ ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμοὺς, καὶ ἐν μέσῳ πεδίων πηγάς. ποιήσω τὴν ἔρημον εἰς ἕλη ὑδάτων, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. θήσω εἰς τὴν ἄνυδρον γῆν, κέδρον καὶ πύξον, καὶ μυρσίνην, καὶ κυπάρισσον, καὶ λεύκην, ἵνα ἴδωσι καὶ γνῶσι, καὶ ἐννοηθῶσι καὶ ἐπιστῶνται ἅμα, ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα πάντα, καὶ ὁ ἅγιος τοῦ ἰσραὴλ κατέδειξεν. ἐγγίζει ἡ κρίσις ὑμῶν, λέγει κύριος ὁ θεός. ἤγγισαν αἱ βουλαὶ ὑμῶν, λέγει ὁ βασιλεὺς ἰακώβ. ἐγγισάτωσαν, καὶ ἀναγγειλάτωσαν ὑμῖν,

homines qui te malis afficient. Erunt enim quasi nõ existẽtes, neq; pugnabũt cõtra te: quia ego deus tuus tenẽs dexterã tuã, dicens tibi: Ne timeas Iacob paruule Israel, ego auxiliatus sum tibi, dicit deus tuus redimẽs te Israel. Ecce feci te quasi rotas plaustri triturãtes, nouas, prgli similes. Et triturabis montes, & cõminues colles, & quasi in puluerẽ rediges, & uentilabis, et uẽtus auferet eos, & tempestas disperget illos. Tu autẽ lætaberis in sanctis Israel, & exultab[illegible] pauperes & inopes [illegible]ũ enim quęrent a[illegible], nec erit. Lingua eorũ præ siti exaruerit. ego dñs exaudiã qui sum deus Israel, & nõ derelinquã eos, sed aperiam in montib[us] flumina, & in medio cãporũ fontes. Et ego uertã solitudinẽ in paludes aquarũ et sitientem terrã in aquęductus: collocabo in terra aqua carentem, cedrum & buxũ, & myrtum, & cypressum, et populum: ut uideãt & cognoscant, & cogitent, & certò sciant manũ domini hæc fecisse, & sanctum Israel ostendisse. Appropinquat iudicium uestrũ, dicit dominus deus. Appinquauerunt cõsilia uestra, dicit rex Iacob. Appropinquẽt, & annunciẽt uobis

nobis ea, quae euenient, aut priora quae erant dicite, & apponemus sensum, & sciemus, quae nouissima, et uentura. Dicite nobis, annunciate futura in nouissimo, ut sciamus quod dij sitis. Benefacite et malefacite et admirabimur et uidebimus simul, unde nā sitis, & unde opus uestrū. De terra abominatio elegit uos. At ego suscitaui eum qui ab Aquilone, & qui à solis ortu uocabuntur nomine meo. Veniant principes, & sicut figuli, & sicut figulus conculcās lutum, [illegible]culcabimini. Quis enim [illegible]nunciabit ea quae facta su[illegible] principio, ut cognoscamus, & quae antea, et dicemus q̄d uera sint. Nullus est, qui praedicat, neq; quicquam audit. Principatum Sion dabo, & Hierusalē consolabor in uia, nam à gentibus ecce nihil, & à simulacris eorum non erat qui annunciaret. Et si interrogauero eos, unde estis? nō respondebunt mihi: sunt enim qui faciunt uos, & frustra seducentes uos.

Cap.XLII Iacob puer meus est, assumam eum. Israel electus meus, suscepit eum anima mea, dedi spiritum meum super eum. Iudicium gentibus inferet, non clamabit, neque dimittet, neque audietur foras uox

Matth.12

ὑμῖν ἃ συμβήσεται, ἢ τὰ πρότερα τίνα ἦν, εἴπατε, καὶ ἐπιστήσομεν τὸν νοῦν, καὶ γνωσόμεθα τί τὰ ἔσχατα καὶ τὰ ἐπερχόμενα. εἴπατε ὑμῖν, ἀναγγείλατε ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα ὅτι θεοί ἐστε. εὖ ποιήσατε καὶ κακώσατε, καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα ἅμα ὅτι πόθεν ἐστὲ ὑμεῖς, καὶ πόθεν ἡ ἐργασία ὑμῶν. ἐκ γῆς βδέλυγμα ἐξελέξατο ὑμᾶς, ἐγὼ δὲ ἤγειρε τὸν ἀπὸ βορρᾶ, καὶ τὸν ἀφ' ἡλίου ἀνατολῶν κληθήσονται τῷ ὀνόματί μου. ἐρχέσθωσαν ἄρχοντες, καὶ ὡς πηλὸς κεραμέως, καὶ ὡς κεραμεὺς καταπατῶν τὸν πηλὸν, οὕτω καταπατηθήσεσθε. τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς, ἵνα γνῶμεν, καὶ τὰ ἔμπροσθεν, καὶ ἐροῦμεν ὅτι ἀληθῆ ἐστιν. οὐκ ἔστιν ὁ προλέγων, οὐδὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους. ἀρχὴν σιὼν δώσω, καὶ ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν. ἀπὸ γὰρ τῶν ἐθνῶν ἰδοὺ οὐθείς, καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν οὐκ ἦν ὁ ἀναγγέλλων. καὶ ἐὰν ἐρωτήσω αὐτούς, πόθεν ἐστέ; οὐ μὴ ἀποκριθῶσί μοι. εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.

Ιακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ. ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, ἔδωκα τὸ πνεῦμά μου ἐπ' αὐτόν, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει, οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ

φωνὴ αὐτοῦ. κάλαμον συντεθλασμένον οὐ συντρίψει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν, ἀναλάμψει· καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. οὕτω λέγει κύριος ὁ θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ᾽ αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν, ἐγὼ κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους μου, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς, καὶ καθημένους ἐν σκότει. ἐγὼ κύριος ὁ θεὸς, τοῦτό μου ἐστὶ τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. τὰ ἀπ᾽ ἀρχῆς ἰδοὺ ἥκασι. καὶ καινὰ ἃ ἐγὼ ἀναγγελῶ, καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν. ὑμνήσατε τῷ κυρίῳ ὕμνον καινόν. ἡ ἀρχὴ αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ᾽ ἄκρου τῆς γῆς, οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν, καὶ πλέοντες αὐτήν, αἱ νῆσοι, καὶ οἱ κατοικοῦντες αὐτάς. εὐφράνθητι ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις, καὶ οἱ κατοικοῦντες Κηδάρ. εὐφρανθήσονται οἱ κατοικοῦντες πέτραν, ἀπ᾽ ἄκρων τῶν ὀρέων

uocem eius. Calamum fractum non conteret, & linum fumigans non extinguet, sed in ueritate inferet iudicium. Splendebit, & non uulnerabitur donec ponat super terrã iudicium, & in nomine eius gentes sperabunt. Sic dicit dominus deus qui fecit coelum, & defixit illud, qui firmauit terram, & quae in ea sunt, & qui dedit flatum populo qui in ea est & spiritum iis qui calcant eam. Ego dominus deus uocaui te cum iustitia, et apprehendam manum tuam et roborabo te. Et dedi te in testamentum generis mei, in lucẽ gentium, ut aperires oculos caecorum, et educeres è uinculis ligatos, è domo carceris, eosq; qui sedent in tenebris. Ego dominus deus, hoc meum est nomẽ, Gloriam meã alteri non dabo, neq; uirtutes meas simulachris. Quae à principio ecce uenerunt, & noua quae ego annunciabo, et antequàm annuncientur, indicata sunt uobis. Cantate domino cãticum nouum, gloria afficite nomen eius in terminis terrę qui descenditis in mare, & nauigatis in eo, et insulę, et incolentes eas. Lętare desertũ et uici eius, uillę et qui incolitis Cedar. Lętabũtur habitãtes in petra de summitate montium

clamabunt, dabunt deo
gloriam. Virtutes eius in
insulis nunciabunt. Domi
nus deus uirtutum egredi
etur, & conteret bellum,
excitabit ęmulationē, &
clamabit super inimicos
suos cum fortitudine. Ta-
cui à seculo, nunquid &
semper tacebo, & sustine
bo: Sicut pariēs patienter
egi, erumpā et arefaciam
simul, uastabo montes &
colles, & omnē fœnū eo-
rum arefaciam, & ponam
flumina in insulas, et paludes
sicabo. Et adducā cęcos p
uiā quā nescierūt, et semi-
tas quas ignorauerūt, effi
ciam, ut ij calcent. Muta
bo eis tenebras in lucem,
et obliqua in directa. Hęc
uerba faciam illis, & non
derelinquam eos: ipsi aūt
conuersi sunt retrorsum.
Ignominia afficimini qui
cōfiditis sculptilibus, dicē
tes cōflatilibus: Vos estis
dij nostri. Surdi audite, et
cęci respicite ut uideatis.
Et quis cæcus, nisi pueri
mei, et surdi nisi ij, quibus
dominētur: quis cęcus ut
is qui recessit, & excæ-
cati sunt serui dei? Vidi-
stis sæpe, & non custodi-
stis. Apertę aures, et nō au
distis. Dominus deus uo-
luit ut iustus haberetur, &
magnus laudibus prædi-
caret. Et uidi, & fuit po-
pulus uastatus et direptus.
Nā laqueus in cubilibus
ubiq;

βοήσουσι, δώσουσι τῷ θεῷ δόξαν. τὰς
ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀπαγ-
γελοῦσι. κύριος ὁ θεὸς τῶν δυνά-
μεων ἐξελεύσεται, καὶ συντρίψει
πόλεμον, ἐπεγερεῖ ζῆλον, καὶ βοή-
σεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύ-
ος. ἐσιώπησα ἀπ᾽ αἰῶνος, μὴ καὶ
ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ὡς
ἡ τίκτουσα ἐκαρτέρησα, ἐκστήσω καὶ
ξηρανῶ ἅμα, ἐρημώσω ὄρη καὶ βου-
νοὺς, καὶ πάντα χόρτον αὐτῶν ξηρα-
νῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ
ἕλη ξηρανῶ. καὶ ἄξω τυφλοὺς ἐν ὁ-
δῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους ἃς
οὐκ ᾔδεισαν πατῆσαι, ποιήσω αὐ-
τούς. ποιήσω αὐτοῖς τὸ σκότος εἰς
φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. ταῦ-
τα τὰ ῥήματα ποιήσω αὐτοῖς, καὶ
οὐκ ἐγκαταλείψω αὐτούς, αὐτοὶ δὲ ἀ-
πεστράφησαν εἰς τὰ ὀπίσω. Αἰσχύνθη-
τε αἰσχύνην οἱ πεποιθότες ἐπὶ τοῖς
γλυπτοῖς, οἱ λέγοντες τοῖς χωνευτοῖς,
ὑμεῖς ἐστὲ θεοὶ ἡμῶν. οἱ κωφοὶ ἀκού-
σατε, καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν.
καὶ τίς τυφλὸς ἀλλ᾽ ἢ οἱ παῖδές μου, καὶ
κωφοὶ ἀλλ᾽ ἢ οἱ κυριεύοντες αὐτῶν;
τίς τυφλὸς ὡς ὁ ἀπισχυκώς, καὶ ἐτυ-
φλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ; ἴδετε πολ-
λάκις, καὶ οὐκ ἐφυλάξασθε. ἀνεῳγμέ-
να τὰ ὦτα, καὶ οὐκ ἠκούσατε. κύριος ὁ
θεὸς ἐβούλετο, ἵνα δικαιωθῇ, καὶ μεγα-
λύνῃ αἴνεσιν. καὶ εἶδον, καὶ ἐγένετο ὁ
λαὸς προνενομευμένος, καὶ διηρπασ-
μένος. ἡ γὰρ παγὶς ἐν τοῖς ταμείοις

πανται

πανταχοῦ, καὶ ἐν οἴκοις ἅμα, ὅπου ἔκρυψαν αὐτούς, ἐγένοντο εἰς προνομήν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἅρπαγμα, καὶ οὐκ ἦν ὁ λέγων, ἀπόδος. τίς ἐν ὑμῖν ἐνωτιεῖται ταῦτα; ὃς ἐσακούσεται εἰς τὰ ἐπερχόμενα; τίς ἔδωκεν εἰς διαρπαγὴν Ἰακὼβ καὶ Ἰσραὴλ τοῖς προνομεύουσιν αὐτόν; οὐχὶ ὁ θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ, καὶ οὐκ ἐβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι, οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ; καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, καὶ κατίσχυσεν αὐτοὺς πόλεμος, καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ, καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν, οὐδὲ ἔθεντο ἐπὶ ψυχήν.

Καὶ νῦν οὕτω λέγει κύριος ὁ θεὸς ὁ ποιήσας σε Ἰακώβ, καὶ ὁ πλάσας σε Ἰσραήλ, μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε, ἐκάλεσά σε τὸ ὄνομά σου. ἐμὸς εἶ σύ, καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι, καὶ ποταμοὶ οὐ συγκλύσουσί σε. καὶ ἐὰν διέλθῃς διὰ πυρός, οὐ μὴ κατακαυθῇς, φλὸξ οὐ κατακαύσει σε. ὅτι ἐγὼ κύριος ὁ θεός σου, ὁ ἅγιος Ἰσραήλ, ὁ σώζων σε, ἐποίησα ἄλλαγμά σου, Αἴγυπτον καὶ Αἰθιοπίαν, καὶ Συήνην ὑπὲρ σοῦ, ἀφ' οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδοξάσθης, καὶ ἐγώ σε ἠγάπησα, καὶ δώσω ἀνθρώπους ὑπὲρ σοῦ, καὶ ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. μὴ φοβοῦ, ὅτι μετά σου εἰμί. ἀπὸ ἀνατολῶν ἄξω τὸ σπέρμα σου, καὶ ἀπὸ δυσμῶν συνάξω σε. ἐρῶ τῷ

βορρᾷ,

ubiq; et in domib' simul. ubi absconderunt eos, facti sunt in direptionem, et non erat qui diceret, Redde. Quis in uobis hæc auribus percipiet, et in futura tēpora exaudiet? Quis dedit in deprædationem Iacob et Israel uastantib'? non ne deus cui peccauerunt, et non uoluerunt in uijs eius ambulare, neque audire legē eius: Ideo induxit in eos iram furoris sui, et eos oppressit bellū, et combur unt eos per circuitum. Nō tamen ulli ex illis cognouerunt, neq; animo consyderauerunt.

Cap. XLIII

Et nunc sic dicit dominus deus, q fecit te Iacob, et qui formauit te Israel, ne timeas, quoniā redemi te, uocaui te nomine tuo: meus es tu, et si transieris per aquam tecum sum, et flumina non cooperient te, et si transieris per ignē, non combureris, flamma non comburet te. Quia ego dn̄s deus tuus sanctus Israel saluans te: feci commutationem tuam Ægyptum & Æthiopam, & Syenen pro te, ex quo honorabilis factus es, in conspectu meo gloriosus factus es. Et ego dilexi te, et dabo homines pro te, et principes ꝑ capite tuo. Ne timeas, quia tecum sum. Ab oriente adducam semen tuū, et ab occidente congregabo te. Dicam

 Aqui-

Aquiloni, duc: et Africo, prohibeas. Adduc filios meos à terra procul, & filias meas à termino terræ, quotquot nomine appellantur. Nam in gloria mea creaui illum, & finxi eum, & feci illum. Et eduxi populum meum cæcum, & oculi sunt similiter cæci, & surdas aures habentes. Omnes gentes congregatæ sunt simul; et conuenerũt principes ex eis. Quis communicabit hæc? aut ea sunt quæ à principio quis annunciabit? Adducant testes suos, & iusti reddantur, & audiant, & dicant uera. Estote mihi testes, & ego testis, dicit dominus deus, & seruus meus quem elegi, ut sciatis & credatis, & intelligatis, quia ego sum. Ante me non fuit alius deus, & post me non erit. Ego deus, & non est præter me saluans: ego annunciaui & saluaui, & non erat in uobis alienus. Vos mihi testes, & ego dominus deus ab initio, & non est qui de manibus meis eruat. Faciam, & quis auertet illud? Sic dicit dominus deus redimens uos, sanctus Israel, Propter uos mittam in Babylonem, & suscitabo fugientes uniuersos, & Chaldæi in nauibus uincientur. Ego dominus

deus

βορρᾷ, ἄγε, καὶ τῷ λιβὶ, μὴ κώλυε· ἄγε τοὺς υἱούς μου ἀπὸ τῆς πόρρωθεν, καὶ τὰς θυγατέρας μου ἀπ' ἄκρων τῆς γῆς, πάντας ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου. ἐν γὰρ τῇ δόξῃ μου κατεσκεύασα αὐτὸν, καὶ ἔπλασα αὐτὸν, καὶ ἐποίησα αὐτὸν, καὶ ἐξήγαγον λαὸν τυφλὸν, καὶ ὀφθαλμοί εἰσιν ὡσαύτως τυφλοὶ, καὶ κωφὰ τὰ ὦτα ἔχοντα. πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. γένεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει κύριος ὁ θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. ἐγὼ ὁ θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ κύριος ὁ θεὸς ἔτι ἀπ' ἀρχῆς, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτως λέγει κύριος ὁ θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ. ἕνεκεν ὑμῶν [illegible] ἀποστελῶ εἰς Βαβυλῶνα, καὶ ἐπεγερῶ φεύγοντας πάντας, καὶ Χαλδαῖοι ἐν πλοίοις δεθήσονται. ἐγὼ κύριος

ὁ θεὸς

ὁ θεὸς, ὁ ἅγιος ὑμῶν, ὁ καταδείξας ἰσραὴλ βασιλέα ὑμῶν. ὅτι τάδε λέγει κύριος ὁ διδοὺς ἐν θαλάσσῃ ὁδὸν, καὶ ἐν ὕδατι ἰσχυρῷ τρίβον, ὁ ἐξαγαγὼν ἅρματα καὶ ἵππον, καὶ ὄχλον ἰσχυρόν. ἀλλ' ἐκοιμήθησαν, καὶ οὐκ ἀναστήσονται, ἐσβέσθησαν ὡς λίνον ἐσβεσμένον. μὴ μνημονεύετε τὰ πρῶτα, καὶ τὰ ἀρχαῖα μὴ συλλογίζεσθε. ἰδοὺ ἐγὼ ποιῶ καινὰ, ἃ νῦν ἀνατελεῖ, καὶ γνώσεσθε αὐτά. καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν, καὶ ἐν τῇ ἀνύδρῳ ποταμούς. εὐλογήσουσί με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες, καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ, ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτὸν, λαόν μου ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι. Οὐ νῦν ἐκάλεσά σε ἰακὼβ, οὐδὲ κοπιάσαι σε ἐποίησα ἰσραὴλ, οὐκ ἐνήνοχάς μοι πρόβατά σου τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με, οὐκ ἐδούλωσας ἐν θυσίαις, οὐδὲ ἔγκοπον ἐποίησας ἐν λιβάνῳ, οὐδὲ ἐκτήσω μοι θυμίαμα ἀργυρίου. οὐδὲ τὸ στέαρ τῶν θυσιῶν σου ἐπεθύμησα, ἀλλὰ ἐν ταῖς ἁμαρτίαις σου προέστης μου, καὶ ἐν ταῖς ἀδικίαις σου. ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἀνομίας σου ἕνεκεν ἐμοῦ, καὶ τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθήσομαι. σὺ δὲ μνήσθητι, καὶ κριθῶμεν ἅμα. λέγε σὺ τὰς ἀνομίας

σου

deus sanctus uester, qui ostendi Israel regē uestrū. Quia hęc dicit dominus, qui suppeditat in mari uiam, & in aqua uehementi semitā: qui eduxit currus & equum, & multitudinē robustā. Sed dormierunt, & non resurgēt, extincti sunt quasi linum extinctū. Ne memineritis priorū, & antiqua ne colligatis. Ecce ego facio noua, quę 2. Cor
nunc orientur, & cognoscetis ea: & faciam in de- Apoc [illegible]
serto uiam, et in loco, ubi nō est aqua, flumina. Laudabunt me b[illegible], Si renes & fi[illegible]thionū, quod [illegible] in deserto aqu[illegible] & flumina in loco ubi non erat aqua, ut potū dē generi meo electo, populoq; meo quē acquisiui, uirtutes meas ut narret. Nō iam uocaui te Iacob, neq; laborare te feci Israel. Non obtulisti mihi oues holocausti tui, neq; in uictimis tuis laudasti me, non seruiuisti in hostiis, neq; laborē fecisti in thure, neque emisti mihi thymiama argento. neq; adipē hostiarū tuarū concupiui, sed in peccatis tuis defendi te, & in iniquitatibus tuis. Ego sum ipse, qui deleo iniquitates tuas, ppter me, et peccatorū tuorū nō recordabor. Tu aūt memēto, et iudicemur simul: dic tu iniqtates

tuas primus, ut iustificeris.
Pattes uestri primi pecca
uerunt, & principes ue
stri inique egerunt in me,
& contaminauerunt prin
cipes sancta mea, & dedi
ut perderem Iacob, & Is
rael in obprobrium.
Cap. XLIIII Nunc autem audi Ia
Hie. 30 et 46 cob puer mi, et Israel quē
elegi. Sic dicit dominus
deus qui creauit te, & for
mauit te de uentre, Adhuc
habebis auxilium. Ne ti
meas puer mi Iacob & di
lecte Israel quem elegi, quia
ego dabo aquā in sitienti am
bulantibus in eo loco ubi
aqua nulla est. Ponam spi
ritum meū super f. mē tuū,
& beneficentias me s su
per filios tuos, & orientur
ut in medio aquæ fœnū,
& sicut salix iuxta om
nem fluentem aquam. Hic
dicet, dei sum, & iste cla
mabit in nomine Iacob,
& alius scribet manu sua,
dei sum, in nomine Isra
el clamabit. Sic dicit do
minus deus rex Israel, &
qui redemit eum deus Sa
baoth. Ego primus et e
go posthæc, præter me
Sup. 41 non est deus. Quis est ut
Infra 48 ego? stet, uocet, & annun
Apo. 1 et 22 ciet, & paret mihi, ex
quo feci hominem in sem
piternum, & uentura an
teq̄ ueniāt, annuncient uo
bis. Ne formidetis neq; cō
turbemini. nōne ab initio
auribus percepistis, &
annunciaui uobis? Testes
uos

σὺ πρῶτος, ἵνα δικαιωθῇς. οἱ πατέρες ὑμῶν πρῶτοι ἥμαρτον, καὶ οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ. καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά μου, καὶ ἔδωκα ἀπολέσαι ἰακώβ, καὶ ἰσραὴλ εἰς ὀνειδισμόν.

Νῦν δὲ ἄκουσον ἰακὼβ ὁ παῖς μου, καὶ ἰσραὴλ ὃν ἐξελεξάμην. οὕτω λέγει κύριος ὁ θεὸς ὁ κτίσας σε, καὶ ὁ πλάσας σε ἐκ κοιλίας, ἔτι βοηθήσῃ. μὴ φοβοῦ παῖς μου ἰακώβ, καὶ ὁ ἠγαπημένος ἰσραὴλ ὃν ἐξελεξάμην, ἐγὼ δώσω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ. ἐπιθήσω τὸ πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου, καὶ ἀνατελοῦσιν ὡς ἀνὰ μέσον ὕδατος χόρτος, καὶ ὡς ἰτέα ἐπὶ παραῤῥέον ὕδωρ. οὗτος ἐρεῖ, τοῦ θεοῦ εἰμί, καὶ οὗτος βοήσεται ἐπὶ τῷ ὀνόματι ἰακώβ, καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ, τοῦ θεοῦ εἰμί, ἐπὶ τῷ ὀνόματι ἰσραὴλ βοήσεται. οὕτως λέγει ὁ θεὸς ὁ βασιλεὺς ἰσραήλ, καὶ ῥυσάμενος αὐτὸν θεὸς σαβαώθ, ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ οὐκ ἔστιν ὁ θεός, τίς ὥσπερ ἐγώ; στήτω, καὶ καλεσάτω, καὶ ἀναγγειλάτω, καὶ ἑτοιμασάτω μοι ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα, καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἀπαγγειλάτωσαν ὑμῖν. μὴ παρακαλύπτεσθε, μηδὲ πλανᾶσθε. οὐκ ἀπ' ἀρχῆς ἠνωτίσασθε, καὶ ἀπήγγειλα ὑμῖν; μάρτυρες
ὑμεῖς

ὑμεῖς ἐστὲ, εἰ ἔστι θεὸς πλὴν ἐμοῦ. Καὶ οὐκ ἦσαν τότε οἱ πλάσσοντες, καὶ οἱ γλάφοντες, πάντες μάταιοι, ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτοὺς, καὶ μάρτυρες αὐτῶν οὐκ ὄψονται, καὶ οὐ γνώσονται ἵνα αἰσχυνθῶσιν, τίς ἔπλασεν ἰσχυρὸν, καὶ γλυπτὸν χωνεύσει εἰς ἀνωφελῆ. ἰδοὺ οἱ κοινωνοῦντες αὐτῷ, ἀλλὰ αἰσχυνθήσονται οἱ πλάσσοντες θεὸν, καὶ γλύφοντες πάντες ἀνωφελῆ, καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν. καὶ κωφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες, καὶ στήτωσαν ἅμα, καὶ ἐντραπήτωσαν, καὶ αἰσχυνθήτωσαν ἅμα, ὅτι ὤξυνε τέκτων σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτὸν, ἐν ἄνθραξι, καὶ ἐν τερέτρῳ ἔστησεν αὐτό. καὶ εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ, καὶ πεινάσει, καὶ ἀσθενήσει, καὶ οὐ μὴ πίῃ ὕδωρ. ἐκλεξάμενος τέκτων ξύλον, ἔστησεν αὐτὸ ἐν μέτρῳ, καὶ ἐμόρφωσεν αὐτὸ ἐν παραγραφίδι, ἐποίησεν αὐτὸ ἐν παραγωνίσκοις, καὶ ἐν κόλλῃ ἐρρύθμισεν αὐτό. καὶ ἐποίησεν αὐτὸ ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου, στῆσαι αὐτὸ ἐν οἰκίσκῳ. ἔκοψε ἑαυτῷ κέδρους, καὶ ἔλαβεν ἀγριοβάλανον, καὶ δρῦν, καὶ ἐκαρτέρησεν αὐτὸ ξύλον ἐκ τοῦ δρυμοῦ, ὃ ἐφύτευσε κύριος πίτυν, καὶ ὑετὸς ἐμήκυνεν, ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν. καὶ λαβὼν ἀπ'

αὐτ.

uos eſtis, nũ eſt deus præ-
ter me. Et non erant tunc
fictores, & pictores om-
nes uani, facientes ea quæ
ipſis probantur, quæ non
proderunt eis. Et teſtes e-
orum non uidebunt, &
non cognoſcent, ut pudeſi-
ant. Quis formabit fortẽ,
& idolum conflabit ad ni
hil utile? ecce omnes par-
ticipes eius pudeſient, qui
fingunt deum, omnesq;
qui ſculpunt inutilia, &
omnia unde facta ſunt a-
ruerunt, & ſurdi ex homi-
nibus congregentur om-
nes, & ſtent ſimu[illegible] reuere-
antur atq; [illegible] pudeſiant.
Quia [illegible]it faber ferrum,
aſcia [illegible]ratus eſt illud in
prunis, & in terebro ſta-
tuit illud. Et operatus eſt
brachio roboris ſui, &
eſuriet, & infirmabitur, et
non bibet aquam. Eligẽs Sapien.13
faber lignum, ſtatuit illud
in menſuram, et formauit
illud runcina, fecit illud
normis, & circino forma
uit illud. Et direxit, quaſi
ad imaginem uiri, & qua
ſi ad pulchritudinem ho-
minis, ut ſtatueret illud in
domum ſuam. Succidit ſi-
bi cedros, & tulit ilicem
et quercum. Et comporta
uit ſibi lignum de ſylua,
quod plantauit dominus,
pinum quam pluuia nutri
uit, ut ſit hominibus in cõ
buſtionem, & ſumens ab

eo, calefactus est. Et succẽdentes coxerunt panes in eis: at ex reliquo fecerunt deos, quos adorant. Fecit illud sculptile, & flectit se ei, cuius dimidium combussit in igne, et in medio eius carbonibus coxit panes, & super eos carnes comedit, coquens assauit costum; & repletus est, & calefactus dixit: Dulce mihi, quod calefactus sim, uiderim ignem. At ex reliquo fecit Deũ, & sculptile; flectit se ante id & supplicat & orat, dicens, Libera me, quia deus meus es tu. Nõ cognouerũt, ut saperent, quoniam tenebrę illis offusæ sunt, ne uiderẽt oculis suis, & intelligerẽt corde suo: nec quisquam perpendit animo suo, neque cognouit prudẽtia, quod dimidium eius combusserit in igne, et coxerit super carbones panes, & assans carnem comederit, & reliquum eius in abominationẽ uerterit, & adorant eum. Scito, quia cinis cor eorum, et errant, et nemo potest liberare animã suam. Videte, nõ dicetis, quod mẽdaciũ in dextera mea. Memẽto horum Iacob et Israel, quia puer meus es tu. Formaui te puerum meum, et tu Israel ne obliuiscaris mei. Ecce deleui sicut nubẽ iniquitates tuas, et sicut caliginem peccata

αὐτοῦ, ἐθερμάνθη. καὶ καύσαντες ἔπεψαν ἄρτους ἐπ᾽ αὐτῶν, τὸ δὲ λοιπὸν εἰργάσαντο θεοὺς, καὶ προσκυνοῦσιν αὐτοῖς. ἐποίησεν αὐτὸ γλυπτὸν, καὶ κάμπτει αὐτοῖς, οὗ τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρὶ, καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ ἔπεψεν ἐν τοῖς ἄνθραξιν ἄρτους. καὶ ἐπ᾽ αὐτοῦ κρέας ἔφαγε, ὀπτήσας ὤπτησεν ὀπτὸν, καὶ ἐνεπλήσθη. καὶ θερμανθεὶς εἶπεν, ἡδύ μοι, ὅτι ἐθερμάνθην, καὶ εἶδον πῦρ. τὸ δὲ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτὸν, κάμπτει αὐτῷ, καὶ προσκυνεῖ, καὶ προσεύχεται αὐτῷ λέγων, ἐξελοῦ με, ὅτι θεός μου εἶ σύ. οὐκ ἔγνωσαν φρονῆσαι. ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν. καὶ οὐκ ἐλογίσατο τῇ ψυχῇ αὐτοῦ, οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρὶ, καὶ ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους, καὶ ὀπτήσας κρέα ἔφαγε, καὶ τὸ λοιπὸν αὐτοῦ εἰς βδέλυγμα ἐποίησε, καὶ προσκυνοῦσιν αὐτῷ. γνῶθι ὅτι σποδὸς ἡ καρδία αὐτῶν, καὶ πλανῶνται. καὶ οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ. ἴδετε, οὐκ ἐρεῖτε, ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου. Μνήσθητι ταῦτα ἰακὼβ καὶ ἰσραὴλ, ὅτι παῖς μου εἶ σύ, ἔπλασά σε παῖδά μου, καὶ σὺ ἰσραὴλ μὴ ἐπιλανθάνου μου. ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου, καὶ ὡς γνόφον τὰς ἁμαρτίας

τίας σου. ἐπιστράφηθι πρός με, καὶ λυ-
τρώσομαί σε. εὐφράνθητε οὐρανοί, ὅτι
ἠλέησεν ὁ θεὸς τὸν ἰσραήλ. σαλπί-
σατε τὰ θεμέλια τῆς γῆς, βοήσατε
τὰ ὄρη εὐφροσύνην, οἱ βουνοὶ καὶ πάν-
τα τὰ ξύλα τὰ ἐν αὐτοῖς, ὅτι ἐλυ-
τρώσατο ὁ θεὸς τὸν ἰακὼβ, καὶ ἰσραὴλ
δοξασθήσεται. οὕτω λέγει κύριος ὁ
λυτρούμενός σε, καὶ πλάσσων σε ἐκ
κοιλίας, ἐγὼ κύριος ὁ συντελῶν
πάντα. ἐξέτεινα τὸν οὐρανὸν μόνος,
καὶ ἐστερέωσα τὴν γῆν. τίς ἕτερος
διασκεδάσει σημεῖα ἐγγαστριμύ-
θων, καὶ μαντείας ἀπὸ καρδίας. ἀπο-
στρέφων φρονίμους εἰς τὰ ὀπίσω. καὶ
τὴν βουλὴν αὐτῶν μωραίνων, καὶ ἱστῶν
ῥῆμα παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν
ἀγγέλων αὐτοῦ ἀληθεύων; ὁ λέγων
τῇ ἱερουσαλὴμ, κατοικηθήσῃ. καὶ ταῖς
πόλεσι τῆς ἰουδαίας, οἰκοδομηθή-
σεσθε, καὶ τὰ ἔρημα αὐτῆς ἀναστή-
σω. ὁ λέγων τῇ ἀβύσσῳ, ἐρημω-
θήσῃ, καὶ τοὺς ποταμούς σου ξη-
ρανῶ. ὁ λέγων κύρῳ φρονεῖν, καὶ
πάντα τὰ θελήματά μου ποιήσει.
ὁ λέγων ἱερουσαλὴμ, οἰκοδομη-
θήσῃ, καὶ τὸν οἶκον τὸν ἅγιόν μου
θεμελιώσω.

Οὕτω λέγει κύριος ὁ θεὸς τῷ χρι-
στῷ μου κύρῳ, οὗ ἐκράτησα τῆς δεξι-
ᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη,
καὶ ἰσχὺν βασιλέων διαῤῥήξω, ἀν-
οίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ
πόλεις οὐ συγκλεισθήσονται. ἐγὼ

ἔμπροσ-

cata tua. Reuertere ad
me, & redimam te. Læta
mini cœli, quoniã miser-
tus est deus Israelis. Cani-
te tuba fundamenta terræ,
clamate montes lætitiam,
colles et omnia ligna quę
in eis: quia redemit domi
nus iacob, et Israel gloria
afficietur. Sic dicit domi
nus qui redimit te, & for
mat te ex utero. Ego sum
dominus qui cõpleo om-
nia. Extendi cœlum solus,
& firmaui terram. Quis
alius dissipabit signa a-
ruspicum et diuinationes
de corde, cõuertens pru-
dentes retrorsum, & cõsi
lium eorum in stultitiam
uertens, firmans uerbum
pueri eius, & consiliũ an-
gelorum eius uerum effi-
ciens, dicens Hierusalem,
habitaberis: & ciuitati-
bus Iudææ, ædificabimi
ni, etiam solitudines resti-
tuam. Dicens abysso, de-
solaberis, & flumina tua
arefaciam. Dicens Cyro,
ut sapiat, & omnes uolun
tates meas faciat. Dicens
Hierusalẽ, ædificaberis,
& domum sanctã meam
fundabo.

Cap. XLV.

Sic dicit dominus deus
christo meo Cyro, cuius
apprehendi dexteram, ut
subiiciam ante eum gen-
tes, & fortitudinem re-
gum frangam: aperiam
ante eum ianuas, & ciui-
tates non claudentur. Ego

g 5 ante

ante te ibo, & montes pla
nos faciam. portas æneas
conteram, & uectes ferre-
os confringã, et dabo tibi
thesauros tenebrosos, ab-
sconditos, qui non uiden-
tur, ea aperiam tibi, ut sci-
as, quia ego dominus de-
us tuus, uocans nomen tu-
um, Deus Israel. Propter
seruum meum Iacob, &
Israel electum meum, e-
go uocabo te nomine
tuo, & suscipiam te, tu au
tem non cognouisti me,
quod ego sum dominus
deus & non sit, præter me
alius de⁹ Corroboraui te,
cum non nouisses me, ut
sciant qui ab oriẽtolis, &
qui ab occasu, quod non
sit deus præter me. Ego
dominus deus, neque est
Amos 3 alius. Ego qui fabricaui
lucem, & qui feci tene-
bras, faciens pacem, &
creans mala. Ego domi-
nus deus faciens omnia.
Lætetur cœlum suprà,
& nubes spargant iustiti-
am. Aperiat terra, & ger
minet misericordia, & iu
stitia germinet simul. E-
go sum dominus qui crea
ui te, faciens meliorem, pa
raui te tanquam lutum fi-
Hier. 18 guli. Nunquid arans to-
Rom. 9 tam diem arabit terram?
Luc. 23 nunquid dicet lutum figu-
lo, quid facis q̃d non labo
ras? nullasne habes man⁹?
Vę dicẽs patri, q̃d genera
bis? & matri, q̃d parturis?
quia

ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη
ὁμαλιῶ, θύρας χαλκᾶς συντρίψω,
καὶ μοχλοὺς σιδηροῦς συγκλάσω, καὶ
δώσω σοὶ θησαυροὺς σκοτεινούς, ἀπο-
κρύφους, ἀοράτους ἀνοίξω σοί, ἵνα
γνῶς, ὅτι ἐγὼ κύριος ὁ θεός σου, ὁ
καλῶν τὸ ὄνομά σου, ὁ θεὸς ἰσραήλ.
ἕνεκεν τοῦ παιδός μου ἰακὼβ, καὶ
ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέ-
σω σε τῷ ὀνόματί σου, καὶ προσδέ-
ξομαί σε. σὺ δὲ οὐκ ἔγνως με, ὅτι ἐ-
γὼ κύριος ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι
πλὴν ἐμοῦ θεός. ἐνίσχυσά σε, καὶ οὐκ
ᾔδεις με, ἵνα γνῶσιν οἱ ἀπ' ἀνατο-
λῶν ἡλίου, καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι
οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. ἐγὼ κύ-
ριος ὁ θεός, καὶ οὐκ ἔστιν ἔτι. ἐγὼ ὁ
κατασκευάσας φῶς, καὶ ποιήσας
σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτί-
ζων κακά. ἐγὼ ὁ θεός, ὁ ποιῶν πάν-
τα ταῦτα. Εὐφρανθήτω ὁ οὐρανὸς ἄ-
νωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δι-
καιοσύνην. ἀνατειλάτω ἡ γῆ, καὶ βλα-
στησάτω ἔλεος, καὶ δικαιοσύνην ἀ-
νατειλάτω ἅμα. ἐγώ εἰμι κύριος ὁ
κτίσας σε, ποιῶν βελτίω, κατεσκεύ-
ασα ὡς πηλὸν κεραμέως. μὴ ὁ
ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅ-
λην τὴν ἡμέραν; μὴ ἐρεῖ ὁ πηλὸς
τῷ κεραμεῖ, τί ποιεῖς, ὅτι οὐκ ἐργά-
ζῃ, οὐδὲ ἔχεις χεῖρας; μὴ ἀποκρι-
θήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαν-
τα αὐτό. οὐαὶ ὁ λέγων τῷ πατρί, τί
γεννήσεις; καὶ τῇ μητρί, τί ὠδινεῖς;
ὅτι

ὅτι οὕτω λέγει κύριος ὁ θεὸς ὁ ἅγιος
ἰσραὴλ, ὁ ποιήσας τὰ ἐπερχόμενα.
ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου,
καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου
ἐντείλασθέ μοι. ἐγὼ ἐποίησα τὴν
γῆν, καὶ ἄνθρωπον ἐπ᾽ αὐτῆς, ἐγὼ τῇ
χειρί μου ἐστερέωσα τὸν οὐρανὸν, ἐγὼ
πᾶσι τοῖς ἄστροις ἐνετειλάμην. ἐ-
γὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης
βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ
εὐθεῖαι. οὗτος οἰκοδομήσει τὴν πό-
λιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ
μου ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ
μετὰ δώρων, εἶπε κύριος σαβαώθ.
Οὕτω λέγει κύριος σαβαὼθ, ἐκο-
πίασεν αἴγυπτος, καὶ ἐμπορία αἰθιό-
πων, καὶ οἱ σαβαεὶμ ἄνδρες ὑψηλοὶ
ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦ-
λοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδε-
μένοι χειροπέδαις, καὶ διαβήσονται
πρὸς σὲ, καὶ προσκυνήσουσί σοι, καὶ ἐν
σοὶ προσεύξονται. ὅτι ἐν σοὶ ὁ θεός
ἐστι, καὶ οὐκ ἔστι θεὸς πλήν σου. σὺ γὰρ
εἶ θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ θεὸς τοῦ
ἰσραὴλ σωτήρ. αἰσχυνθήσονται καὶ
ἐντραπήσονται πάντες οἱ ἀντικεί-
μενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰ-
σχύνῃ. Ἐγκαινίζεσθε πρός με νῆσοι
ἰσραὴλ, σώζεσθε ὑπὸ κυρίου σωτη-
ρίαν αἰώνιον, οὐκ αἰσχυνθήσονται,
καὶ οὐ μὴ ἐντραπήσονται ἕως τοῦ
αἰῶνος ἔτι. οὐκ ἔτι γὰρ οὐ μὴ ἐντρα-
πῶσιν, εἰ καὶ διὰ τὴν πλάνην τῶν
εἰδώλων ἐνετράπησαν πρότερον,
ὅτι

Quia sic dicit domin' de-
us, sanctus Israel, qui fecit
futura, Interrogate me de
filijs meis, et de operibus
manuum mearum manda
te mihi. Ego feci terram
et hominem super ea, ego
manu mea firmaui cœlū,
ego omnibus stellis man-
daui. Ego suscitabo eum
cum iustitia regem, et om
nes uiæ eius rectæ. Ipse æ-
dificabit ciuitatem me-
am, et captiuitatem popu
li mei auertit, non precio,
neq; muneribus, dixit do
minus Sabaoth. Sic dicit
dominus Sabaoth, labora
uit Ægyptus et negocia-
tio Æthiopum, et Saba-
im uiri excelsi ad te transi
bunt, et tibi erunt serui, et
post te sequentur uincti
manicis, et transibunt ad
te, et supplicabunt tibi, et
in te orabunt. Quia in te
deus est, et non est deus
præter te, tu enim es de-
us, et nesciuimus, Deus Is-
rael saluator. Pudefient, et
erubescent omnes auer-
santes ei, et ambulabunt
in ignominia. Innouami-
ni ad me insulæ Israel, sal-
uamini à domino salute
æterna, non pudefient, ne-
que erubescent usque in
æternum. Nequaquam e-
nim posthac erubescent,
quanquam per errorem
idolorū erubuerint antea.
Quia

Quia sic dicit dñs qui fe
cit coelum, iste deus qui
ostendit terram, & qui fe
cit eam, ipse terminauit
eam, nõ frustra fecit eam,
sed ut habitaretur, forma
uit eam. Ego sum domi-
nus, et nõ est alius. Nõ in
abscõdito loquutus sum,
neq; in loco terræ tene-
broso, nõ dixi semini Ia-
cob, frustra quærite. Ego
sum dominus loquẽs iusti
tiam, annuncians rectã.
Cõgregamini & uenite,
consulite simul, qui salua-
mini ex gentibus. Nõ co
gnouerunt qui ponant li
gnum sculpturã suam, &
orantes ad deos, qui non
saluãt. Qui annunciãt ap
propinquent, ut sciant si-
mul, quisnã auditum patefe
cerit hæc. Tũ annuncia-
bit uobis, Nõ ne ego do
minus deus? non est alius
præter me, iustus, et salua
tor non est preter me. Cõ
uertimini ad me, & salui
eritis, uos qui estis in ex-
tremo terræ: ego sum de-
us, & non est alius. Per
Ro. 14 memetipsum iuro, nihil e-
gredietur de ore meo nisi
iustitia, sermones mei non
auertẽtur. Quia mihi cur
uabitur omne genu, & iu
rabit omis lingua per de-
um, dicens: Iustitia et glo
ria ad eum ueniet, & pu-
defient omnes, à domi-
no qui separant ipsi se, iu
sti reddentur, et in deo
glo-

ὅτι οὕτως λέγει κύριος ὁ ποιήσας τὸν
οὐρανὸν, οὗτος ὁ θεὸς ὁ καταδεί-
ξας τὴν γῆν, καὶ ποιήσας αὐτὴν,
αὐτὸς διώρισεν αὐτὴν, οὐκ εἰς κενὸν
ἐποίησεν αὐτὴν, ἀλλὰ κατοικεῖσθαι
ἔπλασεν αὐτήν. ἐγώ εἰμι κύριος,
καὶ οὐκ ἔστιν ἔτι. οὐκ ἐν κρυφῇ λελά-
ληκα, οὐδ' ἐν τόπῳ γῆς σκοτεινῷ.
οὐκ εἶπα τῷ σπέρματι Ἰακὼβ, μά-
ταιον ζητήσατε. ἐγώ εἰμι κύριος, ὁ
λαλῶν δικαιοσύνην, καὶ ἀναγγέλ-
λων ἀλήθειαν. συνάχθητε, καὶ ἥκε-
τε, βουλεύσασθε ἅμα οἱ σωζόμενοι
ἀπὸ τῶν ἐθνῶν. οὐκ ἔγνωσαν οἱ αἴ-
ροντες τὸ ξύλον γλύμμα αὐτῶν, καὶ
οἱ προσευχόμενοι πρὸς θεοὺς, οἳ οὐ
σώζουσιν. οἱ ἀναγγέλλουσιν, ἐγγισά-
τωσαν, ἵνα γνῶσιν ἅμα, τίς ἀκου-
στὰ ἐποίησε ταῦτα ἀπ' ἀρχῆς. τότε
ἀνηγγέλη ὑμῖν, οὐχὶ ἐγὼ κύριος
ὁ θεός; καὶ οὐκ ἔστιν ἄλλος πλὴν
ἐμοῦ, δίκαιος καὶ σωτὴρ, οὐκ ἔστι
πάρεξ ἐμοῦ. ἐπιστράφητε ἐπ' ἐμὲ,
καὶ σωθήσεσθε, οἱ ἀπ' ἐσχάτου τῆς
γῆς. ἐγώ εἰμι ὁ θεὸς, καὶ οὐκ ἔστιν
ἄλλος. κατ' ἐμαυτοῦ ὀμνύω, ἢ μὴν
ἐξελεύσεται ἐκ τοῦ στόματός μου δι-
καιοσύνη, οἱ λόγοι μου οὐκ ἀποστρα-
φήσονται. ὅτι ἐμοὶ κάμψει πᾶν γό-
νυ, καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν
θεὸν, λέγων, δικαιοσύνη καὶ δόξα
πρὸς αὐτὸν ἥξει, καὶ αἰσχυνθήσονται
πάντες οἱ ἀφορίζοντες αὐτοὺς ἀπὸ κυ-
ρίου, δικαιωθήσονται, καὶ ἐν τῷ θεῷ
ἐνδο-

ἐνδοξασθήσονται πᾶν τὸ σπέρμα τῶν
υἱῶν Ἰσραήλ.

Ἔπεσε Βὴλ, συνετρίβη Δαγὼν, ἐ-
γένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία,
καὶ τὰ κτήνη· αἴρετε αὐτὰ καταδε-
δεμένα ὡς φορτίον κοπιῶντι ἐκλε-
λυμένῳ, καὶ πεινῶντι, οὐκ ἰσχύον-
τι ἅμα, οἳ οὐ δυνήσονται σωθῆναι
ἀπὸ πολέμου, αὐτοὶ δὲ αἰχμάλωτοι
ἤχθησαν. Ἀκούσατέ μου οἶκος τοῦ Ἰα-
κὼβ, καὶ πᾶν τὸ κατάλοιπον τοῦ Ἰσ-
ραὴλ, οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ
παιδευόμενοι ἐκ παιδίου ἕως γή-
ρως. ἐγώ εἰμι, καὶ ἕως ἂν καταγη-
ράσητε, ἐγώ εἰμι, ἐγὼ ἀνέχομαι ὑ-
μῶν, ἐγὼ ἐποίησα, καὶ ἐγὼ ἀνήσω, ἐ-
γὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. τί-
νι με ὡμοιώσατε; ἴδετε, τεχνάσασθε
οἱ πλανώμενοι, οἱ συμβαλλόμενοι
χρυσίον ἐκ μαρσιππίου, καὶ ἀργύ-
ριον ἐν ζυγῷ, στήσουσιν ἐν σταθμῷ, καὶ
μισθωσάμενοι χρυσοχόον ἐποίησαν
χειροποίητα, καὶ κύψαντες προσκυ-
νοῦσιν αὐτῷ, αἴρουσιν αὐτὸ ἐπὶ τῶν
ὤμων, καὶ πορεύονται. ἐὰν δὲ θῶ-
σιν αὐτὸ ἐπὶ τόπου αὐτοῦ, μένει, οὐ
μὴ κινηθῇ· καὶ ὃς ἐὰν βοήσῃ πρὸς
αὐτὸν, οὐ μὴ εἰσακούσῃ, ἀπὸ κακῶν
οὐ μὴ σώσῃ αὐτόν. μνήσθητε ταῦτα,
καὶ στενάξατε, μετανοήσατε οἱ πεπλα-
νημένοι, ἐπιστρέψατε τῇ καρδίᾳ,
καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ
αἰῶνος, ὅτι ἐγώ εἰμι ὁ θεὸς, καὶ οὐκ ἔ-
στιν ἄλλος πλὴν ἐμοῦ, ἀναγγέλλων
πρότερον

gloriabitur omne semē fi-
liorum Israel.

Cecidit Bel, contritus Cap.XLVI.
est Dagon: uersa sunt scul-
ptilia eorum ad bestias et
iumēta. Portatis ea quasi
onus alligatum laboranti,
deficienti & esurienti, im-
potenti denique, qui non
poterunt saluari de bello,
ipsi autem captiui ducti sunt.
Audite me domus Iacob,
et omnes reliquiæ Israel,
qui portamini de utero, et
eruditi ab infantia usque
ad senectutem. Ego sum,
& donec senescatis ego
sum: ego sustinebo uos, e-
go feci, et ego dimittam,
ego suscipiam et saluabo
uos. Cui me cōparastis? Baru.
uidete, excogitate qui er-
ratis, et qui confertis au-
rum de sacculo, argentum
in statera appēditis libra.
Mercede cōducentes au-
rum parauerunt opus ma-
nu confectum: et incurua-
ti adorant illud, portant
illud in humero, et ua-
dunt. Si autem posuerint
illud in loco, ibi manet,
non mouebitur: et quicun-
que clamauerit ad illud,
non exaudiet, e malis nō
liberabit eum. Memen-
tote horum et ingemi-
scite, horum uos pœni-
teat qui erratis, redite
ad cor. Mementote prio-
rum à sæculo, quod ego
sim deus, et non sit alius
præter me: annuncians
prius

prius ultima, antequam ipsa fiant, et completa sunt. Et dixi, omne consilium meum stabit, et cuncta quæcunque cogitaui, faciam. Qui uoco ab Oriente auem, et de terra remota. De quibus cogitaui, et quidem locutus sum, ea adduxi, creaui, et feci. Duxi eum, et faustum esse ei iter eius. Audite me qui perdidistis cor, qui longe à iustitia estis, prope duxi iustitiam meam, non remorabitur, et salutem, quæ ex me non tardabo. Dedi in Sion salutem, Israel in gloriam.

Cap. XLVII Descende, sede super terram, uirgo filia Babylonis sede, ingredere in terram. Non est solium filia Chaldæorum, quia nõ ultra perges uocari mollis et tenera. Tolle molam, molefarinam, detege reliquias tuas, denuda canos, nuda tibias, transi flumina, retegetur ignominia tua, apparebunt obprobria tua. Quod iustum est de te auferam, non ultra tradam hominibus. qui eruit te dominus Sabaoth, nomẽ illi, Sanctus Israel. Sede dolore cruciata, ingredere in tenebras filia Chaldæorum, non ultra uocaberis, Robur regni. Iratus sum contra

Naum 3

πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι, καὶ ἅμα συνετελέσθη. καὶ εἶπα, πᾶσα ἡ βουλή μου στήσεται, καὶ πάντα ὅσα βεβούλευμαι, ποιήσω. καλῶν ἀπὸ ἀνατολῶν πετεινόν, καὶ ἀπὸ γῆς πόρρωθεν, περὶ ὧν βεβούλευμαι. ἐλάλησα, καί γε ἤγαγον, ἔκτισα καὶ ἐποίησα, ἤγαγον αὐτόν, καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. ἀκούσατέ μου οἱ ἀπολωλεκότες τὴν καρδίαν, οἱ μακρὰν ἀπὸ τῆς δικαιοσύνης, ἤγγισα τὴν δικαιοσύνην μου, οὐ μὴ μακρυνθῇ, καὶ τὴν σωτηρίαν τὴν παρ᾽ ἐμοῦ οὐ βραδυνῶ. δέδωκα ἐν σιὼν σωτηρίαν τῷ ἰσραὴλ εἰς δόξασμα.

Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν, παρθένος θύγατερ βαβυλῶνος, κάθισον, εἴσελθε εἰς τὴν γῆν. οὐκ ἔτι θρόνος θύγατερ χαλδαίων, ὅτι οὐκ ἔτι προστεθήσῃ κληθῆναι ἁπαλὴ καὶ τρυφερά. λαβὲ μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψαι τὸ κατακάλυμμά σου, ἀνάσυραι τὰς πολιάς, ἀποκάλυψαι τὰς κνήμας, διάβηθι ποταμούς, ἀνακαλυφθήσεται ἡ αἰσχύνη σου, φανήσονται οἱ ὀνειδισμοί σου. τὸ δίκαιον ἐκ σοῦ λήψομαι, οὐκ ἔτι μὴ παραδῶ ἀνθρώποις. ὁ ῥυσάμενός σε κύριος σαβαώθ, ὄνομα αὐτῷ, ἅγιος ἰσραήλ. κάθισον κατανενυγμένη, εἴσελθε εἰς τὸ σκότος θύγατερ χαλδαίων, οὐκ ἔτι μὴ κληθῇς ἰσχὺς βασιλείας. παρωξύνθην

ἐπὶ

ἐπὶ τῷ λαῷ μου, ἐμίανας τὴν κληρο-
νομίαν μου. ἐγὼ ἔδωκα αὐτοὺς εἰς
τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδωκας αὐ-
τοῖς ἔλεος, τοῦ πρεσβυτέρου ἐβάρυ-
νας τὸν ζυγὸν σφόδρα, καὶ εἶπας εἰς
τὸν αἰῶνα ἔσομαι ἄρχουσα. οὐκ ἐνόη-
σας ταῦτα ἐν τῇ καρδίᾳ σου, οὐδὲ
ἐμνήσθης τὰ ἔσχατα; νῦν δὲ ἄ-
κουε ταῦτα τρυφερὰ, ἡ καθημένη,
ἡ πεποιθυῖα, ἡ λέγουσα ἐν καρδίᾳ
αὐτῆς, ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα,
οὐ καθίσω χήρα, οὐδὲ γνώσομαι ὀρ-
φανίαν. νῦν δὲ ἥξει ἐπί σε τὰ δύο
ταῦτα ἐξαίφνης ἐν ἡμέρᾳ μιᾷ, ἀτε-
κνία καὶ χηρεία ἥξει ἐξαίφνης ἐπί
σε, ἐν τῇ φαρμακείᾳ σου, ἐν τῇ ἰσχύϊ
τῶν ἐπαοιδῶν σου σφόδρα, τῇ ἐλπί-
δι τῆς πορνείας σου. καὶ σὺ εἶπας,
ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα. γνῶθι
ὅτι ἡ σύνεσις τούτων ἔσται, καὶ ἡ
πορνεία σου σοὶ αἰσχύνη. καὶ εἶπας
τῇ καρδίᾳ σου, ἐγώ εἰμι, καὶ οὐκ ἔ-
στιν ἑτέρα. καὶ ἥξει ἐπί σε ἀπώλεια,
καὶ οὐ μὴ γνῷς, καὶ ἐμπεσῇ εἰς αὐ-
τήν. καὶ ἥξει ἐπί σε ταλαιπωρία,
καὶ οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι. καὶ
ἥξει ἐπί σε ἐξαπίνης ἀπώλεια, καὶ
οὐ μὴ γνώσῃ. στῆθι νῦν ἐν ταῖς ἐπαοι-
δαῖς σου, καὶ ἐν τῇ πολλῇ φαρμα-
κείᾳ σου, ἃ ἐμάνθανες ἐκ νεότητός
σου, εἰ δυνήσῃ ὠφεληθῆναι, εἰ πῶς
δυνήσῃ ἰσχῦσαι, κεκοπίακας ἐν
ταῖς βουλαῖς σου. στήτωσαν δὲ, καὶ
σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ
οὐρανοῦ,

contra populũ meum, con
taminaui hæreditatem me
am. Ego dedi eos in mã-
num tuam, tu autem non
tribuisti eis misericordi-
am, seni nimium graue iu-
gum fecisti, et dixisti: in
æternum ero domina Nõ
intellexisti hæc in corde
tuo, neq; recordata es no-
uissimorum: Nunc autem
audi hæc, delicata, sedẽs,
confidens, dicens in cor-
de tuo, Ego sum, et non Apoc.18
est alia, non sedebo ui-
dua, neque sciam sterilita-
tem. Nunc autem uenient
super te duo hæc subitò
in die una, sterilitas, et ui-
duitas, ueniet subitò super
te, in ueneficio tuo, in ro-
bore incantatorum tuo-
rum uehementer, in spe
nequitiæ tuę. Tu enim di
xisti: Ego sum, et non est
alia. Scias prudentiam ho
rum, et fornicationem tu-
am tibi esse obprobrio.
Et dixisti corde tuo: E-
go sum, et non est alia. Et Hiere.49
ueniet super te interitus,
et nescies, et incides in eũ.
Et ueniet super te calami
tas, et nõn poteris munda
fieri. Et ueniet super te su
bitò exitium, cum non co
gnoueris. Sta nunc in in-
cantationibus tuis, et mul
tis ueneficijs tuis, quæ di-
dicisti ab adolescentia
tua, si poteris iuuari, aut
ualere poteris, labora-
sti in consilijs tuis. Stent
iam, et saluent te astrologi
cœli

coeli, qui contemplantur stellas, annuncient tibi, quid uenturũ sit super te. Ecce omnes quasi stipulæ in igne comburentur, & non eruent animã suam è flamma; quia habes carbones igni, combure fis super eos. hi erunt tibi auxilio. Laborasti in commutatione tua, ab adolescentia, homo in semetipso errauit, tibi autem non erit salus.

Ca.XLVIII. Audite hæc domus Iacob, uocati in nomine Israel, & de aqua Iuda exeuntes, iurantes per nomẽ domini dei Israel, recensentes non cum ueritate, neq; cum iustitia, & adhærentes nomini ciuitatis sanctæ, & in deo Israel contra stabiliti: dominus sabaoth nomen ei. priores annos annunciaui, & de ore meo egressi sunt, & auditum est. Subito fecit, et uenerũt. Scio quod durus sis, et neruus ferreus collum tuum, et frons tua ænea. Et annunciaui tibi olim, antequam ueniret super te, auditum tuo patefeci: ne forte diceres, quia idola mea fecerunt, diceresq;, quia sculptilia et conflatilia mandauerunt mihi. Audistis omnia, et uos non cognouistis: Imo etiamnum patefeci, ab hoc tẽpore, ... quæ

οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι, τί μέλλει ἐπὶ σὲ ἔρχεσθαι. ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξελῶνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός, ὅτι ἔχεις ἄνθρακας πυρός, κάθισον ἐπ' αὐτούς, οὗτοι ἔσονταί σοι βοήθεια. ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.

Ἀκούσατε ταῦτα οἶκος ἰακώβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι ἰσραήλ, καὶ ἐξ ὕδατος ἰούδα ἐξελθόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι κυρίου θεοῦ ἰσραήλ, μιμνησκόμενοι οὐ μετὰ ἀληθείας, οὐδὲ μετὰ δικαιοσύνης, καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας. καὶ ἐπὶ τῷ θεῷ ἰσραὴλ ἀντιστηριζόμενοι, κύριος σαβαὼθ ὄνομα αὐτῷ, τὰ πρότερα ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο. ἐξάπινα ἐποίησα, καὶ ἐπῆλθε, γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. καὶ ἀνήγγειλά σοι πάλαι ἃ πρὶν ἐλθεῖν ἐπί σε ἀκουστόν σοι ἐποίησα, μήποτε εἴπῃς ὅτι τὰ εἴδωλά μου ἐποίησε, καὶ εἴπῃς ὅτι τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι. ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε. ἀλλὰ καὶ ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν, ἃ μέλλει

ἃ μέλλει γίνεσθαι. καὶ οὐκ εἶπας,
νῦν γίνεται, καὶ οὐ πάλαι, καὶ οὐ
προτέραις ἡμέραις, καὶ οὐκ ἤκουσας
αὐτά. μὴ εἴπῃς· ναὶ γινώσκω αὐτά.
οὔτε ἔγνως, οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρ-
χῆς ἤνοιξά σου τὰ ὦτα. ἔγνων γὰρ, ὅ-
τι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος ἔτι
ἐκ κοιλίας κληθήσῃ. ἕνεκεν τοῦ ἐμοῦ
ὀνόματος δείξω σοὶ τὸν θυμόν μου,
καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπί σε, ἵνα
μὴ ἐξολοθρεύσω σε. ἰδοὺ πέπρακά
σε, οὐχ ἕνεκεν ἀργυρίου. ἐξειλάμην
δέ σε ἐκ καμίνου πτωχείας. ἕνεκεν
ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα
βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέ-
ρῳ οὐ δώσω. ἄκουέ μου ἰακὼβ, καὶ
ἰσραὴλ ὃν ἐγὼ καλῶ. ἐγώ εἰμι πρῶ-
τος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. καὶ
ἡ χείρ μου ἐθεμελίωσε γῆν, καὶ ἡ δε-
ξιά μου ἐστερέωσε τὸν οὐρανόν. κα-
λέσω αὐτοὺς, καὶ στήσονται ἅμα, καὶ
συναχθήσονται πάντες, καὶ ἀκούσον-
ται. τίς αὐτοῖς ἀνήγγειλε ταῦτα;
ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου
ἐπὶ βαβυλῶνα, τοῦ ἆραι σπέρμα χαλ-
δαίων. ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλε-
σα, ἤγαγον αὐτὸν, καὶ εὐόδωσα τὴν
ὁδὸν αὐτοῦ. προσαγάγετε πρός με, καὶ
ἀκούσατε ταῦτα, οὐκ ἀπ' ἀρχῆς ἐν
κρυφῇ λελάληκα. ἡνίκα ἐγένετο, ἐ-
κεῖ ἤμην, καὶ νῦν κύριος κύριος
ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα αὐτοῦ.
οὕτω λέγει κύριος, ὁ ῥυσάμενός σε, ὁ
ἅγιος ἰσραὴλ, ἐγὼ κύριος ὁ θεός σου
διδάξω

quæ futura sunt. Et nō di
xisti, nunc fiunt, & nō o-
lim, & non prioribus die-
bus, et non audisti ea. Ne
dicas, certe noui ea. Neq;
nosti, neq; sciuisti, neq; à
principio aperui tuas au-
res. Noui enim quod præ
uaricans præuaricaberis,
& iniquus adhuc ex ute-
ro uocaberis. Propter me
um nomen ostendam tibi
furorem meum, & glorio
sa mea inducam super te,
ut non destruam te. Ecce
uendidi te non propter ar
gentum, erui te de forna-
ce mendicitatis. Propter Supra 42
me faciam, ne nomen meū
polluatur, neq; gloriā me
am alteri dem. Audi me Ia
cob & Israel, quē ego uo-
co, ego sum primus, & e-
go sum in æternum: & ma
nus mea fundauit terrā, et
dextera mea firmauit cœ-
lum. Vocabo ego eos, &
stabunt simul, & congre-
gabuntur omnes, & audi-
ent. Quis eis annunciauit
hæc. Qui diligit te, feci
uoluntatē tuam super Ba-
bylonē, ut auferrem semē
Chaldæorū. Ego locutus
sum, & ego uocaui, addu-
xi eum, & prosperaui uiā
eius. Accedite ad me, &
audite hęc. Principio nō
in abscōdito locutus sum,
tum cū fiebāt, illic erā. Et
nunc dñs dñs misit me, et
spiritus ei⁹. Sic dicit dñs,
q liberauit sanctū Israel,
Ego dominus deus tuus

cœli, qui contemplantur stellas, annuncient tibi, quid uenturũ sit super te. Ecce omnes quasi stipulæ in igne comburentur, & non eruent animã suam è flamma, quia habes carbones ignis, combure eris super eos. hi erunt tibi auxilio. Laborasti in cõmutatione tua, ab adolescẽtia, homo in semetipso errauit, tibi autem non erit salus.

Ca.XLVIII.

Audite hæc domus Iacob, uocati in nomine Israel, & de aqua Iuda exeuntes, iurantes per nomẽ domini dei Israel, recensentes non cum ueritate, neque cum iustitia, & adhærentes nomini ciuitatis sanctæ, & in deo Israel contra stabiliti: dominus sabaoth nomen ei, priores annos annunciaui, & de ore meo egressi sunt, & auditum est. Subito fecit, et uenerunt. Scio quod durus sis, et neruus ferreus collum tuum, et frons tua ænea. Et annunciaui tibi olim, antequam ueniret super te, auditum tibi patefeci: ne forte diceres, quia idola mea fecerunt, diceresque, quia sculptilia et conflatilia mandauerunt mihi. Audistis omnia, et uos non cognouistis: Imo etiamnunc patefeci, ab hoc tẽpore, quæ

οὐρανοῦ, οἱ ὁρῶντες τοὺς ἀστέρας ἀναγγειλάτωσάν σοι, τί μέλλει ἐπί σε ἔρχεσθαι. ἰδοὺ πάντες ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυθήσονται, καὶ οὐ μὴ ἐξελῶνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογὸς, ὅτι ἔχεις ἄνθρακας πυρὸς, κάθισον ἐπ' αὐτοὺς, οὗτοι ἔσονταί σοι βοήθεια. ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος, ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία.

Ἀκούσατε ταῦτα οἶκος ἰακὼβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι ἰσραὴλ, καὶ ἐξ ὕδατος ἰούδα ἐξελθόντες, οἱ ὀμνύοντες τῷ ὀνόματι κυρίου θεοῦ ἰσραὴλ, μιμνησκόμενοι οὐ μετὰ ἀληθείας, οὐδὲ μετὰ δικαιοσύνης, καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας. καὶ ἐπὶ τῷ θεῷ ἰσραὴλ ἀντιστηριζόμενοι, κύριος σαβαὼθ ὄνομα αὐτῷ, τὰ πρότερα ἔτι ἀνήγγειλα, καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε, καὶ ἀκουστὸν ἐγένετο. ἐξάπινα ἐποίησα, καὶ ἀπήντησε, γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. καὶ ἀνήγγειλά σοι πάλαι ἃ πρὶν ἐλθεῖν ἐπί σε, ἀκουστόν σοι ἐποίησα, μήποτε εἴπῃς ὅτι τὰ εἴδωλά μου ἐποίησε, καὶ εἴπῃς ὅτι τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι. ἠκούσατε πάντα, καὶ ὑμεῖς οὐκ ἔγνωτε. ἀλλὰ καὶ νῦν ἀκουστά σοι ἐποίησα τὰ καινὰ ἀπὸ τοῦ νῦν, ἃ μέλλει

ἃ μέλλει γίνεσθαι. καὶ οὐκ εἶπας,
νῦν γίνεται, καὶ οὐ πάλαι, καὶ οὐ
προτέραις ἡμέραις, καὶ οὐκ ἤκουσας
αὐτά. μὴ εἴπῃς; ναὶ γινώσκω αὐτά.
οὔτε ἔγνως, οὔτε ἠπίστω, οὔτε ἀπ' ἀρ-
χῆς ἤνοιξά σου τὰ ὦτα. ἔγνων γὰρ, ὅ-
τι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος ἔτι
ἐκ κοιλίας κληθήσῃ. ἕνεκεν τοῦ ἐμοῦ
ὀνόματος δείξω σοὶ τὸν θυμόν μου,
καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπί σε, ἵνα
μὴ ἐξολοθρεύσω σε. ἰδοὺ πέπρακά
σε, οὐχ ἕνεκεν ἀργυρίου. ἐξειλάμην
δέ σε ἐκ καμίνου πτωχείας. ἕνεκεν
ἐμοῦ ποιήσω σοι, ὅτι τὸ ἐμὸν ὄνομα
βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέ-
ρῳ οὐ δώσω. ἄκουέ μου ἰακὼβ, καὶ
ἰσραὴλ ὃν ἐγὼ καλῶ. ἐγώ εἰμι πρῶ-
τος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. καὶ
ἡ χείρ μου ἐθεμελίωσε γῆν, καὶ ἡ δε-
ξιά μου ἐστερέωσε τὸν οὐρανόν. κα-
λέσω αὐτοὺς, καὶ στήσονται ἅμα, καὶ
συναχθήσονται πάντες, καὶ ἀκούσον-
ται. τίς αὐτοῖς ἀνήγγειλε ταῦτα;
ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου
ἐπὶ βαβυλῶνα, τοῦ ἆραι σπέρμα χαλ-
δαίων. ἐγὼ ἐλάλησα, ἐγὼ ἐκάλε-
σα, ἤγαγον αὐτὸν, καὶ εὐόδωσα τὴν
ὁδὸν αὐτοῦ. προσαγάγετε πρός με, καὶ
ἀκούσατε ταῦτα, οὐκ ἀπ' ἀρχῆς ἐν
κρυφῇ λελάληκα. ἡνίκα ἐγένετο, ἐ-
κεῖ ἤμην, καὶ νῦν κύριος κύριος
ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ.
οὕτω λέγει κύριος, ὁ ῥυσάμενός σε, ὁ
ἅγιος ἰσραὴλ, ἐγὼ κύριος ὁ θεός σου
διδαχά

quæ futura sunt. Et nō di-
xisti, nunc fiunt, & nō o-
lim, & non prioribus die-
bus, et non audisti ea. Ne
dicas, certe noui ea. Neq;
nosti, neq; sciuisti, neq; à
principio aperui tuas au-
res. Noui enim quod præ
uaricans præuaricaberis,
& iniquus adhuc ex ute-
ro uocaberis. Propter me
um nomen ostendam tibi
furorem meum, & glorio
sa mea inducam super te,
ut non destruam te. Ecce
uendidi te non propter ar
gentum, erui te de forna-
ce mendicitatis. Propter Supra 41
me faciam, ne nomen meū
polluatur, neq; gloriā me
am alteri dem. Audi me Ia
cob & Israel, quē ego uo-
co, ego sum primus, & e-
go sum in ęternum: & ma
nus mea fundauit terrā, et
dextera mea firmauit cœ-
lum. Vocabo ego eos, &
stabunt simul, & congre-
gabuntur omnes, & audi-
ent. Quis eis annunciauit
hæc. Qui diligit te, feci
uoluntatē tuam super Ba-
bylonē, ut auferrem semē
Chaldæorū. Ego locutus
sum, & ego uocaui, addu-
xi eum, & prosperaui uiā
eius. Accedite ad me, &
audite hęc. Principio nō
in absc ōdito locutus sum,
tum cū fiebāt, illic erā. Et
nunc dñs dñs misit me, et
spiritus ei⁹. Sic dicit dñs,
q liberauit sanctū Israel,
Ego dominus deus tuus

docui te, ut inuenires tu uiam, in qua ambulares. Quod si audisses mandata mea, facta fuisset utiq; sicut flumē pax tua, & iustitia tua quasi unda maris: & fuisset utique quasi arena semen tuum, & stirpes uteri tui ut puluis terræ, neq; nunc exterminareris, neq; deleretur nomē tuum in conspectu meo. Exi de Babylone, fugiēs à Chaldæis, uocem exultationis annunciate, & ut audiatur fiat hoc, annūcia te usq; ad extremū terræ. Dicite, Redemit dominus seruum suum Iacob. Quod si sitierint, per desertum ducet eos, aquā de
Infra 57 petra educet eis, scindetur petra, & fluet aqua, & bibet populus meus. Non est ulla lætitia, dicit dominus, impijs.

Cap. XLIX Audite me insulæ, & attendite gentes, post tempus multū stabit, dicit dominus. Ex uentre matris meę uocauit nomen meū, & posuit os meum quasi gladium acutum, & sub protectione manus suę abscōdit me. Posuit me quasi sagittam electam, & in pharetra sua abscondit me, & dixit mihi: Seruus meus es tu Israel, & in te
Infra 51 gloriabor. Et ego dixi: Frustra laboraui, in uanū, in nihilum dedi fortitudinē meā. Propterea iudiciū

meum

δίδαχά σε, τοῦ εὑρεῖν σε τὴν ὁδὸν ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης. καὶ ἐγένετο ἂν ὡσεὶ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔκγονα τῆς κοιλίας σου ὡς ὁ χοῦς τῆς γῆς, οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ. ἔξελθε ἐκ Βαβυλῶνος, φεύγων ἀπὸ τῶν Χαλδαίων, φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο, ἀπαγγείλατε ἕως ἐσχάτου τῆς γῆς. λέγετε, ἐρρύσατο κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ. καὶ ἐὰν διψήσωσιν, ἐν τῇ ἐρήμῳ ἄξει αὐτούς, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς. σχισθήσεται πέτρα, καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου. οὐκ ἔστι χαίρειν, λέγει κύριος, τοῖς ἀσεβέσιν.

Ἀκούσατέ μου νῆσοι, καὶ προσέχετε ἔθνη, διὰ χρόνου πολλοῦ στήσεται, λέγει κύριος. ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου, καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. ἔθηκέ με ὡσεὶ βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με. καὶ εἶπέ μοι, δοῦλός μου εἶ σὺ Ἰσραὴλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι. καὶ ἐγὼ εἶπα, κενῶς ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου. διὰ τοῦτο ἡ κρίσις

μου

μου παρὰ κυρίῳ, καὶ ὁ πόνος μου ἐ-
ναντίον τοῦ θεοῦ μου. καὶ νῦν οὕτω
λέγει κύριος, ὁ πλάσας με ἐκ κοι-
λίας δοῦλον ἑαυτῷ, τοῦ συναγαγεῖν
τὸν ἰακὼβ πρὸς αὐτὸν, καὶ ἰσραὴλ,
συναχθήσομαι, καὶ δοξασθήσομαι
ἐναντίον κυρίου, καὶ ὁ θεός μου ἔσται
μοι ἰσχύς. καὶ εἶπέ μοι, μέγα σοί
ἐστι τοῦ κληθῆναί σε παῖδά μου, τοῦ
στῆσαι τὰς φυλὰς ἰακὼβ, καὶ τὴν
διασπορὰν τοῦ ἰσραὴλ ἐπιστρέψαι.
ἰδοὺ δέδωκά σε εἰς διαθήκην γέ-
νους εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς
σωτηρίαν, ἕως ἐσχάτου τῆς γῆς. οὕτως
λέγει κύριος, ὁ ῥυσάμενός σε ὁ θε-
ὸς ἰσραὴλ, ἁγιάσατε τὸν φαυλίζον-
τα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσό-
μενον ὑπὸ τῶν ἐθνῶν, τὸν δοῦλον τῶν
ἀρχόντων. βασιλεῖς ὄψονται αὐτὸν,
καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσ-
κυνήσουσιν αὐτῷ ἕνεκεν κυρίου, ὅτι
πιστός ἐστιν ὁ ἅγιος ἰσραὴλ, καὶ ἐξε-
λεξάμην σε. οὕτως λέγει κύριος,
καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν
ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ
ἔπλασά σε, καὶ ἔδωκά σε εἰς δια-
θήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν
γῆν, καὶ κληρονομῆσαι κληρονομίας
ἐρήμους, λέγοντα τοῖς ἐν δεσμοῖς,
ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀ-
νακαλυφθῆναι. ἐν πάσαις ταῖς ὁ-
δοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις
ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. οὐ πεινά-
σουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει
αὐτοὺς

meum apud dominum, & labor meus coram deo meo. Et nunc sic dicit dominus, Qui formauit me ex utero seruũ sibi, ut congregarem Iacob ad eum, et Israel, congregabor, et glorificabor coram domino, & deus meus erit fortitudo mea. Et dixit: Magnum tibi est ut uoceris puer meus, ut suscitas tribus Iacob, & dispersioné Israel conuertas. Ecce posui te in testamentum gentis, in lucem gentium, ut sis tu in salutem usque ad extremum terræ. Sic dicit dominus, qui eruit te, deus Israel, Sãctè colite eum, qui despicit animam suam, qui abominationi habetur à gentibus, qui seruus est principum. Reges uidebunt eum, & consurgent principes, & adorabunt eum propter dominũ, quia fidelis est sanctus Israel, & elegi te. Sic dicit dominus: Tempore opportuno exaudiui te, & die salutis adiuui te, & formaui te, & feci te testamentum gentibus, ut constitueres terram, possideres hæreditates desertas, ut diceres his qui in uinculis, exite, & his qui in tenebris illustramini. In omnibus uijs pascẽtur, & in omnibus semitis pascua eorum. Non esurient, neque sitient, neque feriet

Sup.42
Act.13
Apoc.7

eos æstus, neque sol: sed
qui miserebitur eorum,
consolabitur eos, & per
fontes aquarum ducet il-
los, & uertam omnẽ mon
tem in uiam, & omnem se
mitam in pastum eis. Ec-
ce procul uenient, hi ab
Aquilone & mari, illi de
Infra 52 terra Persarum. Lætami-
ni cœli, & exultet terra,
erumpant montes lætiti-
am, quia misertus est deus
populi sui, & humiles po-
puli sui consolatus est. Di-
xit Sion: Dereliquit me
dominus, & dominus ob-
litus est mei. Nunquid ob
liuiscetur mulier filij sui,
uel non misereatur partus
uteri sui? Etiamsi horũ ob
lita fuerit mulier, ego ta-
men non obliuiscar tui, di
cit dominus. Ecce super
Infra 60 manus meas depinxi tuos
muros, & corã me es sem
per, & citò ædificata es, à
quibus destructa fuisti, &
qui deuastauerunt te, ex
te egredientur. Extolle o-
culos tuos, et uide omnes,
ecce congregati sunt, &
uenerũt ad te. Viuo ego,
dicit dominus, quia omni
bus his quasi ornamento
uestieris, & circundabe-
ris eis quasi ornamẽto spõ
sa. Quoniam deserta tua
& dissipata, & quæ cor-
ruerunt, iam angusta effi-
cies incolis, & procul se-
gregabũtur à te ij qui de-
uorant te. Dicent enim in
aures

αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ ἥλιος, ἀλλ'
ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει, καὶ
διὰ πηγῶν ὑδάτων ἄξει αὐτοὺς, καὶ
θήσω πᾶν ὄρος εἰς ὁδὸν, καὶ πᾶσαν
τρίβον εἰς βόσκημα αὐτοῖς. ἰδοὺ οὗ-
τοι πόῤῥωθεν ἥξουσιν, οὗτοι ἀπὸ βοῤ-
ῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς
περσῶν. εὐφραίνεσθε οὐρανοὶ, καὶ
ἀγαλλιάσθω ἡ γῆ, ῥηξάτωσαν τὰ ὄ-
ρη εὐφροσύνην, καὶ οἱ βουνοὶ δι-
καιοσύνην, ὅτι ἠλέησεν ὁ θεὸς τὸν
λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ
λαοῦ αὐτοῦ παρεκάλεσεν. Εἶπε δὲ
σιὼν, ἐγκατέλιπέ με κύριος, καὶ ὁ
κύριος ἐπελάθετό μου. μὴ ἐπιλήσε-
ται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ
ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐ-
τῆς; εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ,
ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε κύ-
ριος. ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγρά-
φησά σου τὰ τείχη, καὶ ἐνώπιόν μου
εἶ διὰ παντὸς, καὶ ταχὺ οἰκοδομήσῃ
ὑφ' ὧν καθηρέθης, καὶ οἱ ἐρημώσαν-
τές σε ἐξελεύσονται ἐκ σοῦ. ἆρον κύ-
κλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἰδὲ πάν-
τας, ἰδοὺ συνήχθησαν, καὶ ἦλθοσαν
πρός σε. ζῶ ἐγὼ, λέγει κύριος, ὅτι
πάντας αὐτοὺς ὡς κόσμον ἐνδύ-
σῃ, καὶ περιθήσεις αὐτοὺς ὡς κόσμον
νύμφη. ὅτι τὰ ἔρημά σου καὶ τὰ ἐξ-
εφθαρμένα, καὶ τὰ καταπεπτωκό-
τα, ὅτι νῦν στενοχωρήσει ἀπὸ τῶν κα-
τοικούντων, καὶ μακρυνθήσονται ἀπὸ
σου οἱ καταπίνοντές σε. ἐροῦσι γὰρ εἰς
τὰ

τὰ ὦτά σου οἱ υἱοί σου, οὓς ἀπολώλεκας, στενός μοι ὁ τόπος, ποίησόν μοι τόπον ἵνα κατοικήσω. καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου, τίς ἐγέννησέ μοι τούτους; ἐγὼ μὲν ἄτεκνος καὶ χήρα, πάροικος καὶ ἐγκεκλεισμένη, τούτους δὲ τίς ἐξέθρεψέ μοι; ἐγὼ μὲν κατελείφθην μόνη, οὗτοι δέ μοι ποῦ ἦσαν; οὕτως λέγει κύριος κύριος, ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου, καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ, τὰς δὲ θυγατέρας σου ἐπ᾽ ὤμων ἀροῦσι, καὶ ἔσονται βασιλεῖς τιθηνοί σου, αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου. ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσί σοι, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος ὁ θεός, καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές με. μὴ λήψεταί τις παρὰ γίγαντος σκύλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως, σωθήσονται; ὅτι οὕτω λέγει κύριος, ὅτι ἐάν τις αἰχμαλωτίσῃ γίγαντα, λήψεται σκύλα. λαμβάνων δὲ παρὰ ἰσχύοντος σωθήσεται. ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ, καὶ ἐγὼ τοὺς υἱούς μου ῥύσομαι, καὶ φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν, καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν, καὶ μεθυσθήσεται πᾶσα σάρξ, ὅτι ἐγὼ κύριος ὁ ῥυσάμενός σε, καὶ ἀντιλαμβανόμενος ἰσχύος ἰακώβ.

Οὕτως λέγει κύριος, ποῖον τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ

aures tuas filij tui, q̃s perdidisti, angustus mihi locus, fac mihi locum ut habitem. Et dices in corde tuo: q̃s genuit mihi istos? ego autem sine filijs. & uidua, aduena & inclusa, hos ergo quis enutriuit mihi? Ego quidem derelicta sum sola, isti aũt mihi ubi erant? Sic dicit dñs: Ecce extollo ad gẽtes manum meam, & ad insulas erigã signum meũ, & adducent filios tuos in sinu, filiasq; tuas in humeris portabũt, et erunt reges nutritij tui, principes, fœminæ eorũ nutrices tuæ. Super faciẽ terræ adorabunt te, et puluerem pedũ tuorum lingent, & scies, me dominũ esse, & nulla ignominia affici eos, q me expectãt. Num detrahet quis à Gigãte spolia? Et cum captiuos duxerit iniuste, liberabuntur? Quia sic dicit dñs: Si quis captiuum duxerit Gigantem, accipiet spolia, accipiens aũt à forti, saluabitur. Ego aũt iudicium tuũ iudicabo, & ego filios meos liberabo, & comedẽt qui afflixerũt te, carnes suas, & bibent quasi uinum nouũ sanguinem suũ, & ebria fiet omnis caro, quia ego dominus qui erui te, & adiutor fortitudinis Iacob.

Sic dicit dñs: Qualis hic liber repudij matris ur̃æ, Caput L
Oiex +

quē dimisi ei? aut cui creditori ex exactorib. meis uendidi uos ei? ecce peccatis uestris uenundati estis,
Infra 59 & iniquitatibus uestris dimisi matrē uestram. Quoniā cum uenissem, nō fuit homo. uocaui, & nō erat audiens. Nunquid nō poterit manus mea liberare, aut nō possum eruere? ec-
Exod. 14 ce cōminatione mea de-
Exod. 10 sertum faciā mare, & ponam flumina deserta, et arescent pisces eorū, eo q̄d non sit aqua, & siti enecabūt. Induā cœlū tenebris,
Psal. 40 & quasi saccū penā operimentū eius. Dn̄s dn̄s dat mihi linguā disciplinæ, ut sciā quando oporteat loqui uerbum. Posuit mihi mane, mane: addidit mihi aurem ad audiendū, & disciplina dn̄i aperit meas aures, ego aūt non renuo,
Matth. 26 nec cōtradico: dorsum meum præbui ad flagellū, at genas meas ad alapas, neque faciem meam auerti à sordibus sputorum. Et dominus dominus auxiliator meus factus est. Propterea non erubui, sed posui faciem meam sicut firmam petram, & cognoui me nulla ignominia affectū iri. quia iuxta est qui iustificat me. Quis q̄ litigat mecū? resistat mihi simul: & q̄s litigans mecū? propinquet mihi. Ecce dn̄s auxiliabit̄ mihi, q̄s ergo malis me afficiet? ecce oēs uos

ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑπόχρεῳ τῶν πεπρακότων με, ᾧ πέπρακα ὑμᾶς αὐτῷ; ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν. διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων. μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ ῥύσασθαι, ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι; ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώσω τὴν θάλασσαν, καὶ θήσω ποταμοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ, καὶ ἀποθανοῦνται ἐν δίψει. ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. κύριος κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. ἔθηκέ με πρωῒ πρωῒ, προσέθηκέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παιδεία κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων. καὶ κύριος κύριος βοηθός μοι ἐγενήθη. διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με. τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα. καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι. ἰδοὺ κύριος βοηθήσει μοι, τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς

ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ. ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα. πορεύεσθε ἐν τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ἧ ἐξεκαύσατε. δι᾽ ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Ἀκούσατέ με οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν κύριον, ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ὃν ὠρύξατε. ἐμβλέψατε εἰς ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ εὐλόγησα αὐτὸν, καὶ ἠγάπησα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν. καί σε νῦν παρακαλέσω σιὼν, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς, καὶ θήσω τὰ ἔρημα αὐτῆς ὡς παράδεισον, καὶ τὰς πρὸς δυσμὰς αὐτῆς ὡς παράδεισον κυρίου. εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ φωνὴν αἰνέσεως. ἀκούσατέ μου, ἀκούσατέ μου λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ᾽ ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις

μου

uos quasi uestimentum ueterascetis, & quasi tinea comedet uos. Quis est ex uobis, qui timeat deum: Exaudiat uocem pueri eius. Vos qui ambulatis in tenebris, & quibus non est lux, confidite nomini domini, & innitimini in deo. Ecce omnes uos ignē accenditis, & firmatis flammam. Ambulate in lumine ignis uestri, & in flamma, quā succendistis. Per me facta sunt hæc uobis, in mœrore dormietis. Psal.101.

Cap.LI

Audite me uos, qui sequimini id quod iustum est, & qui quæritis dominum, inspicite in solidam petram quam excidistis, & in foueam lacus quam fodistis. Inspicite in Abraam patrem uestrum, & in Sarram quæ peperit uos, quia unus erat: & uocaui eum, & benedixi ei, & dilexi eum, & multiplicaui eum. Et nunc consolabor Sion, & consolatus sum omnia deserta eius, & ponam solitudines eius quasi paradisum, & quæ ad occidentem eius quasi paradisum domini. Exultationem & lætitiam inueniēt in ea, confessionem & uocem laudis. Audi me, audi me popule mi, & reges mihi auscultate, quia lex à me egredietur, & iudicium

meum

quē dimiſi ei? aut cui cre-
ditori ex exactorib. meis
uendidi uos ei? ecce pecca
tis ueſtris uenundati eſtis,
Infra 59 & iniquitatibus ueſtris di
miſi matrē ueſtram. Quo-
piā cum ueniſſem, nō fuit
homo. uocaui, & nō erat
audiens. Nunquid nō po-
terit manus mea liberare,
aut nō poſſum eruere? ec-
Exod. 14 ce cōminatione mea de-
Exod. 10 ſertum faciā mare, & po-
nam flumina deſerta, et a-
reſcent piſces eorū, eo q̄d
non ſit aqua, & ſiti enecā-
Pſal. 40 būt. Induā cœlū tenebris,
& quaſi ſaccū ponā operi
mentū eius. Dn̄s dn̄s dat
mihi linguā diſciplinæ, ut
ſciā quando oporteat lo-
qui uerbum. Poſuit mihi
mane, mane: addidit mihi
aurem ad audiendū, & di
ſciplina dn̄i aperit meas
aures, ego aūt non renuo,
Matth. 26 nec cōtradico: dorſum me
um præbui ad flagellū, at
genas meas ad alapas, ne-
que faciem meam auerti
à ſordibus ſputorum. Et
dominus dominus auxi-
liator meus factus eſt. Pro
pterea non erubui, ſed
poſui faciem meam ſicut
firmam petram, & cogno
ui me nulla ignominia af-
fectū iri. quia iuxta eſt qui
iuſtificat me. Quis q̄ liti-
gat mecū? reſiſtat mihi ſi-
mul: & q̄s litigans mecū?
propinquet mihi. Ecce dn̄s
auxiliabit̄ mihi, q̄s ergo
malis me afficiet? ecce oēs

uos

ὧ ἐξαπέστειλα αὐτῇ; ἢ τίνι ὑποχρέῳ
τῶν πεπρακότων με, ὧ πέπρακα ὑ-
μᾶς αὐτῷ; ἰδοὺ ταῖς ἁμαρτίαις
ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις
ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑ-
μῶν. διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρω-
πος, ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπα-
κούων. μὴ οὐκ ἰσχύει ἡ χείρ μου τοῦ
ῥύσασθαι, ἢ οὐκ ἰσχύω τοῦ ἐξελέ-
σθαι; ἰδοὺ τῷ ἐλεγμῷ μου ἐξερημώ-
σω τὴν θάλασσαν, καὶ θήσω ποτα-
μοὺς ἐρήμους, καὶ ξηρανθήσονται οἱ
ἰχθύες αὐτῶν ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ,
καὶ ἀποθανοῦνται ἐν δίψει. ἐνδύσω
τὸν οὐρανὸν σκότος, καὶ ὡς σάκκον
θήσω τὸ περιβόλαιον αὐτοῦ. κύριος
κύριος δίδωσί μοι γλῶσσαν παι-
δείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν
λόγον. ἔθηκέ με πρωὶ πρωὶ, προσέθη-
κέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παιδεία
κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ
ἀπειθῶ, οὐδὲ ἀντιλέγω. τὸν νῶ-
τόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ
σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ
πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ
αἰσχύνης ἐμπτυσμάτων. καὶ κύριος
κύριος βοηθός μοι ἐγενήθη. διὰ τοῦτο
οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσω-
πόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων
ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δι-
καιώσας με. τίς ὁ κρινόμενός μοι; ἀν-
τιστήτω μοι ἅμα. καὶ τίς ὁ κρινόμενός
μοι; ἐγγισάτω μοι. ἰδοὺ κύριος βοηθή-
σει μοι, τίς κακώσει με; ἰδοὺ πάντες

ὑμεῖς

ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ. οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ. ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα. πορεύεσθε ἐν τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Ἀκούσατέ μου οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν κύριον, ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ὃν ὠρύξατε. ἐμβλέψατε εἰς ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς σάρραν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτὸν, καὶ εὐλόγησα αὐτὸν, καὶ ἠγάπησα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν. καί σε νῦν παρακαλέσω σιὼν, καὶ παρεκάλεσα πάντα τὰ ἔρημα αὐτῆς, καὶ θήσω τὰ ἔρημα αὐτῆς ὡς παράδεισον, καὶ τὰς πρὸς δυσμὰς αὐτῆς ὡς παράδεισον κυρίου. εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ, ἐξομολόγησιν καὶ φωνὴν αἰνέσεως. ἀκούσατέ μου, ἀκούσατέ μου λαός μου, καὶ οἱ βασιλεῖς πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου

uos quasi uestimentum ueterascetis, & quasi tinea comedet uos. Quis est ex uobis, qui timeat deum? Psal.103. Exaudiat uocem pueri eius. Vos qui ambulatis in tenebris, & quibus non est lux, confidite nomini domini, & innitimini in deo. Ecce omnes uos ignē accenditis, & firmatis flammam. Ambulate in lumine ignis uestri, & in flamma, quā succendistis. Per me facta sunt hæc uobis, in mœrore dormietis.

Cap. LI.

Audite me uos, qui sequimini id quod iustum est, & qui quæritis dominum, inspicite in solidam petram quam excidistis, & in foueam lacus quam fodistis. Inspicite in Abraam patrem uestrum, & in Sarram quæ peperit uos, quia unus erat: & uocaui eum, & benedixi ei, & dilexi eum, & multiplicaui eum. Et nunc consolabor Sion, & consolatus sum omnia deserta eius, & ponam solitudines eius quasi paradisum, & quæ ad occidentem eius quasi paradisum domini. Exultationem & lætitiam inuenient in ea, confessionem & uocem laudis. Audi me, audi me popule mi, & reges mihi auscultate, quia lex à me egredietur, & iudicium meum

meū in lucē gētiū. Appropinquat cito iustitia mea, et egredieť quasi lumen salutare meū. & in brachiū meū gentes sperabūt. Me insulę expectant, et in brachium meum sperabunt. Erigite in cœlum oculos uestros, & inspicite in terram deorsum, quoniā cœlum sicut fumus firmatum est, terra sicut uestimentū uetustate consumetur, habitantes sicut hęc morientur. At salutare meū in sempiternum erit, iustitia mea non deficiet. Audite me qui scitis iudicium, popule cuius lex mea in corde eorum, non timeatis obprobrium hominū, & cōtemptu eorum ne uincamini. Etenim illi fient ut uestimentum quod à tempore consumetur, & sicut lana comedetur à tinea, at iustitia mea in æternum erit, & salutare meum in omnes ętates. Exurge exurge Hierusalem, & induere fortitudinem brachij tui, exurge ut ab initio diei, sicut generatio seculi. Non'ne tu es ea quæ excidisti latitudinem, quæ dirupisti draconem? non ne tu es, quæ uastas mare, aquam abyssi multam, quæ posuisti profunditates maris uiam transitus liberaris, & redemptis? Nam à domino reducentur. et uenient in Sion cum lætitia & exultatione

ne

μου εἰς φῶς ἐθνῶν. ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπιοῦσιν, ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν. Ἄρατε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέψατε εἰς τὴν γῆν κάτω, ὅτι ὁ οὐρανὸς ὡς καπνὸς ἐστερεώθη, ἡ δὲ γῆ ὡς ἱμάτιον παλαιωθήσεται, οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀποθανοῦνται. τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται, ἡ δὲ δικαιοσύνη μου οὐ μὴ ἐκλείπῃ. ἀκούσατέ μου οἱ εἰδότες κρίσιν, λαὸς οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ἔριον βρωθήσεται ὑπὸ σητός, ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν. Ἐξεγείρου ἐξεγείρου Ἱερουσαλὴμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου, ἐξεγείρου ὡς ἐν ἀρχῇ ἡμέρας, ὡς γενεὰ αἰῶνος. οὐ σὺ εἶ ἡ λατομήσασα πλάτος, διαῤῥήξασα δράκοντα; οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσαν, ὕδωρ ἀβύσσου πλῆθος, ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν διαβάσεως ῥυομένοις καὶ λελυτρωμένοις; ὑπὸ γὰρ κυρίου ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης, καὶ ἀγαλλιά-

μ.ξι@

ματος αἰωνίου. ἐπὶ κεφαλῆς γὰρ αὐτῶν αἴνεσις καὶ εὐφροσύνη καταλήψεται αὐτούς. ἀπέδρα ὀδύνη καὶ λύπη, καὶ στεναγμός. ἐγώ εἰμι, ἐγώ εἰμι αὐτὸς ὁ παρακαλῶν σε, γνῶθι, τίς οὖσα ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ, καὶ ἀπὸ υἱοῦ ἀνθρώπου, ὃς ὡσεὶ χόρτος ἐξηράνθη. καὶ ἐπελάθου θεὸν τὸν ποιήσαντά σε, τὸν ποιήσαντα τὸν οὐρανὸν, καὶ θεμελιώσαντα τὴν γῆν. καὶ φοβοῦ ἀεὶ πάσας τὰς ἡμέρας, τὸ πρόσωπον τοῦ θυμοῦ τοῦ θλίβοντός σε. ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί σε, καὶ νῦν ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε; ἐν γὰρ τῷ σώζεσθαί σε, οὐ στήσεται, οὐδὲ χρονιεῖ· καὶ θανατώσει εἰς διαφθορὰν, καὶ οὐ μὴ ὑστερήσῃ ἄρτος αὐτοῦ. ὅτι ἐγὼ ὁ θεός σου, ὁ ταράσσων τὴν θάλασσαν, καὶ ἠχῶν τὰ κύματα αὐτῆς, κύριος σαβαώθ. θήσω τοὺς λόγους μου εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε, ἐν ᾗ ἔστησα τὸν οὐρανὸν, καὶ ἐθεμελίωσα τὴν γῆν, καὶ ἐρεῖ σιών, λαός μου εἶ σύ, ἐξεγείρου, ἐξεγείρου, ἀνάστηθι ἱερουσαλὴμ, ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ. τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας, καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου, ὧν ἔτεκες, καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς χειρός σου, οὐδὲ ἀπὸ πάντων τῶν υἱῶν

σου

ne æterna. In capite enim eorum laus & lætitia apprehēdet eos, fugit dolor & mœror, & gemitus. Ego sum, ego sum ipse cōsolans te, scito quę fueris, ut timeas hominem mortalem, & filium hominis, qui quasi fœnum exaruit, & oblita es dei qui fecit te, qui fecit cœlū, & fundauit terram. Et time cunctis diebus faciem furoris afflictantis te. Quemadmodum cogitauit auferre te, & nūc ubi furor crucitantis te? cum enim saluatus fueris tu, non stabit, neq; permanebit, neq; cūctabitur, & ruet in interitum, & non deficiet panis eius. Quia ego deus tuus conturbans mare, & sonare faciens fluctus eius, dominus Sabaoth. Ponā uerba mea in os tuum, & sub umbra manus meæ protegam te, qua statui cœlum, & fundaui terram. Et dicet Sion: Populus meus es tu, exurge exurge, erigere Hierusalem, quę bibisti de manu domini calicem furoris eius. Calicem enim ruinæ, calicem furoris ebibisti & euacuasti, & non erat qui consolaretur te ex omnibus filijs tuis quos genuisti, & non erat qui apprehēderet manū tuā, neq; ex oīb⁹ filijs

tuis quos extulisti. Ideo
ista sunt cõtraria tibi. quis
contristabitur, ruina et cõ
tritio, fames & gladius:
quis consolabitur te? filij
tui indigentes, dormien-
tes in compitis omniũ ui-
arum, sicut beta semico-
cta, pleni furore domini,
dissoluti per iram domini
dei. Propter hoc audi hu-
miliata & ebria non ui-
no. Sic dicit dominus de-
us, Deus iudicans popu-
lum suũ: Ecce tuli de ma-
nu tua calicem ruinæ, ca-
licem furoris mei, & non
perges bibere illum ultra,
& dabo eum in manus e-
orum qui inique oppresse-
runt te, & humiliauerunt
te, qui dixerunt animæ
tuæ, inclinare ut transea-
mus, & æquasti cum terra
media tua foris transeun-
tibus.

Cap. LII Exurge exurge Sion,
induere fortitudine tua
Sion, & tu induere gloria
tua Hierusalem ciuitas san
cta, non ultra perget tran-
sire per te incircumcisus
et immundus. Excute pul
uerem, & surge, sede Hie-
rusalem, solue uinculũ col
li tui captiua filia Sion.
Quia hæc dicit dominus:
Gratis uenundati estis, &
non cum argento redime
mini. Quia sic dicit domi
nus, Dominus deus, in Æ-
gyptũ descendit populus
meus prius, ut aduenæ sint
illic

σου ὧν ὕψωσας. διὸ ταῦτα ἀντικεί-
μενά σοι. τίς λυπηθήσεταί σοι, πτῶ-
μα καὶ σύντριμμα, λιμὸς καὶ μά-
χαιρα; τίς παρακαλέσει σε; οἱ υἱοί
σου οἱ ἀπορούμενοι, οἱ καθεύδοντες
ἐπ' ἄκρου πάσης ἐξόδου, ὡς σευτλίον
ἡμίεφθον, οἱ πλήρεις θυμοῦ κυρίου
ἐκλελυμένοι διὰ θυμοῦ κυρίου τοῦ
θεοῦ. διὰ τοῦτο ἄκουε τεταπεινωμέ-
νη, καὶ μεθύουσα οὐκ ἀπὸ οἴνου. οὕτω
λέγει κύριος ὁ θεὸς, ὁ κρίνων τὸν
λαὸν αὐτοῦ, ἰδοὺ εἴληφα ἐκ τῆς χειρός
σου τὸ ποτήριον τῆς πτώσεως, τὸ κόνι-
δυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσῃ ἔτι
πιεῖν αὐτὸ, καὶ δώσω αὐτὸ εἰς τὰς
χεῖρας τῶν ἀδικησάντων σε, καὶ
τῶν ταπεινωσάντων σε, οἳ εἶπαν τῇ
ψυχῇ σου, κύψον, ἵνα παρέλθωμεν.
καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω
τοῖς παραπορευομένοις.

Ἐξεγείρου ἐξεγείρου σιὼν, ἔνδυ-
σαι τὴν ἰσχύν σου σιὼν, καί συ ἔνδυ-
σαι τὴν δόξαν σου ἱερουσαλὴμ, πό-
λις ἡ ἁγία, οὐκέτι προστεθήσεται διε-
λθεῖν διά σου ἀπερίτμητος καὶ
ἀκάθαρτος. ἐκτίναξαι τὸν χοῦν
καὶ ἀνάστηθι, κάθισον ἱερουσαλὴμ.
ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου
σου ἡ αἰχμάλωτος θυγάτηρ σιών.
ὅτι τάδε λέγει κύριος, δωρεὰν ἐ-
πράθητε, καὶ οὐ μετὰ ἀργυρίου λυ-
τρωθήσεσθε. Ὅτι οὕτως λέγει κύριος,
κύριος ὁ θεὸς εἰς αἴγυπτον κατέβη
ὁ λαός μου τὸ πρότερον, παροικῆσαι
ἐκεῖ,

ἐκεῖ, καὶ εἰς ἀσσυρίους βίᾳ ἤχθησαν,
καὶ νῦν τί ἐστε ὧδε; τάδε λέγει κύ-
ριος, ὅτι ἐλήφθη ὁ λαός μου δωρεὰν,
θαυμάζετε καὶ ὀλολύζετε. τάδε λέ-
γει κύριος, δι' ὑμᾶς διὰ παντὸς τὸ
ὄνομά μου βλασφημεῖται ἐν τοῖς
ἔθνεσι, διὰ τοῦτο γνώσεται ὁ λαός
μου τὸ ὄνομά μου. διὰ τοῦτο ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, ὅτι ἐγώ εἰμι αὐτὸς
ὁ λαλῶν, πάρειμι. ὡς ὥρα ἐπὶ τῶν
ὀρέων, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐ-
αγγελιζομένων ἀκοὴν εἰρήνης, ὡς
εὐαγγελιζόμενος ἀγαθά. ὅτι ἀκου-
στὴν ποιήσει τὴν σωτηρίαν σου, λέ-
γων, σιὼν βασιλεύσει σου ὁ θεὸς, ὅτι
φωνὴ τῶν φυλασσόντων σε ὑψώθη, καὶ
τῇ φωνῇ ἅμα εὐφρανθήσονται. ὅτι ὀφ-
θαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται, ἡνί-
κα ἂν ἐλεήσῃ κύριος τὴν σιών. ῥηξά-
τω εὐφροσύνην ἅμα τὰ ἔρημα ἱερου-
σαλὴμ, ὅτι ἠλέησε κύριος αὐτὴν, καὶ
ἐῤῥύσατο ἱερουσαλήμ. καὶ ἀποκαλύ-
ψει κύριος τὸν βραχίονα τὸν ἅγιον
αὐτοῦ ἐνώπιον πάντων τῶν ἐθνῶν,
καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς
τὴν σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ ἡ-
μῶν. ἀπόστητε, ἀπόστητε, ἐξέλθετε ἐ-
κεῖθεν, καὶ ἀκαθάρτου μὴ ἅψεσθε,
ἐξέλθετε ἐκ μέσου αὐτῆς, ἀφορίσθη-
τε οἱ φέροντες τὰ σκεύη κυρίου, ὅτι
οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε, οὐδὲ
φυγῇ πορεύεσθε. προπορεύσεται γὰρ
πρότερος ὑμῶν κύριος, καὶ ἐπι-
συνάγων ὑμᾶς θεὸς ἰσραήλ. Ἰδοὺ
συνή-

illic, & in Assyrios uiolen
ter adducti sunt, & nunc
quid erit hic? Hæc dicit
dominus: Quia captus est
populus meus gratis, ad-
miramini & plorate. Hæc
dicit dominus: Propter
uos semper nomen meum
execratur in gentibus, i-
deo sciet populus meus no
men meum. Propterea in
die illa (qui ego sum ipse Naum 1
qui loquebar) adsum. Quæ Rom. 10
pulchritudo gentiũ, quàm
speciosi pedes annuncian
tium pacem, qui annunci-
at bona. Quoniam audi-
tam faciam salutem tuam,
dicens: Sion regnabit de-
us tuus, uox custodientiũ
te intenta est, & uoce si-
mul lætabuntur. Quia o-
culi ad oculos uidebunt,
quando misertus fuerit do
minus Sion. Erumpant læ Sup. 49
titiam simul deserta Hie- Psal. 97
rusalem, quia misertus est 2. Cor. 6
dominus eius, & eruit Hi
erusalem. Patefaciet domi
nus brachiũ sanctum suũ
in conspectu cunctarũ gen
tium, & uidebunt omnes
fines terræ salutare quod
est à deo nostro. Recedi-
te recedite, egredimini in
de, & immundum ne tan-
gite, exite de medio eius,
separamini qui portatis
uasa domini, quia non
cum tumultu exhibitis, ne-
que cum fuga ibitis. Prae
cedet enim prior uos do-
minus, & congregans
uos deus Israel. Ecce
intel-

intelliget puer meus, & in
altũ extollet, & gloria af-
ficietur, et sublimis erit ual
de. Quemadmodũ stupe-
bunt super te multi, sic ui-
tuperabitur ab hominib.
species tua, & dextra tua
à filijs hominũ. Ita mira-
buntur gentes multæ eũ,
ut continebũt reges os su-
Rom.15 um. Quia quibus non est
annunciatum de eo, uide-
bunt: & ij qui non audie-
runt, intelligent.

Cap.LIII Domine quis credidit
Marci 9 auditui nostro? et brachiũ
Ioan.12 dñi cui patefactũ est? An-
Rom.10 nunciauimus quasi puer
corã eo, sicut radix in ter-
ra sitiente. Nõ est species
ei, neq; gloria. Et uidimus
eum, & non habebat spe-
ciem neq; decorẽ: sed spe-
cies eius inhonorata, et de
spectus supra omnes filios
Matth.8 hominum, homo in plaga
1.Pet.2 existens, & sciens ferre in
firmitatem, quia auersa est
facies eius, despecta est, et
nihil æstimata. Ipse pecca
ta nostra portat, et pro no
bis dolet. Nos putauimus
iniectũ esse eũ in dolorẽ,
& in plagã à deo, & in af
flictionem: at ipse uulnera
tus est propter peccata no
stra, & infirmatus est pro-
pter iniqtates nostras. Di
sciplina pacis nobis su-
per eum: liuore eius nos sa
nati sumus. Omnes quasi
oues errauimus. Homo
uia sua errauit, & dñs tra-
didit eum iniquitatibus
nostris,

συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται, καὶ μετεωρισθήσεται σφόδρα. ὃν τρόπον ἐκστήσονται ἐπί σε πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δεξιά σου ἀπὸ υἱῶν ἀνθρώπων. οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ᾽ αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν. ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.

Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ. οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα. καὶ εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἄνθρωπος ἐν πληγῇ ὢν, καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ ὑπὸ θεοῦ, καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. παιδεία εἰρήνης ἡμῖν ἐπ᾽ αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. πάντες ὡς πρόβατα ἐπλανήθημεν. ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν,

ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ· καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ. καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν ἀπὸ τῆς πληγῆς, ἐὰν δῶτε περὶ ἁμαρτίας ἡ ψυχὴ ὑμῶν, ὄψεται σπέρμα μακρόβιον. καὶ βούλεται κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον, εὖ δουλεύοντα πολλοῖς, καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα. ἀνθ᾽ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.

Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. εἶπε γὰρ κύριος, πλάτυνον τὸν τόπον τῆς σκη-

νῆς

nostris, & ipse propter afflictionem non aperuit os suum. Sicut ouis ad mactationem ducta est, & quasi agnus corā tondente mutus, sic non aperuit os suū. Humilitate iudicium eius sublatū est, generationem eius quis enarrabit? Quia tollitur de terra uita eius, ab iniquitatib. populi mei ductus est ad mortē. Et dabo impios pro sepultura eius, & diuites pro morte eius, quia iniquitatē nō fecit, neq; dolus in ore eius. Et dn̄s uult mundare eum à plaga, si detur pro peccato anima nostra, uidebit semen longæuum. Et uult in manu eius auferre dolorem animæ eius, ostendere ei lucem, & formare intelligentia, innocentem efficere iustum bene seruientem multis, & peccata eorum ipse portabit. Quapropter ipse possidebit multos, et fortium diuidet spolia. Pro eo quod tradita est in mortem anima eius, & inter iniquos reputatus est, & ipse peccata multorum tulit, et propter iniquitates eorum traditus est.

Matth.26 Act.8 1.Pet.2 1.Ioan.3 Matth.15 Lucæ 22

Cap.LIIII

Lætare sterilis, quæ nō paris, erumpe & clama, quæ nō parturis, quia plures filij desertæ, quàm habentis uirum. Dixit enim dn̄s, Dilata locum tento-

rij

Psalm. 3 rij tui, et pelles tabernacu
Gala. 4 lorũ tuorum fige. Ne parcas, ptẽde funiculos tuos, & clauos corrobora, adhuc in dextris & sinistris dilata. Et semẽ tuũ gentes posidebit, et ciuitates uastas inhabitabis. Ne timeas, ideo q̃d pudefacta sis, neq; erubescas, propterea q̃d pbrũ tibi obiciatur: nã ignominiæ æternę obliuisceris, & obprobrii uiduitatis tuæ nõ recordaberis amplius. Quia dñs faciẽs te, dñs sabaoth nomẽ ei: & q eruit te, ipse de⁹ Israel, de⁹ oĩs terrę uocabit. Non tu mulierẽ derelictã paruoq; aĩo prçditã uocauit te dñs, nõ ut mulierẽ q̃ ab adolescẽtia odiosa est. Dixit deus tu⁹, tẽpore modico reliqui te, & cũ misericordia magna miserebor tui. In ira parua auerti faciem meã à te, at misericordia sempiterna miserebor tui. Dixit q eruit te
Gen. 9 dñs. ab aqua quæ tempore Noẽ, hoc mihi erit, sicut iuraui ei in tẽpore illo terræ, nõ iratũ iri tibi ultra, neq; in cõminatione tua mõtes translaturũ eẽ, neq; colles tui trãsferent. Sic neq; quæ à me est misericordia te deficiet, neq; testamentũ pacis meæ auferet. Dixit em: Propitius tibi domine, humilis & instabilis, nõ cõsolatus es. Ecce præparo tibi carbunculum lapidem tuum.
&

νῆς σου, καὶ τὰς δέρρεις τῶν αὐλαιῶν σου πῆξον. μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον, ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἐκπέτασον. καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. μὴ φοβοῦ, ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης, ὅτι αἰσχύνην αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας σου οὐ μὴ μνησθήσῃ ἔτι. ὅτι κύριος ὁ ποιῶν σε, κύριος σαβαὼθ ὄνομα αὐτῷ· καὶ ὁ ῥυσάμενός σε, αὐτὸς θεὸς ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται. οὐχ ὡς γυναῖκα καταλελειμμένην, καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ κύριος, οὐδ᾽ ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην. εἶπεν ὁ θεός, χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετ᾽ ἐλέους μεγάλου ἐλεήσω σε. ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπό σου, καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε. εἶπεν ὁ ῥυσάμενός σε κύριος, ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ νῶε, τοῦτό μοί ἐστι, καθότι ὤμοσα αὐτῷ ἐν τῷ χρόνῳ ἐκείνῳ τῇ γῇ, μὴ θυμωθήσεσθαι ἐπί σοι ἔτι, μηδὲ ἐν ἀπειλῇ σου τὰ ὄρη μεταστήσεσθαι, οὐδ᾽ οἱ βουνοί σου μετακινηθήσονται. οὕτως οὐδὲ τὸ παρ᾽ ἐμοῦ σοι ἔλεος ἐκλείψει, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης μου οὐ μὴ μετασταθήσεται. εἶπε γὰρ, ἵλεώς σοι κύριε ταπεινὴ καὶ ἀκατάστατος, οὐ παρεκλήθης. ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τὸν λίθον σου,
καὶ

καὶ τὰ θεμέλιά σου σάπφειρον, καὶ θήσω τὰς ἐπάλξεις σου ἴασπιν, καὶ τὰς πύλας σου λίθους, κρυστάλλους λίθους; καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς, καὶ πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέκνα σου. καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ ἀπέχουσα ἀπὸ ἀδίκου, καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. ἰδοὺ προσήλυτοι προσελεύσονταί δι' ἐμοῦ, καὶ παροικήσουσί σοι, καὶ ἐπί σε καταφεύξονται. ἰδοὺ ἐγὼ ἔκτισά σε, οὐχ ὡς χαλκεὺς φυσῶν ἐν πυρίᾳ ἄνθρακας, καὶ ἐκφέρων σκεῦος εἰς ἔργον. ἐγὼ δὲ ἔκτισά σε, οὐκ εἰς ἀπώλειαν φθεῖραι. πᾶν σκεῦος σκευαστὸν ἐπί σε οὐκ εὐοδωθήσεται, καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπί σε εἰς κρίσιν, πάντας αὐτοὺς ἡττήσεις, οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐτῇ. ἔστι κληρονομία τοῖς θεραπεύουσι κύριον, καὶ ὑμεῖς ἔσεσθέ μοι δίκαιοι, λέγει κύριος.

Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε, καὶ φάγετε, καὶ πορεύετε, καὶ ἀγοράσατε ἄνευ ἀργυρίου καὶ τιμῆς οἶνον καὶ στέαρ. ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθά, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθήσατε

ταῖς

& fundamēta tua sapphirū, et ponā propugnacula tua iaspidē, & portas tuas lapides crystalli, & muros tuos lapides electos, et
omnes filios tuos doctos à Ioan.6
deo, et multa pax filiis tuis. Et in iustitia ædificaberis recedēs ab iniq., et non timebis, neq; tremor appropinquabit tibi. Ecce ce proselyti accedent tibi per me, & coloni erūt tui, & ad te confugient. Ecce ego creaui te, non ut ærarius sufflās in igne prunas, & proferens uas in opus. Sed creaui te, non ut ad interitum redigerē. Omne instrumentū factum cōtra te, non prosperabitur, & omnis uox surget contra te in iudicio, omēs eos uinces, & obnoxii tibi erunt propter eam. Est hæreditas seruientibus domino, & uos eritis mihi iusti, dicit dominus.

Vos qui sititis ite ad a- Cap.LV
quam, & quotquot non habetis argentum, euntes emite, & comedite & ambulate, & emite absq; argento & precio uinum et adipem. Cur expenditis argentum in iis, quæ panes non sunt, & laborem uestrū nō ad satietatē? Audite me, & comeditis bona, & delectabit in bonis anima uestra. Attēdite auribus uestris, & sequimini

uias

uias meas. Audite me, & uiuet in bonis anima uestra, & faciam uobis testamentum æternum, sancta Dauid fidelia. Ecce testimonium gentibus, dedi eum, principem & præceptorem gentibus. Ecce gentes quæ non sciunt te, inuocabunt te, & populi qui non cognouerunt te, ad te confugient, propter dominum deum tuum, & sanctum Israel, quia gloriosum te fecit. Quærite dominum, & interea dum inuenitis, eũ inuocate. Quãdo autem appropinquauerit uobis, relinquat impius uias suas, et uir iniquus cogitationes suas, & conuertatur ad dominum, & misericordiam consequetur, & ad deum nostrum, quia ut plurimum dimittet peccata uestra. Non enim sunt cogitatiões meæ sicut cogitationes uestrę, neq; sicut uiæ uestræ uiæ meæ, dicit dominus. Sed ut distat cœlũ à terra, sic distat uia mea à uijs uestris, & cogitationes uestrę à cogitatione mea. Etenim quemadmodũ cum descendat pluuia aut nix de cœlo, & non reuertatur, donec inebriet terrã, & generet & germinet, & det semen seminanti, et panem ad comedendũ: sic erit uerbũ meũ, quodcũq; exierit ex ore meo nõ reuerteẽ ad me uacuũ, donec com-

ταῖς ὁδοῖς μου. εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. ἰδοὺ μαρτύριον ἐν ἔθνεσιν δέδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσοντα ἔθνεσι. ἰδοὺ ἔθνη ἃ οὐκ ἤδεισάν σε, ἐπικαλέσονταί σε, καὶ λαοὶ οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν κυρίου τοῦ θεοῦ σου τοῦ ἁγίου ἰσραὴλ, ὅτι ἐδόξασέ σε. ζητήσατε τὸν κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε. ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ἐπὶ κύριον, καὶ ἐλεηθήσεται, καὶ πρὸς τὸν θεὸν ὑμῶν, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. οὐ γάρ ἐστιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου, λέγει κύριος. ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ, ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν. οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενὸν ἕως ἂν

ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐο-
δώσω τὰς ὁδούς σου, καὶ τὰ ἐντάλ-
ματά μου. ἐν γὰρ εὐφροσύνῃ ἐξελεύ-
σεσθε, καὶ ἐν χαρᾷ διδαχθήσε-
σθε. τὰ γὰρ ὄρη, καὶ οἱ βουνοὶ ἐξα-
λοῦνται προσδεχόμενοι ὑμᾶς ἐν
χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀ-
γροῦ ἐπικροτήσει τοῖς κλάδοις, καὶ
ἀντὶ τῆς στοιβῆς ἀναβήσεται κυπά-
ρισσος, ἀντὶ δὲ τῆς κονύζης ἀναβή-
σεται μυρσίνη. καὶ ἔσται κύριος εἰς
ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ
οὐκ ἐκλείψει.

Τάδε λέγει κύριος, φυλάσσεσθε
κρίσιν, καὶ ποιήσατε δικαιοσύνην,
ἤγγικε γὰρ τὸ σωτήριόν μου παρα-
γίνεσθαι, καὶ τὸ ἔλεός μου ἀποκαλυ-
φθῆναι. μακάριος ἀνὴρ ὁ ποιῶν
ταῦτα, καὶ ἄνθρωπος ὁ ἀντεχόμε-
νος αὐτῶν, καὶ φυλάσσων τὰ σάββα-
τα μὴ βεβηλοῦν, καὶ διατηρῶν τὰς
χεῖρας αὐτοῦ μὴ ποιεῖν ἄδικα. Μὴ
λεγέτω ὁ ἀλλογενὴς, ὁ προσκείμε-
νος πρὸς κύριον λέγων, ἀφορισμῷ
ἀφοριεῖ με ἄρα κύριος ἀπὸ τοῦ λαοῦ
αὐτοῦ. καὶ μὴ λεγέτω ὁ εὐνοῦχος, ὅ-
τι ξύλον ἐγώ εἰμι ξηρόν. τάδε λέγει
κύριος τοῖς εὐνούχοις, ὅτι ἐὰν φυλά-
ξωνται τὰ σάββατά μου, καὶ ἐκλέξων-
ται ἃ ἐγὼ θέλω, καὶ ἀντέχωνται τῆς
διαθήκης μου, δώσω αὐτοῖς ἐν τῷ
οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνο-
μαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων,
ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ
οὐκ

compleantur, quæcun-
que uolui, & prosperem
uias tuas, & præcepta
mea. Nam cum lætitia e-
grediemini, & cum gau-
dio deducemini. Nam
montes & colles exilient
expectantes uos cum gau-
dio, & omnia ligna agri
applaudent ramis. & pro
stœba succrescet cyparis-
sus, pro conyza ascendet
myrtus. Et erit dominus
in nomen & in signū sem-
piternum, & non deficiet.

Hæc dicit dominus: Cu- Cap. LVI.
stodite iudicium, & faci- Sap. 3
te iustitiam, appropinqua
uit salutare meum ut ueni-
at, & misericordia mea ut
pateflat. Beatus uir is, qui
facit hæc, & homo qui re
tinet ista, & cui curæ est,
ne sabbatha profanet, &
qui coercet manus suas,
ne faciant iniqua. Non di
cat alienigena is qui appo
situs est ad dominum di-
cens, Separatione separa-
bit me utiq; dn̄s à popu-
lo suo. Neq; dicat eunu-
chus, se esse lignū aridum.
Quia hæc dicit dominus
eunuchis: Quod si custo-
dierint sabbata mea, & e-
legerint ea quæ ego uolo,
& tenuerint testamentum
meum, dabo eis in domo
mea, & in muro meo lo-
cum nominatū, meliorem
filijs & filiabus, nomen
sempiternum dabo eis, &

non deficiet. Et electis alienigenis addictis domino ut seruiant ei, et diligant nomen eius, ut sint ei serui & ancillæ & omnes eos qui custodiunt sabbata mea ne uiolent
Sup.39 ea, & tenentes testamentũ meum, inducam in montẽ sanctum meum, & lætificabo eos in domo orationis meæ, holocausta eorũ & uictimæ eorum erunt acceptæ super altare meũ.
Matt.21 Nam domus mea, domus
Mar.11 orationis uocabitur cũctis
Luc.19 gentibus, dixit dominus, congregans dispersos Israel, quia congregabo ad eum congregationẽ. Omnes bestiæ agrestes uenite, comedite omnes bestię syluæ, uidete quoniam excæcati sunt omnes, nihil cognouerunt, uniuersi canes muti, non poterunt latrare, somniantes, lectum amantes ad dormitandũ, & canes impudentes, animo non sciunt satiari, & sunt mali, carẽt intelligentia, omnes uias suas secuti sunt, unusquisque suam auaritiam ad terminos suos.
Hie.6 Venite sumamus, & ine-
Sup.2 briemur ebrietate, & erit talis dies cras magnus circum te nimium.

Cap.LVII Videte, ut iust⁹ perijt, et nullus uir excipit corde. Et

οὐκ ἐκλείψει. καὶ τοῖς ἐκλεκτοῖς ἀλλογενέσι τοῖς προσκειμένοις κυρίῳ δουλεύειν αὐτῷ, καὶ ἀγαπᾷν τὸ ὄνομα κυρίου, τοῦ εἶναι αὐτῷ εἰς δούλους καὶ δούλας, καὶ πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου, μὴ βεβηλοῦν, καὶ ἀντεχομένους τῆς διαθήκης μου, εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου. τὰ ὁλοκαυτώματα αὐτῶν, καὶ αἱ θυσίαι αὐτῶν ἔσονται δεκταὶ ἐπὶ τὸ θυσιαστήριόν μου. ὁ γὰρ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν, εἶπε κύριος, ὁ συνάγων τοὺς διεσπαρμένους ἰσραὴλ, ὅτι συνάξω ἐπ' αὐτὸν συναγωγήν. πάντα τὰ θηρία τὰ ἄγρια, δεῦτε, φάγετε πάντα τὰ θηρία τοῦ δρυμοῦ. ἴδετε ὅτι ἐκτετύφλωνται πάντες, οὐκ ἔγνωσαν. ἴδετε πάντες, κύνες ἐνεοὶ οὐ δυνήσονται ὑλακτεῖν, ἐνυπνιαζόμενοι, κοίτην φιλοῦντες νυστάξαι, καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ, οὐκ εἰδότες πλησμονήν. καὶ εἰσὶ πονηροὶ οὐκ εἰδότες σύνεσιν, πάντες ταῖς ὁδοῖς αὐτῶν ἐξηκολούθησαν, ἕκαστος κατὰ τὸ ἑαυτοῦ πλεονέκτημα ἐπ' ἄκρα αὐτοῦ. δεῦτε λάβωμεν οἶνον, καὶ οἰνοφλυγήσωμεν μέθην, καὶ ἔσται τοιαύτη ἡμέρα αὔριον μεγάλη περί σε ὡς σφόδρα.

Ἴδετε, ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἀνὴρ ἐκδέχεται τῇ καρδίᾳ.

καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐ-
δεὶς κατανοεῖ. ἀπὸ γὰρ προσώπου ἀ-
δικίας ἦρται ὁ δίκαιος, ἔσται ἐν εἰ-
ρήνῃ ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ τοῦ μέ-
σου. Ὑμεῖς δὲ προσαγάγετε ὧδε υἱοὶ
ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης.
ἐν τίνι ἐνετρυφήσατε; καὶ ἐπὶ τίνα
ἠνοίξατε τὸ στόμα ὑμῶν; καὶ ἐπὶ τί-
να ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν;
οὐχ ὑμεῖς ἐστε τέκνα ἀπωλείας, σπέρ-
μα ἄτιμον; οἱ παρακαλοῦντες ἐπὶ
τὰ εἴδωλα ὑπὸ δένδρα δασέα, σφά-
ζοντες τὰ τέκνα αὐτῶν ἐν ταῖς φά-
ραγξιν, ἀνὰ μέσον τῶν πετρῶν; ἐ-
κείνη σου ἡ μερίς, οὗτός σου ὁ κλῆ-
ρος, κἀκείνοις ἐξέχεας σπονδάς,
καὶ τούτοις ἀνήνεγκας θυσίας, ἐπὶ
τούτοις οὖν οὐκ ὀργισθήσομαι; λέγει
κύριος. ἐπ᾽ ὄρος ὑψηλὸν καὶ με-
τέωρον, ἐκεῖ σου ἡ κοίτη, καὶ ἐκεῖ ἀ-
νεβίβασας θυσίας σου, καὶ ὀπίσω
τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας
μνημόσυνα. ᾤου, ὅτι ἐὰν ἀπ᾽ ἐμοῦ
ἀποστῇς, πλεῖόν τι ἕξεις. ἠγάπη-
σας τοὺς κοιμωμένους μετά σου, καὶ
ἐπλήθυνας τὴν πορνείαν σου μετ᾽
αὐτῶν, καὶ πολλοὺς ἐποίησας τοὺς
μακρὰν ἀπό σου, καὶ ἀπέστειλας πρέσ-
βεις ὑπὲρ τὰ ὅριά σου, καὶ ἐπέστρε-
ψας, καὶ ἐταπεινώθης ἕως ᾅδου.
ταῖς πολυοδίαις σου ἐκοπίασας.
καὶ οὐκ εἶπας, παύσομαι ἐνισχύουσα.
ὅτι ἔπραξας ταῦτα, διὰ τοῦτο οὐ κα-
τεδεήθης μου σύ, τίνα εὐλαβηθεῖσα
ἐφοβήθης

Et uiri iusti tolluntur, & nemo animaduertit, etiam à facie iniquitatis ablatus est iustus, erit in pace sepultura eius, sublatus est è medio. Vos autem accedite huc filij iniqui, semen adulterorũ & meretricis. in quo insultastis? & in quẽ aperuistis os uestrũ? & quem insectati estis lingua uestra? non'ne uos estis filii ad interitum destinati, semen uile? Implorantes itis ad idola subter arbores frondosas, iugulantes filios uestros in uallibus per medium petrarũ? hęc tua pars, hæc tua sors, & illis effudisti libamina, & his obtulisti hostias, super his non irascar? dicit dominus. In monte excelso & alto est tuum cubile, & illuc ascendisti factum tua sacrificia, & post postes ostij tui posuisti memoriam. Putabas, si recesseris à me, plus te habiturum. Dilexisti dormiẽtes tecum, & crebro fornicata es cum eis, & multos fecisti eos qui procul à te. & misisti legatos ultra terminos tuos, & cõuertisti. & humilis facta es, usque ad inferos. Multis itineribus laborasti, nec dixisti, desinam esse. Quia fecisti hoc, idcirco non me rogasti tu, quem ueherans

timui-

timuisti. Et mentita es mi
hi, neq; recordata es mei,
neque cepisti me mente
tua, neq; corde tuo: igitur
et ego te uidens despicio.
Et me non timuisti, ergo
et ego annunciabo iusti-
tiam tuam, & mala tua nõ
proderunt tibi. Cum cla-
maueris, eruant te in affli-
ctione tua. Istos enim om-
nes uentus tollet, & aufe-
ret tempestas, at sperantes
in me possidebunt terrã,
& ad has hæreditas per-
ueniet sancti mei montis.
Et dicent: Mundate à fa-
cie eius uias, & auferte of
fensiões è uia populi mei.
Hæc dicit dominus excel
sus, qui in excelsis habitat
in æternum, Sanctus in san
ctis, nomen illi, dominus
excelsus in sanctis requie-
scens, & ijs qui sunt ani-
mo paruo dans patientiã,
& dans uitam contritis
corde. Non in æternũ ul
ciscar uos, neq; semper i-
rascar uobis: spiritus enim
à me egredietur, & flatũ
omnem ego feci. Propter
peccatum paulum tristi-
tia affeci eum, & percussi
eum, et auerti faciem me-
am ab eo, & dolore affe-
ctus est, et abijt tristis in
uijs suis. Vias eius uidi,
& sanaui eum, & conso-
latus sum eum, & dedi ei
consolationẽ ueram, pacẽ
super pacẽ his qui lõge, et
his

ἐφοβήθης, καὶ ἐψεύσω με, καὶ οὐδὲ
ἐμνήσθης μου, οὐδὲ ἔλαβές με εἰς
τὴν διάνοιαν, οὐδὲ εἰς τὴν καρδίαν
σου, καὶ ἐγώ σε ἰδὼν παρορῶ. καὶ ἐμὲ
οὐκ ἐφοβήθης, καὶ ἐγὼ ἀπαγγελῶ
τὴν δικαιοσύνην σου, καὶ τὰ κακά
σου, ἃ οὐκ ὠφελήσουσί σε. ὅταν ἀναβοήσῃς,
ἐξελέσθωσάν σε ἐν τῇ θλί-
ψει σου. τούτους γὰρ πάντας ἄνεμος
λήψεται, καὶ ἀποίσει καταιγίς. οἱ
δὲ ἀντεχόμενοί μου κτήσονται γῆν,
καὶ κληρονομήσουσι τὸ ὄρος τὸ ἅγιόν
μου. καὶ ἐροῦσι, καθαρίσατε ἀπὸ προ-
σώπου αὐτοῦ ὁδούς, καὶ ἄρατε σκῶ-
λα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου. τάδε
λέγει ὁ ὕψιστος, ἐν ὑψηλοῖς κατοι-
κῶν τὸν αἰῶνα, ἅγιος ἐν ἁγίοις, ὄ-
νομα αὐτῷ, κύριος ὕψιστος ἐν ἁ-
γίοις ἀναπαυόμενος, καὶ ὀλιγο-
ψύχοις διδοὺς μακροθυμίαν, καὶ δι-
δοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν
καρδίαν. οὐκ εἰς τὸν αἰῶνα ἐκδική-
σω ὑμᾶς, οὐδὲ διὰ παντὸς ὀργισθή-
σομαι ὑμῖν. πνεῦμα γὰρ παρ' ἐμοῦ
ἐξελεύσεται, καὶ πνοὴν πᾶσαν ἐγὼ
ἐποίησα. δι' ἁμαρτίαν βραχύ τι ἐλύ-
πησα αὐτόν, καὶ ἐπάταξα αὐτόν, καὶ
ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐ-
τοῦ, καὶ ἐλυπήθη, καὶ ἐπορεύθη στυγ-
νὸς ἐν ταῖς ὁδοῖς αὐτοῦ. τὰς ὁδοὺς
αὐτοῦ ἑώρακα, καὶ ἰασάμην αὐτόν,
καὶ παρεκάλεσα αὐτόν, καὶ ἔδω-
κα αὐτῷ παράκλησιν ἀληθινήν, εἰ-
ρήνην ἐπ' εἰρήνῃ τοῖς μακρὰν καὶ
τοῖς

τοῖς ἐγγὺς οὖσι. καὶ εἶπε κύριος, ἰάσομαι αὐτούς, οἱ δὲ ἄδικοι οὕτως κλυδωνισθήσονται, καὶ ἀναπαύσασθαι οὐ δυνήσονται. οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν ὁ θεός.

Ἀναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ, ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν. ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν θεῷ ἐπιθυμοῦσι, λέγοντες, ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως; ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε, εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν. ἵνα τί μοι νηστεύετε ὡς σήμερον, ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ, οὐδ᾽ ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃς, οὐδὲ οὕτω καλέσετε νηστείαν δεκτήν. οὐχὶ τοιαύτην νηστείαν ἐξελεξάμην, λέγει κύριος, ἀλλὰ λύε πάντα

his qui prope sunt. Et dixit dominus, Sanabo eos, at iniqui sic fluctuabũt, et quiescere non poterũt.
Sup. 48 Nullum est gaudium impijs, dixit deus.

Cap. LVIII Clama pro uiribus, ne parcas, tubæ instar intende uocem tuam, & annuncia populo meo peccata eorum, & domui Iacob iniquitates eorum. Me die de die quærunt, & scire meas uias desiderant, quasi populus iustitiam facieas, et iudicium dei sui nõ derelinquẽs. Petunt à me nunc iudicium iustum, & appropinquare deo cupiunt, dicentes: Quare ieiunauimus, & non uidisti? demisimus animas nostras, & non cognouisti? Nam in diebus ieiuniorũ uestrorum inuenitis uoluntates uestras, & omnes subiectos uestros affligitis, in iudicia & pugnas ieiunatis, & percutitis pugnis humilem. Quare mihi ieiunatis sicut hodie, ut audiatur in clamore uox uestra? Non hoc ieiunium elegi, ut die aliquo homo demittat animam suam. Ac tametsi incuruaueris quasi circulum collum tuum, & cilicium et cinerem substraueris, non tamen id uocabitis ieiunium acceptum. Non tale ego elegi ieiunium, dicit dominus, sed solue omnẽ

nexum iniquitatis, dissolue nodos uiolentarũ cautionum, dimitte confractos in remissione, & omnem syngrapham iniquã conscinde. Frange esurienti panem tuum, & pauperes sine tecto induc in domum tuam, si uideris nudum, tege, & domesticos seminis tui ne despice. Tunc erumpet matutinum lumen tuum, & sanitates tuę cito orientur. Et præibit tibi iustitia tua, & gloria dei circundabit te. Tunc clamabis, & dominus exaudiet te, adhuc loquente te, dicet: Ecce adsum. Si abstuleris à te colligationem & suffragiũ, & uerbum murmurationis, & dederis esurienti panem ex anima tua, & animam oppressam saturaueris, tunc orietur in tenebris lumen tuum, & tenebræ tuæ sicut meridies, & erit deus tuus tecũ semper. Et impleberis ijs quę desiderat anima tua, & ossa tua pinguescent, & erũt sicut hortus ebrius, & sicut fons quem nõ deseruit aqua. Et ossa tua ut herba orientur, & pinguescent, & hæredes erunt per omnes ætates & ædificabuntur tibi deserta secula, & erunt fundamenta tua sempiterna in omnes ætates, & uocaberis ædificator maceriarum, & semitas quæ sunt in medio quiescere

σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιάς· βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε. τότε βοήσῃ, καὶ ὁ θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία, καὶ ἔσται ὁ θεός σου μετὰ σοῦ διαπαντός. καὶ ἐμπλησθήσῃ καθάπερ ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τὰ ὀστᾶ σου πιανθήσεται, καὶ ἔσται ὡς κῆπος μεθύων, καὶ ὡς πηγὴ ἣν μὴ ἐξέλιπεν ὕδωρ. καὶ τὰ ὀστᾶ σου ὡς βοτάνη ἀνατελεῖ, καὶ πιανθήσεται καὶ κληρονομήσουσι γενεὰς γενεῶν, καὶ οἰκοδομηθήσονταί σου αἱ ἔρημοι αἰώνιοι, καὶ ἔσται τὰ θεμέλιά σου αἰώνια γενεαῖς γενεῶν, καὶ κληθήσῃ οἰκοδόμος φραγμῶν, καὶ τοὺς τρίβους σου τοὺς ἀνὰ μέσον παύσεις.

φραύσεις. ἐὰν ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν σαββάτων τοῦ μὴ ποιεῖν τὰ θελήματά σου, ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ, καὶ καλέσεις τὰ σάββατα τρυφερὰ, ἅγια τῷ θεῷ σου, οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ' ἔργῳ, οὐδὲ λαλήσεις λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου, καὶ ἔσῃ πεποιθὼς ἐπὶ κύριον, καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς, καὶ ψωμιεῖ σε τὴν κληρονομίαν ἰακὼβ τοῦ πατρός σου. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα

Μὴ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἀνὰ μέσον τοῦ θεοῦ, καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον ἀφ' ὑμῶν τοῦ μὴ ἐλεῆσαι. αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις, τὰ δὲ χείλη ὑμῶν ἐλάλησεν ἀνομίαν, καὶ ἡ γλῶσσα ὑμῶν ἀδικίαν μελετᾷ. οὐδεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀληθινή. πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενὰ, ὅτι κύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν. ᾠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσιν. καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν, ἀποθανεῖται, ὁ δὲ συντρίψας ᾠὸν, εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον. ὁ ἱστὸς αὐτῶν οὐκ ἔσται ὡς ἱμάτιον, οὐδὲ μὴ περιβάλλωνται ἀπὸ τῶν ἔργων αὐτῶν. τὰ γὰρ ἔργα αὐτῶν, ἔργα ἀνομίας. οἱ δὲ πόδες

αὐτῶν

quiescere facies. Si auerteris pedem tuũ à sabbatis, ne facias uoluntates tuas die sancta, & uocaueris sabbata delicata, sancta deo tuo, neque sustuleris pedem tuũ ad opus, neque loquaris uerbũ in ira de ore tuo, & confisus fueris domino, eriget te ad bona terræ, & nutriet te hæreditate Iacob patris tui. Nã os dñi locutum est hæc.

Cap. LIX

Potest'ne manus domini saluos facere? onerata- (Num. 11)
ne est auris eius quo mi- (Supra 5.)
nus audiat? Sed peccata uestra disidium faciũt inter uos & deum, & propter peccata uestra auertit faciem suã à uobis, ne
misereatur. Nã manus ue- (Supra 1)
stræ pollutæ sanguine, et digiti uestri peccatis, labiaque uestra loquuta sunt iniquitatem, & lingua uestra iniustitiam exercuit. Nullus loquitur iusta, neque est iudiciũ uerũ. Confidunt uanis, et loquuntur uana, quia parturiunt cædem, & generant iniquitatem. Oua aspidũ fregerũt, & telã araneæ texũt.
Et qui uoluerit de ouis e- (Iob 5.)
orũ comedere, morietur, sed qui fregit ouum, inueniet in eo regulum. Ex telis eorum non conficientur uestimenta, neque amicientur operibus suis.
Nam opera eorum, ope- (Pro. 1)
ra iniquitatis. At pedes (Rom. 3)

eorum

eorum ad malitiã currũt, ueloces ad effundendum sanguinẽ. Et cogitationes eorum cogitationes stultorum. Contritio et miseria in uiis eorum, et uiam pacis non cognouerunt, et non est iudicium in uiis eorum. Nam semitę eorum peruersæ, quas transeunt, et nesciunt pacẽ. Propterea recessit iudiciũ ab eis, et non apprehendit eos iustitia. Expectantibus illis lucem, obrigerunt eis tenebræ: præstolantes lucẽ, in tenebris ambulauerũt. Palpabunt sicut cæci ad parietem, & tanquã ij qui carent oculis attrectabũt, cadent meridie quasi nocte media, quasi moriẽtes gement. quasi ursus et quasi columba pariter ambulabunt. Expectauimus iudicium, et non erit salus, lõge recessit à nobis. Multã enim nostrą iniquitas in conspectu tuo, et peccata nostra restiterũt nobis. Nam iniquitates nostræ in nobis, et iniustitias nostras cognouimus, impiè egimus, et mentiti sumus, et recessimꝰ à deo nostro. locuti sumus iniqua, et inobedientes fuimus. Concepimus, & meditati sumus in pectore nostro uerba iniqua, et recessimus à iudicio, et iustitia procul secessit. Quia consumpta est in uiis eorum ueritas, & per rectam uiam

non

αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι, ταχινοὶ ἐκχέαι αἷμα. καὶ οἱ διαλογισμοὶ αὐτῶν, διαλογισμοὶ ἀπὸ φόνων. σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν, καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασι, καὶ οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν. αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι, ἃς διοδεύουσι, καὶ οὐκ οἴδασιν εἰρήνην. διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ᾽ αὐτῶν, καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη. ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος, μείναντες αὐγὴν ἐν ἀωρίᾳ περιεπάτησαν. ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον, καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι, καὶ πεσοῦνται ἐν μεσημβρίᾳ ὡς ἐν μεσονυκτίῳ, ὡς ἀποθνήσκοντες στενάξουσιν, ὡς ἄρκτος καὶ ὡς περιστερὰ ἅμα πορεύσονται. Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία, μακρὰν ἀφέστηκεν ἀφ᾽ ἡμῶν. πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου, καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν. αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν, καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν, ἠσεβήσαμεν καὶ ἐψευσάμεθα, καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ θεοῦ ἡμῶν. ἐλαλήσαμεν ἄδικα, καὶ ἠπειθήσαμεν. ἐκύομεν, καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους, καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν. ὅτι κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια, καὶ δι᾽ εὐθείας

οὐκ

ἠδυνάσαντο διελθεῖν, καὶ ἡ ἀλήθεια ἦρται. καὶ μετέστησαν τὴν διάνοιαν αὐτοῦ τοῦ μὴ συνιέναι. καὶ εἶδε κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις. καὶ εἶδε, καὶ οὐκ ἦν ἀνήρ, καὶ κατενόησε, καὶ οὐκ ἦν ὁ ἀντιληψόμενος, καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ, καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο. καὶ ἐνεδύσατο δικαιοσύνην ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς, καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως, καὶ τὸ περιβόλαιον αὐτοῦ ὡς ἀνταποδώσων ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπεναντίοις. καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου, καὶ οἱ ἀπ᾽ ἀνατολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον. ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ κυρίου, ἥξει μετὰ θυμοῦ, καὶ ἥξει ἕνεκα σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ ἰακώβ. καὶ αὕτη αὐτοῖς ἡ παρ᾽ ἐμοῦ διαθήκη, εἶπε κύριος, τὸ πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλείπῃ ἐκ τοῦ στόματός σου, καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου. εἶπε γὰρ κύριος ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

Φωτίζου φωτίζου ἱερουσαλήμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπ᾽ ἔθνη. ἐπὶ δὲ σοὶ φανήσεται κύριος, καὶ ἡ

δόξα

non potuerunt transire, et ueritas sublata est, et transtulerunt mentem suam ne intelligerent. Quę cum uidisset dominus, non placuit ei, cum aspexisset, non fuit uir, cum cōsiderasset, nullus fuit defensor. Quare ultus est eos brachio suo, et misericordia sustentauit. Et indutus est iusti- Ephe.6
tia quasi lorica, et circun- 1.Thes.5
dedit galea salutis caput, et amictus est uestimento uindictæ, pallioq; tanquā ulturus obprobriū aduersariorum. Et timebunt ii qui ab occidente nomen domini, et qui ab ortu solis nomen inclytum. Ve- Rom.11
niet enim quasi fluuius uiolentus ira à domino, ueniet cum furore, et ueniet propter Sion liberator, et auertet impietates à Iacob. Et hoc eis à me testamentū dixit dominus, Spiritus meus qui est in te, et uerba mea quę dedi in os tuum, ea non deficient os tuum, neq; os seminis tui, dixit enim dominus deinceps et in æternum.

Illuminare illuminare Cap.LX
Hierusalem, uenit enim tuum lumen, et gloria domini super te orta est. Ecce tenebræ tegant terram, et caligo gētes. Super te antē apparebit dominus, et

gloria eius in te uidebi-
tur. Et ambulabunt gen-
Marci 8 tes in lumine tuo, & reges
in splendore tuo. Verte
Supra 49 oculos circumcirca, & ui
de congregatos omnes fi-
lios tuos, uenerunt omnes
filij tui è loco remoto, &
filiæ tuæ in humeris por-
tabuntur, tunc uidebis &
timebis, & stupebis cor-
de. Quoniam transferent
ad te diuitiæ maris, & gē
tium & populorū. Et ue-
nient tibi greges camelo-
rū, & operient te cameli
Madian & Gephar. Om
nes de Saba uenient feren
tes aurum, & thus, & lapi
dem preciosum, annuncia
tum domini salutē. Et om
nes oues Cedar congrega
būtur tibi, & arietes Na-
baoth uenient tibi, et offe
rentur accepta super alta-
re meum. & domus orati-
nis meæ gloriosa efficiet.
Qui sunt isti qui ut nubes
uolant, & quasi columbæ
cum pullis? Me insulæ ex
pectauerūt, et naues Thar
sis in primis, ut adducant
filios tuos è terra longin-
qua, & argentū & aurum
eorū cum eis, propter no-
men dñi sanctū et propter
sanctū Israel ut illustretur.
Et ædificabunt alienige-
nę muros tuos, & reges e-
orum assistent tibi. Nam
propter iram meā percus-
si te, & propter miseri-
cordiam dilexi te. Et ape
rientur p̄ortę tuæ semper,
die

δόξα αὐτοῦ ἐπί σε ὀφθήσεται. καὶ πο-
ρεύσονται βασιλεῖς ἐν τῷ φωτί σου,
καὶ ἔθνη τῇ λαμπρότητί σου. ἆρον κύ-
κλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συ-
νηγμένα τὰ τέκνα σου, ἥκασι πάν-
τες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγα-
τέρες σου ἐπ᾽ ὤμων ἀρθήσονται, τότε
ὄψῃ καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ
καρδίᾳ. ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦ-
τος θαλάσσης, καὶ ἐθνῶν καὶ λαῶν.
καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ
καλύψουσί σοι κάμηλοι μαδιὰμ καὶ
γαιφάρ. πάντες ἐκ σαβὰ ἥξουσι φέ-
ροντες χρυσίον, καὶ λίβανον οἴσουσι,
καὶ λίθον τίμιον, καὶ τὸ σωτήριον κυ-
ρίου εὐαγγελιοῦνται, καὶ πάντα τὰ
πρόβατα κηδὰρ συναχθήσονταί σοι,
καὶ κριοὶ ναβαιὼθ ἥξουσί σοι, καὶ ἀ-
νενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσια-
στήριόν μου, καὶ ὁ οἶκος τῆς προσ-
ευχῆς μου δοξασθήσεται. τίνες οἵδε
εἰσίν, ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ
περιστεραὶ σὺν νεοσσοῖς; ἐμὲ αἱ νῆ-
σοι ὑπέμειναν, καὶ πλοῖα θαρσεῖς
ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου
μακρόθεν, καὶ τὸν ἄργυρον καὶ τὸν χρυ-
σὸν αὐτῶν μετ᾽ αὐτῶν, καὶ διὰ τὸ
ὄνομα κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν
ἅγιον τοῦ ἰσραὴλ ἔνδοξον εἶναι. καὶ
οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη
σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσον-
ταί σοι. διὰ γὰρ ὀργήν μου ἐπάταξά
σε, καὶ διὰ ἔλεον ἠγάπησά σε. καὶ ἀνοιχ-
θήσονται αἱ πύλαι σου διὰ παντὸς
ἡμέρας

ἡμέρας καὶ νυκτὸς οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ βασιλεῖς αὐτῶν ἀγομένους. τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς, οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσονται, καὶ ἡ δόξα τοῦ λιβάνου πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου. καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινωσάντων σε, καὶ παροξυνάντων σε. καὶ κληθήσῃ πόλις σιὼν ἁγίων ἰσραήλ, διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν. καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον εὐφροσύνης γενεαῖς γενεῶν. καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον βασιλέων φάγεσαι, καὶ γνώσῃ ὅτι ἐγὼ κύριος ὁ σώζων σε, καὶ ἐξαιρούμενός σε θεὸς ἰσραήλ. καὶ ἀντὶ χαλκοῦ οἴσω σοι χρυσίον, ἀντὶ δὲ σιδήρου οἴσω σοι ἀργύριον, ἀντὶ δὲ ξύλων οἴσω σοι χαλκόν, ἀντὶ δὲ λίθων σίδηρον. καὶ δώσω τοὺς ἄρχοντάς σου ἐν εἰρήνῃ, καὶ τοὺς ἐπισκόπους σου ἐν δικαιοσύνῃ, καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ σου, οὐδὲ σύντριμμα, οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου, ἀλλὰ κληθήσεται σωτήριον τὰ χείλη σου, καὶ αἱ πύλαι σου γλυκύ. καὶ οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σου τὴν νύκτα. ἀλλ' ἔσται σοι κύριος

die et nocte nō claudētur, ut introducāt ad te potentiā gētiū, et reges eorū qui ducuntur. Gentes enim et reges, qui non seruient tibi, peribunt, & gentibus uastitas inferetur, & gloria Libani ad te ueniet, in cyparisso, et pino unà cū cedro, ad decorādū locum sanctum meum. Et ibunt ad te timentes filij eorum qui humiles tefecerunt, et concitauerunt. Et uocaberis ciuitas domini Sion sanctorū Israel, pro eo quod fuisti tu derelicta et odio habita, et nemo fuit, qui opē tulerit. Et collocabo te in exultationē sempiternam, et in lætitiā in omnem posteritatem. Suges lac gentium, et diuitias regū comedes, ideoq́; scies me dominū esse, conseruatorem tuum, et liberatorem, deumq́; Iacobi. Et pro ære afferā tibi aurum, pro ferro feram tibi argentū, pro lignis feram tibi æs, pro lapidibus ferrum. Et dabo principibus tuis pacem, et episcopis tuis iustitiā. Nō audietur ultra iniqtas in terra tua, neq; contritio neq; miseria in finibus tuis, sed salutis nomine appellant muri tui, et portæ tuæ dulcedinis. Nec præbebit tibi porrò sol lucem interdiu, neq; lunæ ortus collustrabit te noctu. Sed erit tibi dominus

Sup. 38

Apoc. 21

Dominus lux æterna, &
deus gloria tua. Non e-
nim occidet sol tibi, &
luna te nõ deficiet: Erit e-
nim tibi dñs lux sempiter
Apoc.21 na. Et cõplebuntur dies lu
ctus tui, et populus tuus o-
mnis iustus, et in perpetuũ
terræ hæreditatem possi-
debunt, custodiens planta
tionem opera manuum su
arum in gloriam. Paucissi
mus crescet in millia, &
minimus in gentẽ magnã.
Ego dominus suo tempo
re congregabo eos.

Cap.LXI Spiritus domini super
Lucæ 4 me, eo quod unxit me, ut
leta nunciem pauperibus,
misit me, ut sanem contri-
tos corde, ut prædicem ca
ptiuis remissionem, & cæ
cis uisum, ut proclamem
annum domini acceptum,
& diem retributionis, ut
consoler omnes lugentes,
ut detur lugentibus Sion,
gloria pro cinere, unctio
lætitiæ lugẽtibus, amictus
gloriæ pro spiritu mœro-
ris, & uocabuntur gene-
rationes iustitię, plantatio
domini in gloriam. Et æ-
dificabunt solitudines sem
piternas, uastata prius ex-
citabunt, & inuocabũt ci
uitates desertas, uasta-
tas in ætates. Et uenient
alienigenæ pascentes o-
ues tuas, & aliarum gen-
tium aratores & uini-
tores. Vos autem sacerdo
tes dñi uocabimini, mini-
stri

κύριος φῶς αἰώνιον, καὶ ὁ θεὸς δόξα
σου. οὐ γὰρ δύσεται ὁ ἥλιός σοι, καὶ ἡ
σελήνη σου οὐκ ἐκλείψει. ἔσται γάρ
σοι κύριος φῶς αἰώνιον. καὶ ἀνα-
πληρωθήσονται αἱ ἡμέραι τοῦ πέν-
θους σου, καὶ ὁ λαός σου πᾶς δίκαι-
ος, καὶ δι' αἰῶνος κληρονομήσουσι
τὴν γῆν, φυλάσσων τὸ φύτευμα ἔρ-
γα χειρῶν αὐτοῦ εἰς δόξαν. ὁ ὀλιγο-
στὸς ἔσται εἰς χιλιάδας, καὶ ὁ ἐλάχι-
στος εἰς ἔθνος μέγα. ἐγὼ κύριος κα-
τὰ καιρὸν συνάξω αὐτούς.

Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνε-
κεν ἔχρισέ με, εὐαγγελίσασθαι πτω-
χοῖς. ἀπέσταλκέ με ἰάσασθαι τοὺς
συντετριμμένους τὴν καρδίαν, κηρῦ-
ξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυ-
φλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυ-
τὸν κυρίου δεκτόν, καὶ ἡμέραν ἀν-
ταποδόσεως, παρακαλέσαι πάν-
τας τοὺς πενθοῦντας, δοθῆναι τοῖς
πενθοῦσι σιὼν αὐτοῖς δόξαν ἀντὶ
σποδοῦ, ἄλειμμα εὐφροσύνης τοῖς
πενθοῦσι, καταστολὴν δόξης ἀντὶ
πνεύματος ἀκηδίας. καὶ κληθήσον-
ται γενεαὶ δικαιοσύνης, φύτευμα
κυρίου εἰς δόξαν. καὶ οἰκοδομήσουσιν
ἐρήμους αἰωνίας, ἐξηρημωμένας
πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι
πόλεις ἐρήμους, ἐξηρημωμένας εἰς
γενεάς. καὶ ἥξουσιν ἀλλογενεῖς ποι-
μαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυ-
λοι ἀροτῆρες, καὶ ἀμπελουργοί. ὑμεῖς
δὲ ἱερεῖς κυρίου κληθήσεσθε, λειτουρ-
γοὶ

γοὶ θεοῦ ὑμῶν. ῥηθήσεται ὑμῖν, ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. ἐγὼ γάρ εἰμι κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας, καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις, καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔκγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν. πᾶς ὁ ὁρῶν ἑαυτοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ θεοῦ, καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ κύριον. Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ. ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης, ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ. καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ κύριος κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν.

Διὰ σιὼν οὐ σιωπήσομαι, καὶ διὰ ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου, ὡς λαμπὰς καυθήσεται, καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου. καὶ καλέσουσι τὸ ὄνομά σου τὸ καινόν,

stri dei nostri. Dicetur uobis, fortitudinem gentiū comedetis, & in diuitijs eorum eritis admirabiles. Hac ratione denuo possidebunt terram, & lætitia sempiterna super caput eorum. Ego enim sum dominus diligens iustitiam, & odio habens rapinam ex iniquitate, & dabo laborem illorum iustis, et testamentum æternum faciam eis. Et cognoscetur in gētibus semen eorum, & nepotes eorum in medio populorum. Quos qui uiderit cognoscet illos, quia isti sunt semen fortunatum à deo, & gaudio lætabuntur in domino. Exultet anima mea in domino: induit enim me uestimento salutis, & tunica lætitiæ, tanquam sponsum circumdedit me mitra, & quasi sponsam ornauit me ornatu. Et ut terra fert florem suum, & ut hortus semina sua, sic proferet dominus iustitiam & laudem coram omnibus gentibus.

Propter Sion non tacebo, et propter Hierusalem non uacabo, donec egrediatur sicut lumen iustitia mea, et salus mea ut lāpas accendatur. Et uidebunt gentes iustitiam tuam, et reges gloriam tuam. Et uocabit te nomen tuum nouum Cap. LXII

nouum, quod dominus appellabit. Et eris corona decoris in manu domini, & diadema regni in manu dei tui. Nec ultra uocaberis, derelicta. Neque terra tua nominabitur, deserta. Ad te enim dicetur, uoluntas mea & ad terrā tuā, celebris. Quia & placuisti domino, & terra tua habitabitur. Et ut habitat iuuenis cum uirgine, sic habitabunt filii tui tecum, & fiet, ut quemadmodum lætabitur sponsus propter sponsam, sic lætabitur dominus propter te. Et super muros tuos Hierusalem cōstitui custodes tota die, & tota nocte, qui nunquam tacebunt in memoriam dominum reuocando. Non enim est uobis similis, si correxerit Hierusalem, feceritq́ gaudium super terrā. Iurauit dominus per dexteram suam, & per fortitudinē brachii sui, non ultra me dabo triticum tuum, & cibos tuos inimicis tuis, non posthac bibituros filios alienos uinum tuum, quod labore acquisiuisti, sed qui collegerūt, uescentur eo, laudabuntq́ dominum, & qui collegerunt, bibent id in atrijs sanctis meis. Ite per portas meas, et uiam facite populo meo, & lapides de uia proijcite, extollite signū in

καινὸν, ὃ ὁ κύριος ὀνομάσει αὐτό. καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ θεοῦ σου. καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ἔρημος. σοὶ γὰρ κληθήσεται θέλημα ἐμὸν, καὶ ἡ γῆ σου οἰκουμένη, ὅτι εὐδοκήσει κύριος ἐν σοὶ, καὶ ἡ γῆ σου συνοικισθήσεται. καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου μετὰ σοῦ. καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί. καὶ ἐπὶ τῶν τειχέων σου ἱερουσαλὴμ κατέστησα φύλακας ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσονται μιμνησκόμενοι κυρίου. οὐκ ἔστι γὰρ ὑμῖν ὅμοιος, ἐὰν διορθώσῃ ἱερουσαλὴμ, καὶ ποιήσῃ γαυρίαμα ἐπὶ τῆς γῆς. ὤμοσε κύριος κατὰ τῆς δεξιᾶς αὐτοῦ, καὶ κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ, καὶ εἰ ἔτι δώσω τὸν σῖτόν σου, καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου, καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου, ἐφ᾽ ᾧ ἐμόχθησας, ἀλλ᾽ ἢ οἱ συναγαγόντες φάγονται αὐτὰ, καὶ αἰνέσουσι τὸν κύριον, καὶ οἱ συναγαγόντες πίονται αὐτὰ ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου. πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους τοὺς ἐκ τῆς ὁδοῦ διαῤῥίψατε, ἐξάρατε σύσσημον

εἰς τὰ ἔθνη. ἰδοὺ γὰρ κύριος ἐποίησεν
ἀκουστὸν, ἕως ἐσχάτου τῆς γῆς. εἴπατε
τῇ θυγατρὶ σιών· ἰδοὺ ὁ σωτήρ σοι
παραγίνεται, ἔχων τὸν ἑαυτοῦ μι-
σθὸν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώ-
που αὐτοῦ, καὶ καλέσει αὐτὸν λαὸν ἅ-
γιον, λελυτρωμένον ὑπὸ κυρίου, σὺ δὲ
κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐκ
ἐγκαταλελειμμένη.

Τίς οὗτος ὁ παραγινόμενος ἐξ
ἐδώμ; ἐρύθημα ἱματίων ἐκ βο-
σόρ; οὗτος ὡραῖος ἐν στολῇ ἐν βίᾳ
πορευόμενος μετὰ ἰσχύος; ἐγὼ διαλέ-
γομαι δικαιοσύνην καὶ κρίσιν σω-
τηρίου. διὰ τί σου ἐρυθρὰ τὰ ἱμά-
τια, καὶ τὰ ἐνδύματά σου ὡς πα-
τοῦντος ἐν ληνῷ; μόνος καταπε-
πάτηκα, καὶ ἐκ τῶν ἐθνῶν οὐκ ἦν
ἀνὴρ μετ' ἐμοῦ; καὶ κατεπάτησα
αὐτοὺς ἐν θυμῷ μου, καὶ κατέθλα-
σα αὐτοὺς ὡς γῆν, καὶ κατήγαγον
αὐτοὺς τὸ αἷμα αὐτῶν εἰς γῆν. ἡμέ-
ρα γὰρ ἀνταποδόσεως ἐπῆλθεν αὐ-
τοῖς, καὶ ἐνιαυτὸς λυτρώσεως πάρ-
εστι. καὶ ἐπέβλεψα, καὶ οὐκ ἦν βοη-
θὸς, καὶ προσενόησα, καὶ οὐθεὶς
ἀντελαμβάνετο, καὶ ἐρρύσατο αὐ-
τοὺς ὁ βραχίων μου, καὶ ὁ θυμός μου
ἐπέστη, καὶ κατεπάτησα αὐτοὺς τῇ
ὀργῇ μου, καὶ κατήγαγον τὸ αἷμα
αὐτῶν εἰς γῆν. τὸν ἔλεον κυρίου
ἐμνήσθην, τὰς ἀρετὰς κυρίου ἐν πᾶ-
σιν οἷς ἡμῖν ἀνταποδίδωσι. κύρι-
ος κριτὴς ἀγαθὸς τῷ οἴκῳ ἰσραήλ,
ἐπάγε

in gẽtibus. Ecce enim do
minus fecit ut audiatur uſ-
que ad extremũ terræ. Di
cite filiæ Sion: Ecce tibi Sup.47
ſaluator aduenit, habens Zach.9
ſuam mercedem ſecum, & Matth.21
opus ſuum ante faciem ſu
am, & uocabit eum popu
lum ſanctũ redemptum à
domino, & tu uocaberis
requiſita ciuitas, & non
derelicta.

Quis hic eſt qui uenit Cap.LXIII
de Edom? rubor ueſtiũ de
Boſor? hic formoſus in ſto
la ſua qui uiolenter ince-
dit cum fortitudine? Ego
ſum qui loquor iuſtitiã &
iudiciũ ſalutis. Quare tua
rubra ſunt ueſtimenta, &
indumẽta tua perinde, ac
calcantis in torculari? So-
lus calcaui, & ex gẽtibus
nemo fuit mecum. Et con
culcaui eos in furore meo,
& confregi eos quaſi ter-
ram, & deduxi ſanguinẽ
eorum in terrã, & omnia
ueſtimenta mea inquinaui.
Dies enim retributio-
nis uenit eis, & annus re-
demptionis adeſt. Et in-
ſpexi, at non erat auxilia-
tor: conſideraui, at nullus
qui præberet auxiliũ. Et
liberauit eos brachiũ me-
um, & furor meus adue-
nit, & conculcaui eos ira
mea, & deduxi ſanguinẽ
eorũ in terrã. Miſericor-
diæ dñi recordatus ſum, uir
tutũ dñi in omnib. ijs, quæ
nobis reddit. Dominus iu
dex bonus domui Iſrael,
induet

inducit nobis secundũ misericordiã suam, et secundum multitudinẽ iustitiæ suæ. Et ait, non'ne populus meus hic est, liberi qui nequaquam aspernabuntur? Et ipse factus est eis saluti, ex omni tribulatione eorũ. Non legatus, neque angelus, sed ipse dñs saluauit eos, eo quod diligeret eos, et parceret eis. Ipse redemit eos et suscepit eos, et extulit eos omnibus diebus seculi. At illi nõ crediderunt, et exacerbauerunt spiritũ sanctũ eius. Igitur conuersus est eis dominus in inimicitiã, et ipse expugnauit eos, et recordatus est dierũ antiquorũ. Vbi est is, qui eduxit de terra pastorẽ ouium. Vbi est qui posuit in eis spiritũ sanctum, qui eduxit dextera Moysen: Brachiũ gloriæ suæ, hoc adduxit populum suũ, repulit aquam à facie eius, ut pararet sibi nomen sempiternũ. Adduxit eos per abyssum, sicut equũ per solitudinẽ, et nõ laborauerũt, et sicut iumẽta per campum, descendit spiritus à dño, & duxit
Deut.26 eos. Idcirco adduxisti po-
Bar. 2 pulũ tuũ, ut faceres tibi nomẽ gloriæ. Cõuertere è cœlo, et uide è domo sancta tua, et gloria tua. Vbi est æmulatio tua, & fortitudo tua: ubi ẽ magnitudo misericordiæ tuæ: ubi miserationes tuæ, quibus sustinuisti nos?

Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ, καὶ ἴδετε, καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε ἄνδρα, εἰ ἔστι ποιῶν κρίμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει κύριος. ζῇ κύριος, λέγουσι, ὅμως δὲ ἐν ψεύδεσιν ὀμνύουσι. Κύριε οἱ ὀφθαλμοί σου εἰς πίστιν, ἐμαστίγωσας αὐτούς, καὶ οὐκ ἐπόνεσαν. συνετέλεσας

αὐτούς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν. ἐστερέωσαν τὰ πρόσωπα αὐτῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι. καὶ ἐγὼ εἶπα, ἴσως πτωχοί εἰσι, διότι οὐκ ἠδυνήθησαν, ὅτι οὐκ ἔγνωσαν ὁδὸν κυρίου, καὶ κρίσιν θεοῦ. πορεύσομαι πρὸς τοὺς ἁδρούς, καὶ λαλήσω αὐτοῖς, ὅτι αὐτοὶ ἐπέγνωσαν ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ. καὶ ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν ζυγόν, διέρρηξαν δεσμούς. διὰ τοῦτο ἔπαισεν αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ, καὶ λύκος ἕως τῶν οἰκιῶν ὠλόθρευσεν αὐτούς, καὶ πάρδαλις ἐγρηγόρησεν ἐπὶ τὰς πόλεις αὐτῶν. πάντες οἱ ἐκπορευόμενοι ἀπ' αὐτῶν θηρευθήσονται, ὅτι ἐπλήθυναν ἀσεβείας αὐτῶν, ἴσχυσαν ἐν ταῖς ἀποστροφαῖς αὐτῶν. ποία τούτων ἵλεως ἔσομαί σοι. οἱ υἱοί σου ἐγκατέλιπόν με, καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς. καὶ ἐχόρτασα αὐτούς, καὶ ἐμοιχῶντο, καὶ ἐν οἴκοις πορνῶν κατέλυον. ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος; ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἀνάβητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς, καὶ κατασκάψατε, συντέλειαν δὲ μὴ ποιήσατε. ὑπολίπεσθε τὰ ὑποστηρίγματα αὐτῆς, ὅτι τοῦ κυρίου εἰσίν, ὅτι ἀθετῶν ἠθέτησαν

eos, at noluerunt suscipere disciplinam, firmauerunt facies suas suas super petram, & nō uoluerunt cōuerti. Et ego dixi, Forsitan pauperes sunt, quod non ualuerunt. Quia non cognouerunt uiam domini, & iudiciū dei. Ibo ad optimates & loquar eis, quia ipsi cognouerunt uitam domini, & iudicium dei. Ecce autem una mente confregerunt iugum, diruperunt uincula. Idcirco percussit eos leo de sylua, & lupus usq; ad domos uastauit eos, & pardus uigilauit super ciuitates eorū, omnes egredientes ex eis capientur, qui multiplicauerunt impietates eorum. Corroborati sunt in cōuersionibus suis, qua in re propitius ero tibi. Filij tui dereliquerunt me, & iurabant per eos, qui nō sunt dij. Et saturaui eos, & adulteria cōmiserunt, & in domibus meretricum uersati sunt.
Equi amatores facti sunt, Ezech. 22 Infra eodem
unusquisq; ad uxorē proximi sui hinniebat. An hæc non inuiserem, ait dominus? aut gentē eiusmodi non ulcisceretur anima mea? Conscendite propugnacula eius, & euertite, consummationem autem ne feceritis. Reliquas facite bases illorum, quia domini sunt, quia præuaricans præuaricata est

in me dicit dominus. Do-
mus Israel & domus Iu-
da, mentitæ sunt domino
suo, & dixerunt, Nō sunt
hæc. Non uenient super
nos mala, & gladium &
famem non uidebimus.
Prophetæ nostri fuerunt
in uentum, et sermo domi
ni non fuit in eis, sic erit il
lis. Propterea hæc dicit
domin[us] omnipotēs: Quia
loquuti estis uerbū istud,
ecce ego reddidi uerba
mea in os tuum ignem, et
populum istum ligna, &
deuorabit eos. Ecce ad-
duco ad uos gentem de
longinquo, domus Israel,
dicit dominus, gentem cu
ius non audies uocem, om
nes fortes, & comedent
messem uestram, & panes
uestros, & comedent fili-
os uestros, et filias uestras,
& comedent uitulos ue-
stros & oues uestras, &
comedent uineas uestras,
& oliueta uestra, & capi
ent ciuitates munitas ue-
stras, quibus uos fideba-
tis cum gladio. Et fiet die
bus illis, inquit dominus
deus tuus, ut non faciā uos
in consummationē, fietq́
tum cum dixeritis, quam
ob causam fecit dominus
nus deus noster nobis om
nia hæc: Et dices eis,
Quoniam ut reliquistis
me in terra uestra, sic serui
ctis

εἰς ἐμὲ, λέγει κύριος, ὁ οἶκος ἰσρα-
ὴλ, καὶ ὁ οἶκος ἰούδα ἐψεύσατο τῷ
κυρίῳ αὐτῶν, καὶ εἶπαν, οὐκ ἔστι ταῦ
τα. οὐχ ἥξει ἐφ' ὑμᾶς κακὰ, καὶ μά-
χαιραν καὶ λιμὸν οὐκ ὀψόμεθα. οἱ
προφῆται ὑμῶν ἦσαν εἰς ἄνεμον,
καὶ λόγος κυρίου οὐχ ὑπῆρχεν αὐ-
τοῖς, οὕτως ἔσται αὐτοῖς. διὰ τοῦτο
τάδε λέγει κύριος παντοκράτωρ,
ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο,
ἰδοὺ ἐγὼ δέδωκα τοὺς λόγους μου εἰς
τὸ στόμα σοῦ πῦρ, καὶ τὸν λαὸν τοῦ-
τον ξύλα, καὶ καταφάγεται αὐτούς.
καὶ ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος
πόῤῥωθεν οἶκος ἰσραὴλ, λέγει κύ-
ριος, ἔθνος οὗ οὐκ ἀκούσει φωνῆς τῆς
γλώσσης αὐτοῦ, πάντες ἰσχυροὶ, καὶ
κατέδονται τὸν θερισμὸν ὑμῶν, καὶ
τοὺς ἄρτους ὑμῶν, καὶ κατέδονται
τοὺς υἱοὺς ὑμῶν, καὶ τὰς θυγατέρας
ὑμῶν, καὶ κατέδονται πρόβατα ὑ-
μῶν καὶ τοὺς μόσχους ὑμῶν, καὶ κα-
τέδονται τοὺς ἀμπελῶνας ὑμῶν, καὶ
τοὺς συκῶνας ὑμῶν, καὶ τοὺς ἐλαιῶ-
νας ὑμῶν. καὶ ἀλοηθήσονται πόλεις
τὰς ὀχυρὰς ὑμῶν, ἐφ' αἷς ὑμεῖς πε-
ποίθατε ἐπ' αὐταῖς, ἐν ῥομφαίᾳ. καὶ
ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, λέ-
γει κύριος ὁ θεός σου, οὐ μὴ ποιήσω
ὑμᾶς εἰς συντέλειαν. καὶ ἔσται ὅταν
εἴπητε, τίνος ἕνεκεν ἐποίησε κύριος
ὁ θεὸς ἡμῶν ἡμῖν πάντα ταῦτα; καὶ
ἐρεῖς αὐτοῖς, ἀνθ' ὧν ἐγκατελίπε-
τέ με ἐν τῇ γῇ ὑμῶν, οὕτως δουλεύ-
σετε

ριτε ἀλλοτρίοις ἐν γῇ οὐχ ὑμῶν. ἀναγγείλατε ταῦτα εἰς τὸν οἶκον ἰακὼβ, καὶ ἀκουσθήτω ἐν τῷ οἴκῳ ἰούδα. ἀκούσατε δὴ ταῦτα λαὸς μωρὸς καὶ ἀκάρδιος, ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν. ὦτα αὐτοῖς, καὶ οὐκ ἀκούουσι. μὴ ἐμὲ οὐ φοβηθήσεσθε, λέγει κύριος; ἢ ἀπὸ προσώπου μου οὐκ εὐλαβηθήσεσθε, τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ πρόσταγμα αἰώνιον, καὶ οὐχ ὑπερβήσεται αὐτὸ, καὶ ταραχθήσεται, καὶ οὐ δυνηθήσεται. καὶ ἠχήσουσι τὰ κύματα αὐτῆς, καὶ οὐχ ὑπερβήσεται αὐτό. τῷ δὲ λαῷ τούτῳ ἐγενήθη καρδία ἀνήκοος καὶ ἀπειθὴς, καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν, καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν, φοβηθῶμεν δὴ κύριον τὸν θεὸν ἡμῶν, τὸν διδόντα ἡμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, κατὰ καιρὸν πληρώσεως προστάγματος θερισμοῦ, καὶ ἐφύλαξεν ἡμῖν. Αἱ ἀνομίαι ὑμῶν ἐξέκλιναν ταῦτα, καὶ αἱ ἁμαρτίαι ὑμῶν ἀπέστησαν τὰ ἀγαθὰ ἀφ᾽ ὑμῶν. ὅτι εὑρέθησαν ἐν τῷ λαῷ μου ἀσεβεῖς. καὶ παγίδας ἔστησαν τοῦ διαφθεῖραι ἄνδρας, καὶ συνελαμβάνοσαν ὡς παγὶς ἐφεσταμένη πλήρης πετεινῶν, οὕτως οἱ οἶκοι αὐτῶν πλήρεις δόλου. διὰ τοῦτο ἐμεγαλύνθησαν, καὶ ἐπλούτησαν καὶ παρέβησαν κρίσιν, οὐκ ἔκριναν κρίσιν ὀρφανοῦ, καὶ κρίσιν χήρας οὐκ ἐκρίνοσαν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος;

etis alienis in terra non uestra. Annunciate domui Iacob, & audiatur in Iuda. Audite iam hęc popule stulte & excors, oculi eis sunt, at non uident. aures eis, at nō audiunt. Nō me timebitis, dicit dominus: Non faciem meam formidabitis? qui disposuit arenam terminum mari præcepto sempiterno, & non transgredietur illud. Quamuis perturbatum fuerit, tamen non poterit, quamuis sonatint fluctus, tamen non defluet. At populo huic factum est cor non audiens & cōtumax, declinauerunt se, & discesserunt. Nec unquam hæc cogitatio in animo eorū uersata est. Timeamus iā dominum deum nostrum, qui dat nobis pluuiā matutinam & uespertinā, ad tempus plenum constitutem messi, idq; præstuit nobis. Iniquitates uestræ declinauerunt hęc, & peccata uestra repulerunt bona à uobis. Quia inuenti sunt in populo meo impii. & laqueum collocarunt, ut corrumpāt uiros, & ceperunt quasi decipula extensa plena uolatilium, sic domus eorum plenæ dolo. Ideo & diuites & magni facti sunt, et abusi sunt iudicio, non iudicauerunt iudicium pupilli. Neq; in diciū uiduæ dixerūt. An in his nō inuiserē, inquit

dominus. An gentem hu-
iusmodi non ulciscetur a-
nima mea? Stupor & hor
ribilia facta sunt in terra.
Prophetæ uaticinantur
iniuste, & sacerdotes plau
serunt manibus suis, & ita
populo meo placuit. Ec-
quid postea facietis?

Cap.VI Fortes estote filij Benia
min, de medio Ierusalē,
& in Thecue date signū
tuba, & supra Bethacha-
rem leuate signum. Quia
mala imminent ab Aqui-
lone, & contritio magna
erit, & tolletur altitudo
tua, filia Sion. Ad eam ue-
nient pastores & greges
eorū, & fient ad eam ten-
toria in circuitu, & pascēt
singuli manu sua. Præpa-
rate super eam bellū, con-
surgite, & ascendamus ad
eam in meridie. Væ uobis
quia declinauit dies, quia
deficiunt umbræ uesperi,
surgite, & ascendamus de
nocte, & dissipemus fun-
damenta eius. Quia hæc
dicit dominus uirtutum,
Excidite fundamenta e-
ius, effunde super Hierusa
lem exercitum. O ciuitas
mendax, nil nisi uiolentia
in ea. Quemadmodū pu-
teus frigidam facit aquā
suam, ita frigidam facit
malitiam suam. Impietas
& miseria audietur in ea
contra faciem eius sem-
per. Dolore & flagel-
lo erudieris Hierusalem,
ne

κύριος; ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκ-
δικήσει ἡ ψυχή μου; ἔκστασις καὶ φρικτὰ
τὰ ἐγενήθη ἐπὶ τῆς γῆς. οἱ προφῆται
προφητεύουσιν ἄδικα, καὶ οἱ ἱερεῖς
ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν· καὶ ὁ
λαός μου ἠγάπησεν οὕτως. καὶ τί ποιή-
σετε εἰς τὰ μετὰ ταῦτα;

Ἐνισχύσατε υἱοὶ βενιαμεὶμ ἐκ μέ-
σου τῆς ἱερουσαλήμ. καὶ ἐν θεκουὲ ση-
μάνατε σάλπιγγι· καὶ ὑπὲρ βηθα-
χαρεὶμ ἄρατε σημεῖον, ὅτι κακὰ ἐκ-
κέκυφεν ἀπὸ βοῤῥᾶ, καὶ συντριβὴ
μεγάλη γίνεται, καὶ ἀφαιρεθήσεται
τὸ ὕψος σου θύγατερ σιών. εἰς αὐ-
τὴν ἥξουσι ποιμένες, καὶ τὰ ποίμ-
νια αὐτῶν, καὶ πήξουσιν ἐπ᾽ αὐ-
τὴν σκηνὰς κύκλῳ, καὶ ποιμανοῦ-
σιν ἕκαστος τῇ χειρὶ αὐτοῦ. παρα-
τάξασθε ἐπ᾽ αὐτὴν εἰς πόλεμον,
ἀνάστητε· καὶ ἀναβῶμεν ἐπ᾽ αὐτὴν
μεσημβρίας. οὐαὶ ἡμῖν, ὅτι κέκλι-
κεν ἡ ἡμέρα, ὅτι ἐκλείπουσιν αἱ
σκιαὶ τῆς ἑσπέρας. ἀνάστητε· καὶ ἀ-
ναβῶμεν ἐπ᾽ αὐτὴν νυκτί, καὶ διαφ-
θείρωμεν τὰ θεμέλια αὐτῆς. ὅτι τά-
δε λέγει κύριος τῶν δυνάμεων,
ἐκκόψατε τὰ ξύλα αὐτῆς, ἔκχεον ἐπὶ
ἱερουσαλὴμ δύναμιν. ὦ πόλις ψευ-
δής, ὅλη καταδυναστεία ἐν αὐτῇ. ὡς
ψύχει λάκκος ὕδωρ αὐτοῦ· οὕτω ψύχει
κακίας αὐτῆς. ἀσέβεια καὶ ταλαι-
πωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ πρό-
σωπον αὐτῆς διὰ παντός. πόνῳ καὶ
μάστιγι παιδευθήσῃ ἱερουσαλήμ,
μὴ

μὴ ἀποστῇ ἡ ψυχή μου ἀπό σου, μὴ ποιήσωσι ἄβατον γῆν, ἥτις οὐ κατοικηθήσεται. ὅτι τάδε λέγει κύριος τῶν δυνάμεων, καλαμᾶσθε, καλαμᾶσθε, ὡς ἄμπελον τὰ κατάλοιπα τοῦ ἰσραήλ, ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ. πρὸς τίνα λαλήσω, καὶ διαμαρτύρωμαι, καὶ εἰσακούσεται; ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν. ἰδοὺ τὸ ῥῆμα κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν, οὐ μὴ βουλῶσιν αὐτὸ ἀκοῦσαι. καὶ τὸν θυμόν μου ἔπλησα, καὶ ἐπέσχον καὶ συνετέλεσα αὐτούς. ἐκχεῶ ἐπὶ νήπια ἔξωθεν, καὶ ἐπὶ συναγωγὴν νεανίσκων ἅμα, ὅτι ἀνὴρ καὶ γυνὴ συλληφθήσονται, πρεσβύτερος μετὰ πλήρους ἡμερῶν, καὶ μεταστραφήσονται αἱ οἰκίαι αὐτῶν εἰς ἑτέρους, ἀγροὶ καὶ αἱ γυναῖκες αὐτῶν ἐπὶ τὸ αὐτό. ὅτι ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην, λέγει κύριος. ὅτι ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου πάντες συνετέλεσαν τὰ ἄνομα, ἀπὸ ἱερέως καὶ ἕως ψευδοπροφήτου πάντες ἐποίησαν ψευδῆ, καὶ ἰῶντο τὸ σύντριμμα τοῦ λαοῦ μου, ἐξουθενοῦντες καὶ λέγοντες, εἰρήνη. καὶ ποῦ ἐστιν εἰρήνη; κατῃσχύνθησαν, ὅτι ἐξελείποσαν. καὶ οὐδ' ὡς καταισχυνόμενοι κατῃσχύνθησαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν. διὰ τοῦτο πεσοῦνται ἐν τῇ

πτώσει

ne recedat anima mea à te, ne faciant te auiam terram, quæ nõ habitabitur. Quia hæc dicit dominus uirtutum, Colligite, colligite quasi racemos ex uinea reliquias Israel, reuertimini tanquam uindemiator ad canistrum suũ. Ad quem loquar, & contestabor, ut sit auditurus? Ecce nonsunt circumcisæ aures eorum, neq; possunt audire. Ecce uerbum domini factum est eis obprobriũ, non uolent illud audire. Et furorem meum impleui, & sustinui, & consumpsi eos. Effundam super paruulos foris, & unà super cœtum iuuenum, quia uir & mulier capientur, tam senex, quàm is qui est decrepita ętate, et trãsferentur domus eorum ad alios, agri cum mulieribus eorum. Quia extendam manum meam super incolas terrę huius, dicit dominus. Quia à paruo eorum, usq; ad magnum omnes perfecerũt iniqua, à sacerdote & usq; ad falsum uatem quisq; fecerunt mendacia, & curabant contritionem populi mei, paruipendẽtes & dicẽtes, Pax. & ubi est pax? Pudefacti sunt, quia defecerunt. Neque, dedecore notati, erubuerunt, neque ignominiam suam cognouętũt. Quapropter cadẽt in

ruina

Esaiæ

ruina sua, & in tẽpore uisitationis peribunt, dixit Dñs. Hęc dicit Dominus,

Matth. 11

State in uiis & uidete, & interrogate de semitis domini sempiternis, atq; uidete, cuiusmodi sit uia bona, & ambulate in ea. Tũ inuenietis expiationem animabus uestris. At dixerunt: Non ibimus. Cõstitui super uos speculatores, audite sonitum tubæ. Et dixerunt, Non audiemus. Propterea audierunt gentes, & pascentes greges suos. Audi terra, ecce ego induco super popu-

Esaiæ 1

lum hunc mala, fructum alienationis eorum, quia uerbo meo non attenderunt, & legem meam reiecerunt. Cur mihi thus de Saba affertis, & cinamomum de terra longinqua? Holocausta uestra nõ sunt accepta, & uictimæ uestrę non placuerunt mihi. Quamobrem hæc dicit dominus, Ecce ego do in populum istum infirmitatem, & infirmabuntur in ea patres unà cum filiis, uicinus & proximus eius peribunt. Hæc dicit dñs, Ecce popul⁹ uenit ab Aquilone, et gẽtes cõsurgẽt ab extremo terræ, arcũ et lanceam tenebunt. sæuus est, nullius miserebiť. Vox eius instar maris tumultuantis, equis & curribus aciem instruet, quasi ignis ad prælium aduersum te,

filia

πτώσει αὐτῶν, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται, εἶπε κύριος. τάδε λέγει κύριος, στῆτε ἐπὶ ταῖς ὁδοῖς, καὶ ἴδετε, καὶ ἐρωτήσατε περὶ τρίβους κυρίου αἰωνίους. καὶ ἴδετε, ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθή, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν. καὶ εἶπαν, οὐ πορευσόμεθα. καθέστακα ἐφ' ὑμᾶς σκοπούς. ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος. καὶ εἶπαν, οὐκ ἀκουσόμεθα. διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη, καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια αὐτῶν. ἄκουε γῆ, ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά, τὸν καρπὸν ἀποστροφῆς αὐτῶν, ὅτι τῷ λόγῳ μου οὐ προσέσχον, καὶ τὸν νόμον μου ἀπώσαντο. ἵνα τί μοι λίβανον ἐκ σαβὰ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; καὶ ὁλοκαυτώματα ὑμῶν οὐκ εἰσὶ δεκτά, καὶ αἱ θυσίαι ὑμῶν οὐχ ἥδυνάν με. διὰ τοῦτο τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτῷ πατέρες, καὶ οἱ υἱοὶ ἅμα, γείτων καὶ ὁ πλησίον αὐτοῦ, ἀπολοῦνται. τάδε λέγει κύριος, ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔθνη ἐξεγερθήσεται ἀπ' ἐσχάτου τῆς γῆς, τόξον καὶ ζιβύνην κρατήσουσιν. ἰταμός ἐστι, καὶ οὐκ ἐλεήσει. φωνὴ αὐτοῦ, ὡς θάλασσα κυμαίνουσα, ἐφ' ἵπποις καὶ ἅρμασι παρατάξεται, ὡς πῦρ εἰς πόλεμον πρός σε

θύγατερ

θύγατερ σιών. ἠκούσαμεν τὴν ἀκοὴν αὐτῶν, παρελύθησαν αἱ χεῖρες ὑμῶν, θλίψις κατέσχεν ὑμᾶς, ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν, καὶ ἐν ταῖς ὁδοῖς μὴ βαδίζετε, ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλόθεν. θύγατερ λαοῦ μου περίζωσαι σάκκον, κατάπασαι σποδὸν. πένθος ἀγαπητοῦ ποίησαι σεαυτῇ, καὶ κοπετὸν οἰκτρὸν, ὅτι ἐξαίφνης ἥξει ταλαιπωρία ἐφ᾽ ὑμᾶς. δοκιμαστὴν δέδωκά σε ἐν λαοῖς δεδοκιμασμένοις, καὶ γνώσῃ ἐν τῷ δοκιμάσαι με τὴν ὁδὸν αὐτῶν, πάντες ἀνήκοοι πορευόμενοι σκολιῶς. χαλκὸς καὶ σίδηρος πάντες διεφθαρμένοι εἰσίν. ἐξέλιπε φυσητὴρ ἀπὸ πυρὸς, ἐξέλιπε μόλιβδος. εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ, πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν. ἀργύριον ἀποδεδοκιμασμένον καλέσατε αὐτοὺς, ὅτι ἀπεδοκίμασεν αὐτοὺς κύριος.

Ἀκούσατε λόγον κυρίου πᾶσα ἰουδαία, τάδε λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσραὴλ, ἐὰν διορθώσητε τὰς ὁδοὺς ὑμῶν, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ. μὴ πεποίθατε ἐφ᾽ ἑαυτοῖς ἐπὶ λόγοις ψευδέσιν, ὅτι τὸ παράπαν οὐκ ὠφελήσουσιν ὑμᾶς λέγοντες, ναὸς κυρίου, ναὸς κυρίου ἐστίν. ὅτι ἐὰν διορθοῦντες διορθώσητε τὰς ὁδοὺς ὑμῶν,

filia Sion. Audiuimus famam eorũ, diſſolutæ ſunt manus noſtræ, afflictiones ceperunt nos, dolores quaſi parturientis. Ne exieritis ad agrum, & in uijs ne ambuletis, quia gladius inimicorum habitat in circuitu. Filia populi mei accingere cilicio, & conſpergere cinere. Luctum dilecti fac tibi, plangoremq; miſerabilem, quia repente ueniet miſeria ſuper uos. Probatorem conſtitui te in populis probatis, & ſcies cum probauero ego uiam eorum, omnes eſſe inobedientes, ambulantes praue. Æs & ferrum, omnia corrupta ſunt. Defecit follis ab igne, defecit plumbum, fruſtra argentarius argentum conflat, malitiæ eorum non ſunt liquefactæ. Argẽtum reprobratum uocate eos, quia reprobauit eos dominus.

Cap. VII.

Audite uerbum domini omnis Iudæa, hæc dicit dominus uirtutum, deus Iſrael, Si correxeritis uias ueſtras, ſtudiaq; ueſtra, et collocabo uos in iſto loco. Neq; uos cõfidite uerbis mandacibus, quandoquidem nullo modo proderit uobis, ſi dixeritis, templum domini, templũ domini eſt. Nam ſi emendando emendaueritis uias

ueſtras

uestras & studia uestra,
& facientes feceritis iudi-
cium inter uirum & inter
proximum suũ, & aduenã
& pupillum, & uiduã nõ
oppresseritis, & sanguinẽ
innocentem non effuderi
tis in loco isto, & post de-
os alienos non ambulaue
ritis in malum uobis, col-
locabo uos in loco uestro
in terra, quẽ locũ dedi pa
tribus uestris in omnem
æternitatem. At uos confi-
ditis uerbis mendacibus,
ex quibus nullũ fructum
percipitis, & occiditis, &
adulteratis, et furamini, et
iuratis inique, & adoletis
Baal, secutiq; estis deos ali
enos, quos nõ nostis, quo
sitis calamitosi. Nihilomi
nus uenistis, & stetistis co
ram me in domo, ubi inuo
catum est nomen meum,
& dixistis, Abstinuimus
ne faceremus oĩa detestan
Esaiæ 56 da. Est ne spelũca latronũ
Matth. 21. domus mea: in qua inuoca
Infra 32 tum est nomen meum co-
ram uobis. Et ecce ego ui
di, dicit dominus. Sed ite
in locum meum qui in Se-
lo, ubi collocaui nomen
meum principio, & uide-
te, quæ fecerim maliciæ
populi mei Israel. Iam ue-
rò pro eo quod fecistis o-
mnia opera hęc, & locut⁹
suã ad uos, & nõ audistis
me, & uocaui uos, et nõ
respon-

ὑμῶν, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν,
καὶ ποιοῦντες ποιήσητε κρίσιν ἀ-
νὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ
πλησίου αὐτοῦ, καὶ προσήλυτον καὶ
ὀρφανὸν καὶ χήραν μὴ καταδυνα-
στεύσητε, καὶ αἷμα ἀθῶον οὐ μὴ ἐκ-
χέητε ἐν τῷ τόπῳ τούτῳ, καὶ ὀπίσω
θεῶν ἑτέρων μὴ πορεύησθε εἰς κα-
κὸν ὑμῖν, καὶ κατοικιῶ ὑμᾶς ἐν τῷ
τόπῳ ὑμῶν ἐν τῇ γῇ, ἣν τόπον ἔδω-
κα τοῖς πατράσιν ὑμῶν ἐξ αἰῶνος
καὶ ἕως αἰῶνος. ὑμεῖς δὲ πεποίθα-
τε ἐπὶ λόγοις ψευδέσιν, ὅθεν οὐκ ὠ-
φεληθήσεσθε, καὶ φονεύετε, καὶ μοιχᾶ-
σθε, καὶ κλέπτετε, καὶ ὀμνύετε ἐπ' ἀ-
δίκῳ, καὶ θυμιᾶτε τῇ βάαλ, καὶ πο-
ρεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων, ὧν
οὐκ οἴδατε τοῦ κακῶς εἶναι ὑμῖν. καὶ
ἤλθετε, καὶ ἔστητε ἐνώπιον ἐμοῦ ἐν τῷ
οἴκῳ, οὗ ἐπικέκληται τὸ ὄνομά μου
ἐπ' αὐτῷ, καὶ εἴπατε, ἀπεσχήμεθα
τοῦ μὴ ποιεῖν πάντα τὰ βδελύγματα
ταῦτα. μὴ σπήλαιον λῃστῶν ὁ οἶκός
μου, οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ'
αὐτῷ, ἐκεῖ ἐνώπιον ὑμῶν; καὶ ἰδοὺ ἐ-
γὼ ἑώρακα, λέγει κύριος. ἀλλά γε
πορεύθητε εἰς τὸν τόπον μου τὸν ἐν ση-
λώμ, οὗ κατεσκήνωσα τὸ ὄνομά μου
ἐπ' αὐτῷ ἐκεῖ ἔμπροσθεν, καὶ ἴδετε
ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπου κα-
κίας λαοῦ μου ἰσραήλ. καὶ νῦν ἀνθ' ὧν
ἐποιήσατε πάντα τὰ ἔργα ταῦτα,
καὶ ἐλάλησα πρὸς ὑμᾶς, καὶ οὐκ εἰσηκού-
σατέ μου, καὶ ἐκάλεσα ὑμᾶς, καὶ οὐκ
ἀπε-

ἀπεκρίθητε. τοίνυν κἀγὼ ποιήσω
τῷ οἴκῳ τούτῳ, ὃ ἐπικέκληται τὸ ὄ-
νομά μου ἐπ᾽ αὐτῷ, ἐφ᾽ ᾧ ὑμεῖς πε-
ποίθατε ἐπ᾽ αὐτῷ, καὶ τῷ τόπῳ ᾧ
ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑ-
μῶν, καθὼς ἐποίησα τῇ σηλώμ. καὶ
ἀποῤῥίψω ὑμᾶς ἀπὸ προσώπου μου,
καθὼς ἀπέῤῥιψα τοὺς ἀδελφοὺς ὑ-
μῶν, πᾶν τὸ σπέρμα ἐφραίμ. καί
σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τού-
του, καὶ μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐ-
τοὺς, καὶ μὴ εὔχου, καὶ μὴ προσ-
έλθῃς μοι περὶ αὐτῶν, ὅτι οὐκ εἰσ-
ακούσομαι. ἢ οὐχ ὁρᾷς, τί αὐτοὶ ποι-
οῦσιν ἐν ταῖς πόλεσιν ἰούδα, καὶ
ἐν ταῖς ὁδοῖς ἱερουσαλήμ; οἱ υἱοὶ αὐ-
τῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέ-
ρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖ-
κες αὐτῶν τρίβουσι σταῖς, τοῦ ποιῆσαι
χαμῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔ-
σπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις.
ἵνα παροργίσωσί με. μὴ ἐμὲ αὐτοὶ
παροργίζουσι, λέγει κύριος; οὐχὶ ἑαυ-
τοὺς, ὅπως καταισχυνθῇ τὰ πρόσω-
πα αὐτῶν; διὰ τοῦτο τάδε λέγει κύριος,
ἰδοὺ ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ τὸν
τόπον τοῦτον, καὶ ἐπὶ τοὺς ἀνθρώπους,
καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πᾶν ξύ-
λον τοῦ ἀγροῦ αὐτῶν, καὶ ἐπὶ τὰ γεννήμα-
τα τῆς γῆς. καὶ καυθήσεται καὶ οὐ σβεσθή-
σεται. τάδε λέγει κύριος, τὰ ὁ-
λοκαυτώματα ὑμῶν συναγάγετε μετὰ
τῶν θυσιῶν ὑμῶν, καὶ φάγετε
κρέα. ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς
πατέ-

respondistis. Itaque & ego
faciam domui huic, ubi in
uocatum est nomen meū,
cui uos confiditis, & loco
quem dedi uobis & patri
bus uestris, sicut feci Se-
lom, & proijciā uos à fa-
cie mea, sicut proieci fra-
tres uestros, omne sem: E- Prouer.1
phraim. Et tu ne adores p Esaiæ 36
populo hoc, ne roges ut
misericordiā cōsequantur
ipsi, neque preceris, neque ac
cedas ad me pro eis. quia
nō exaudiam. Non'ne ui
des, quid ipsi faciunt in ci
uitatibus Iuda, & in uijs
Hierusalē: Filij eorū colli
gunt ligna, & patres eorū
succendunt ignem, & mu
lieres eorū farinam aqua
conspersam subigunt, ut fa
ciant placētas militiæ cœ
li, & fecere sacrificia dijs
alienis, ut ad iracundiam
prouocarent me. Nū uero
me ipsi ad iracūdiam pro
uocant, dicit dñs: Nō'ne
ipsi se, ut uultus eorum de
decore notetur. Hæc igi-
tur dicit dñs, Ecce ira &
furor meus funditur super
locū istum, & super homi
nes, et super iumenta, et su
per omne lignum agri, &
super omnes fruges terræ,
& ardebit, & non extin-
guetur. Hæc dicit domi-
nus, Solida sacrificia ue-
stra, unà cum reliquis
uictimis colligite, et uos
comedite carnes. Quia
non loquutus sum ad
patres

patrem uestros, neq; man
daui eo die quo eduxi e-
os de terra Ægypti de so
lidis sacrificijs et uictimis,
sed uerbum hoc præcepi
eis, dicens, Audite uocem
meam, & ero uobis deus
& uos eritis mihi in popu
lus, & ambulate in omni-
bus uijs meis, quas manda
uero uobis, ut felices sitis.
Et non audierunt me, ne-
que attenderunt auribus
suis, sed morem gesse-
runt cupiditatibus animi
eorum mali, factiq; suis re
tro, non ante, ex eo die,
quo egressi sunt patres eo
rum de terra Ægypti, us-
que ad diem hunc. Et mi-
si ad uos omnes seruos me
os prophetas, die & dilu-
culo, & misi & non exau
dierunt me, & non atten-
dit auris eorum, et duram
fecerunt ceruicem suã du-
riorem quàm patres eo-
rum. Et dices eis uerbum
hoc, & nõ audient te. Et
uocabis eos, & non respõ
debunt tibi. Et dices ad e-
os, Hæc gens quæ non au
diuit uocem domini dei
sui, neque recepit discipli
nam, defecit fides de ore
eorum. Tonde caput tuũ,
& proijce, & sume in la-
bijs plangorem. Quia re-
probauit dominus, &
& repulit stirpem eam,
quæ fecit hæc. Quia fe-
cerunt filii Iuda scelerate
coram me, dicit dominus.
Locarunt

πατέρας ὑμῶν, καὶ οὐκ ἐνετειλά-
μην αὐτοῖς ἐν ἡμέρᾳ, ᾗ ἀνήγαγον
αὐτοὺς ἐκ γῆς αἰγύπτου περὶ ὁλοκαυ-
τωμάτων καὶ θυσίας. ἀλλ' ἢ τὸ ῥῆ-
μα τοῦτο ἐνετειλάμην αὐτοῖς, λέ-
γων, ἀκούσατε τῆς φωνῆς μου, καὶ ἔ-
σομαι ὑμῖν εἰς θεὸν, καὶ ὑμεῖς ἔσε-
σθέ μοι εἰς λαὸν, καὶ πορεύεσθε ἐν
πάσαις ταῖς ὁδοῖς μου, αἷς ἂν ἐν-
τείλωμαι ὑμῖν, ὅπως ἂν εὖ ᾖ ὑ-
μῖν. καὶ οὐκ ἤκουσάν μου, οὐδὲ προσ-
έσχε τὸ οὖς αὐτῶν. ἀλλ' ἐπορεύθη-
σαν ἐν τοῖς ἐνθυμήμασι τῆς καρδίας
αὐτῶν τῆς κακῆς, καὶ ἐγενήθησαν εἰς
τὰ ὀπίσω, καὶ οὐκ εἰς τὰ ἔμπροσθεν,
ἀφ' ἧς ἡμέρας ἐξήλθοσαν οἱ πατέ-
ρες αὐτῶν ἐκ γῆς αἰγύπτου, καὶ ἕως τῆς
ἡμέρας ταύτης. καὶ ἐξαπέστειλα πρὸς
αὐτοὺς πάντας τοὺς δούλους μου, τοὺς
προφήτας, ἡμέρας καὶ ὄρθρου, καὶ ἀ-
πέστειλα, καὶ οὐκ εἰσήκουσάν μου, καὶ
οὐ προσέσχε τὸ οὖς αὐτῶν, καὶ ἐσκλή-
ρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς
πατέρας αὐτῶν. καὶ ἐρεῖς αὐτοῖς
τοῦτον τὸν λόγον, τοῦτο τὸ ἔθνος ὃ
οὐκ ἤκουσε τῆς φωνῆς κυρίου αὐτῶν,
οὐδὲ ἐδέξατο παιδείαν, ἐξέλιπεν ἡ
πίστις ἐκ στόματος αὐτῶν. κεῖρε τὴν
κεφαλήν σου, καὶ ἀπόρριπτε, καὶ ἀ-
νάλαβε ἐπὶ χειλέων θρῆνον, ὅτι ἀ-
πεδοκίμασε κύριος, καὶ ἀπώσατο
τὴν γενεὰν τὴν ποιοῦσαν ταῦτα. ὅ-
τι ἐποίησαν οἱ υἱοὶ ἰούδα τὸ πονη-
ρὸν ἐναντίον ἐμοῦ, λέγει κύριος.
ἔταξαν

ἔταξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ, οὗ ἐπικλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ, τοῦ μιᾶναι αὐτόν. καὶ ᾠκοδόμησαν τὸν βωμὸν τοῦ ταφὲθ, ὅς ἐστιν ἐν φάραγγι υἱοῦ ἐννὸμ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ μου. διὰ τοῦτο ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ οὐκ ἐροῦσιν ἔτι, βωμὸς τοῦ ταφὲθ καὶ φάραγξ υἱοῦ ἐννὸμ, ἀλλὰ φάραγξ τῶν ἀνῃρημένων. καὶ θάψουσιν ἐν τῷ ταφὲθ, παρὰ τὸ μὴ ὑπάρχειν τόπον. καὶ ἔσονται οἱ νεκροὶ τοῦ λαοῦ τούτου εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς, οὐκ ἔσται ὁ ἀποσοβῶν. καὶ καταλύσω ἐκ πόλεων ἰούδα καὶ ἐκ διόδων ἱερουσαλὴμ φωνὴν εὐφραινομένων, καὶ φωνὴν χαιρόντων, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης, ὅτι εἰς ἐρήμωσιν ἔσται πᾶσα ἡ γῆ.

Ἐν τῷ καιρῷ ἐκείνῳ λέγει κύριος, ἀνοίξουσι τὰ ὀστᾶ τῶν βασιλέων ἰούδα, καὶ τὰ ὀστᾶ τῶν ἀρχόντων αὐτῶν, καὶ τὰ ὀστᾶ τῶν ἱερέων, καὶ τὰ ὀστᾶ τῶν προφητῶν αὐτῶν, καὶ τὰ ὀστᾶ τῶν κατοικούντων ἐν ἱερουσαλὴμ ἐκ τῶν τάφων αὐτῶν, καὶ ψύξουσιν αὐτὰ πρὸς τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ πρὸς πάντας τοὺς ἀστέρας, καὶ πρὸς πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, ἃ ἠγάπησαν, καὶ οἷς ἐδούλευσαν, καὶ ὧν ἐπορεύθησαν ὀπίσω αὐτῶν,

Locarūt abominationes suas in domo, ubi inuocatum est nomen meum, ut pollurent eam, & ædificauerunt aram Tapheth, quæ est in ualle filii Ennom, ut comburerent filios suos & filias suas igne, id quod non præcepi eis, neque cogitaui in corde meo. Ideo ecce dies ueniunt, dicit dominus, quibus non dicent amplius, Ara Tapheth, & uallis filii Ennom, sed uallis interfectorum. Et sepelient in Tapheth, eo quod non sit locus, & fient mortui populi huius cibus uolucribus cœli, & bestiis terræ, & non erit qui abigat. Et cessare faciam de ciuitatibus Iuda, & de uiis Hierusalem uocem lætantium, & uocem gaudentium, uocem sponsi, & uocem sponsæ, quia uastabitur omnis terra. Ezech. 16.

Cap. VIII. Tempore illo, dicit dominus, proferent ossa regum Iuda, & ossa principum eorum, & ossa sacerdotum, et ossa prophetarū eorū, & ossa habitantium in Hierusalē de sepulchris suis, & exponent ea ad solem & ad lunam, & ad omnes stellas, & ad omnem militiam cœli, quæ dilexerunt, quibus seruierunt, & quæ sequuti sunt

ea quæ ſibi uendicarunt, quæ adorarunt. Non colligentur, neq; ſepelientur, eruntq; exemplo toto terrarum orbi. Nam mortem elegerunt potius quàm uitã. Idq; eueniet omnibus ſuperſtitibus, qui relicti ſunt ex natione hac, in quolibet loco, quo expulero eos. Nam hæc dicit dominus, Nonne qui cadit, reſurgit, non'ne qui proficiſcitur, reuertitur? Cur ergo diſceſsit popul' iſte profectione impudenti, & confirmati ſunt in electione ſua, noluerunt'q; reuerti? Auribus percipite, & audite, non ita loquentur, Nullus homo, quem pœniteat ſceleris ſui, qui dicat, quid feci? Deſtitit princeps curſu ſuo, quemadmodũ equus inſtructus hinnitu ſuo. Et erodius in cœlo nouit tẽpus ſuũ. Turtur et hirundo, & in agro auiculæ obſeruant tempora profectionis ſuæ, at populus meus non cognouit iudicia dñi. Quomodo dicetis, ſapientes ſumus nos, & lex domini nobiſcum eſt? uanus factus eſt iuncus mendax ſcribis. Erubuerunt ſapientes, texerunt capita ſua, perterriti ſunt, & capti ſunt. Quia uerbum domini reprobauerunt. Sapientia quæ eſt in illis? Propter hoc dabo

uxores

αὐτοῦ, καὶ ὧν ἀντείχοντο, καὶ οἷς προσεκύνησαν αὐτοῖς. οὐ κοπήσονται, καὶ οὐ ταφήσονται, καὶ ἔσονται εἰς παράδειγμα ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ὅτι εἵλοντο τὸν θάνατον ἢ τὴν ζωὴν, καὶ πᾶσιν τοῖς καταλοίποις τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς γονεᾶς ἐκείνης, ἐν παντὶ τόπῳ οὗ ἐὰν ἐξώσω αὐτοὺς ἐκεῖ. Ὅτι τάδε λέγει κύριος, μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; διὰ τί ἀπέστρεψεν ὁ λαὸς οὗτος ἀποστροφὴν ἀναιδῆ, καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν, καὶ οὐκ ἠθέλησαν τοῦ ἐπιστρέψαι; ἐνωτίσασθε δὴ καὶ ἀκούσατε, οὐχ οὕτω λαλήσουσιν, οὐκ ἔστιν ἄνθρωπος ὁ μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ, λέγων, τί ἐποίησα; διέλιπεν ὁ ἄρχων ἀπὸ τοῦ δρόμου αὐτοῦ, ὡς ἵππος κάθιδρος ἐν χρεμετισμῷ αὐτοῦ. καὶ ἡ ἀσίδα ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς. τρυγὼν καὶ χελιδὼν καὶ ἀγροῦ στρουθία ἐφύλαξαν καιροὺς εἰσόδων ἑαυτῶν, ὁ δὲ λαός μου οὗτος οὐκ ἔγνωσαν τὰ κρίματα κυρίου. πῶς ἐρεῖτε, ὅτι σοφοί ἐσμεν ἡμεῖς, καὶ νόμος κυρίου μεθ' ἡμῶν ἐστι; εἰς μάτην ἐγενήθη σχοῖνος ψευδὴς γραμματεῦσιν. ᾐσχύνθησαν σοφοί, ἐπεκάλυψαν τὴν κεφαλὴν αὐτῶν, καὶ ἐπτοήθησαν καὶ ἑάλωσαν, ὅτι τὸν λόγον κυρίου ἀπεδοκίμασαν. σοφία τίς ἐστιν ἐν αὐτοῖς; διὰ τοῦτο δώσω τὰς

γυναῖ-

γυναῖκας αὐτῶν ἑτέροις, καὶ τοὺς
ἀγροὺς αὐτῶν τοῖς κληρονόμοις, καὶ
συνάξουσι τὰ γεννήματα αὐτοῦ, λέγει
κύριος. οὐκ ἔστι σταφυλὴ ἐν ταῖς ἀμ-
πέλοις, καὶ οὐκ ἔστι σῦκα ἐν ταῖς
συκαῖς, καὶ τὰ φύλλα κατεῤῥύη-
κεν. καὶ ἐπὶ τί ἡμεῖς καθήμεθα; συ-
νάχθητε καὶ εἰσέλθωμεν εἰς τὰς πό-
λεις τὰς ὀχυρὰς, καὶ ἀποῤῥιφθῶμεν
ἐκεῖ, ὅτι ὁ θεὸς ἀπέῤῥιψεν ἡμᾶς,
καὶ ἐπότισεν ἡμᾶς ὕδωρ χολῆς, ὅτι
ἡμάρτομεν ἐναντίον αὐτοῦ. συνήχ-
θημεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγα-
θὰ, εἰς καιρὸν ἰάσεως, καὶ οὐκ ἦν σπου-
δή. ἐκ Δὰν ἀκουσόμεθα φωνὴν ὀξύ-
τητος ἵππων αὐτοῦ. ἀπὸ φωνῆς χρε-
μετισμοῦ ἱππασίας ἵππων αὐτοῦ
ἐσείσθη πᾶσα ἡ γῆ, καὶ ἥξει καὶ κα-
ταφάγεται τὴν γῆν, καὶ τὸ πλήρωμα
αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας
ἐν αὐτῇ. διότι ἰδοὺ ἐγὼ ἐξαποστέλ-
λω εἰς ὑμᾶς ὄφεις θανατοῦντας, οἷς
οὐκ ἔστιν ἐπᾶσαι, καὶ δήξονται ὑμᾶς
ἀνίατα μετ' ὀδύνης καρδίας ὑμῶν
ἀπορουμένης. ἰδοὺ κραυγὴ, φωνὴ
κραυγῆς θυγατρὸς λαοῦ μου ἀπὸ γῆς
μακρόθεν. μὴ κύριος οὐκ ἔστιν ἐν σι-
ών; ἢ βασιλεὺς οὐκ ἔστιν ἐκεῖ; διότι
παρώργισάν με ἐν τοῖς γλυπτοῖς αὐ-
τῶν, καὶ ἐν ματαίοις ἀλλοτρίοις. διῆλ-
θε θέρος, παρῆλθεν ἀμητὸς, καὶ ἡ-
μεῖς οὐ διεσώθημεν. ἐπὶ συντρίμματι
θυγατρὸς λαοῦ μου ἐσκοτίσθην ἐν
ἀπορίᾳ, κατίσχυσάν με ὠδῖνες ὡς

τικτού-

uxores eorum alijs, & a-
gros eorū hæredibus, &
colliget fructus illorū, di-
cit dñs. Nō est uua in ui-
neis, nō sunt ficus in ficis,
& folia defluxerunt. Qua
re nos sedemus? congrega
mini, & intremus in ciui-
tates munitas, & proijcia-
mur ibi, quia deus abiecit
nos, & potauit nos aqua
felle mixta, qa peccauimꝰ
in cōspectu eius. Congre
gati sumus in pace, ac ni-
hil fuit boni, in tempus
medelę, ac nulla diligētia.
A Dan audiemus uocem
acrē equorū eius: A uoce
quę uenit ex sonitu doma
tionis equorum eius, mo-
ta est omnis terra, & ue-
niet, & deuorabit terram
& plenitudinem eius, ur-
bem & habitantes in ea.
Ecce enim ego immitto
in uos serpentes mortife-
ros, quos nemo potest in-
cantare, & mordebūt pla
ga insanabili, cum dolore
cordis uestri deficientis.
Ecce clamor, uox clamo
ris filiæ populi mei de ter
ra longinqua. An domi-
nus non est in Sion: an
rex non est ibi? Cur ergo
ad iracundiā prouocaue-
runt me sculptilibus suis,
& in uanitatibus alienis?
Illapsa est æstas, præteriit
messis, & nos nō sumus sal
uati. Propter contritionē
filiæ populi mei obscura-
tus sum in afflictione. Ob
tinuerūt me dolores quasi

 pari-

parientis. Nulla ne resina in Galaad est? an nullus est medicus istic? Cur nõ uenit sanitas populi mei?

Cap.IX Quis dabit capiti meo aquã, & oculis meis fontem lachrymarum, ut deplorem populũ hunc, die & nocte, uulneratos filiæ populi mei? Quis dabit mihi in solitudine mansionem nouissimam, ut relinquam populũ meum, et recedã ab eo? Quia omnes adulterantur, cœtus perperam agentiũ, & extenderunt linguã suam quasi arcum. Mendaciũ, nõ fides superauit in terra, quia de malis ad mala egressi sunt, & me non cognouerunt, dicit dominus. Singuli à proximo suo obseruamini, & fratribus uestris nõ confiditis. Nam quiuis frater calcaneo supplantabit, & omnis amicus dolose ambulabit. Vnusquisq; amicũ suũ illudet, ueritatẽ nõ loquentur. Didicit lingua eorũ loqui mẽdacia, inique egerunt, nec destiterunt ut conuerterentur. Vsura super usurã, dolus super dolũ, non uoluerunt scire me, dicit dñs. Quam obrẽ hæc dicit dñs uirtutũ, Ecce ego igne examinabo eos, et probabo eos. Quid faciã propter malitiã filiæ populi mei? Sagitta uulnerans lingua eorũ, dolosa sunt ỹba oris eorũ.

Propin-

τικτούσης. ἢ μὴ ῥητίνη οὐκ ἔστιν ἐν γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; διὰ τί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου;

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; καὶ κλαύσομαι τὸν λαόν μου τοῦτον ἡμέρας καὶ νυκτός, τοὺς τετραυματισμένους θυγατρὸς λαοῦ μου; τίς δώσει μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον, καὶ καταλείψω τὸν λαόν μου, καὶ ἀπελεύσομαι ἀπ᾽ αὐτῶν; ὅτι πάντες μοιχῶνται, σύνοδος ἀθετούντων, καὶ ἐνέτειναν τὴν γλῶσσαν αὐτῶν ὡς τόξον. ψεῦδος καὶ οὐ πίστις ἐνίσχυσεν ἐπὶ τῆς γῆς, ὅτι ἐκ κακῶν εἰς κακὰ ἐξήλθοσαν, καὶ ἐμὲ οὐκ ἔγνωσαν, φησὶ κύριος. ἕκαστος ἀπὸ τοῦ πλησίον αὐτοῦ φυλάξασθε, καὶ ἐπ᾽ ἀδελφοῖς αὐτῶν μὴ πεποίθατε, ὅτι πᾶς ἀδελφὸς πτέρνῃ πτερνιεῖ, καὶ πᾶς φίλος δολίως πορεύσεται. ἕκαστος κατὰ τοῦ φίλου αὐτοῦ καταπαίξεται, ἀλήθειαν οὐ μὴ λαλήσωσι. μεμάθηκεν ἡ γλῶσσα αὐτῶν λαλεῖν ψευδῆ, ἠδίκησαν, καὶ οὐ διέλιπον τοῦ ἐπιστρέψαι. τόκος ἐπὶ τόκῳ, δόλος ἐπὶ δόλῳ. οὐκ ἠθέλησαν εἰδέναι με, φησὶ κύριος. διὰ τοῦτο τάδε λέγει κύριος τῶν δυνάμεων, ἰδοὺ ἐγὼ πυρώσω αὐτούς, καὶ δοκιμῶ αὐτούς, τί ποιήσω ἀπὸ προσώπου πονηρίας θυγατρὸς λαοῦ μου. βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν, δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν·

τῷ

τῷ πλησίον αὐτοῦ λαλεῖ εἰρηνικὰ, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει κύριος, ἢ ἐν λαῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἐπὶ τὰ ὄρη λάβετε κοπετὸν, καὶ ἐπὶ τὰς τρίβους τῆς ἐρήμου θρῆνον, ὅτι ἐξέλιπον παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, οὐκ ἤκουσαν φωνὴν ὑπάρξεως ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ, καὶ ἕως κτηνῶν ἐξέστησαν, ᾤχοντο. καὶ δώσω τὴν ἱερουσαλὴμ εἰς μετοικίαν, εἰς κατοικητήριον δρακόντων, καὶ τὰς πόλεις ἰούδα εἰς ἀφανισμὸν θήσομαι, παρὰ τὸ μὴ κατοικεῖσθαι. τίς ἄνθρωπος ὁ συνετὸς, καὶ συνέτω τοῦτο; καὶ ᾧ λόγος στόματος κυρίου πρὸς αὐτὸν, ἀναγγειλάτω ὑμῖν, ἕνεκεν τίνος ἀπώλετο ἡ γῆ; ἀνήφθη, ὡς ἔρημος παρὰ τὸ μὴ διοδεύεσθαι αὐτήν. Καὶ εἶπε κύριος πρός με, διὰ τὸ ἐγκαταλιπεῖν αὐτοὺς τὸν νόμον μου, ὃν ἔδωκα πρὸ προσώπου αὐτῶν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς μου, ἀλλ' ἐπορεύθησαν ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας αὐτῶν τῆς κακῆς, καὶ ὀπίσω τῶν εἰδώλων ἃ ἐδίδαξαν αὐτοὺς οἱ πατέρες αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσραὴλ, ἰδοὺ ἐγὼ ψωμιῶ αὐτοὺς ἀνάγκας, καὶ ποτιῶ αὐτοὺς ὕδωρ χολῆς, καὶ διασκορπιῶ αὐτοὺς ἐν τοῖς ἔθνεσιν εἰς οὓς οὐκ ἐπεγίνωσκον αὐτοὶ, καὶ οἱ πατέρες αὐτῶν, καὶ ἐπιστελῶ εἰς αὐτοὺς τὴν μάχαιραν,

Propinquo suo loquitur Psal.12
pacifica, sed in animo ex- Supra 5
ercet inimicitiam. Nunquid hæc non uisitabo, dicit dominus, aut populum huiusmodi non ulciscetur anima mea? Super montes assumite plangorem, et super semitas deserti lamētum, quoniam defecerunt propterea quod nulli sunt homines, neque audierunt uocem uiuam, tam uolucres quàm iumenta obstupuerunt, defecerunt. Vertam Hierusalem in habitationē & domicilium draconum, & ciuitates Iuda in uastationē ponam,
ut non habitentur. Quis Oseæ 14
homo sapiēs, et intelligat hoc? Cui est uerbum oris domini, annunciet uobis, cur perierit terra, cur sit exusta tanquam solitudo, cur non sit qui transeat eam. Et dixit dominus ad me, quia dereliquerunt ipsi legem meam, quam dedi ante faciem eorum, & non audierunt uocem meam, sed secuti sunt cupiditates cordis eorum mali, & idola, quæ docuerunt patres eorum eos, propter hoc, hæc dicit dominus uirtutū deus Israel. ecce ego nutrio eos angustijs, et poto eos aqua fellis, & dispergam eos in gentibus, quos non cognouerunt ipsi & patres eorum, & mittam in eos gladium,

donec cõsumam eos cum
isto. Hæc dicit dominus.
Vocate mulieres lamen-
tantes, & ueniant, & ad
eas quę sapientes sunt mit
tite, & loquantur, & de-
dant se propter uos lamẽ-
tis, profundantq; oculi ue
stri lacrymas & palpebrę
uestræ fluant aqua, quia
uox miserabilis audita est
in Sion. Quomodo uasta
ti sumus, confusi sumus ual
de, quod dereliquimus ter
ram, et abiecimus taberna
cula nostra? Audite iã mu
lieres uerbum dei, & per-
cipiant aures uestræ uer-
ba oris eius, & docete fi-
lias uestras miserationes,
& mulier proximã suam
lamentum. Quia ascendit
mors per fenestras ue-
stras, & ingressa est in ter
ram uestram sublatum par
uulos foris, & iuuenes de
plateis, & erũt mortui ho
minum exemplo, in super
ficie campi terræ uestræ,
& quasi fœnum post me-
tentem, & nõ erit qui col
1. Cor. 1 ligat. Hæc dicit dominus,
2. Cor. 10 Ne glorietur sapiens in sa
pientia sua, et ne glorietur
fortis in fortitudine sua, et
ne glorietur diues in diui-
tiis suis. sed in hoc glorie-
tur qui gloriatur, quod in
telligat & cognoscat me
dñm esse, exercentem mi-
sericordiã & iudicium &
iustitiã in terra, q̃a in istis
uolun-

ἕως τοῦ ἐξαναλῶσαι αὐτοὺς ἐν αὐτῇ.
τάδε λέγει κύριος, καλέσατε τὰς
θρηνούσας, καὶ ἐλθέτωσαν, καὶ πρὸς
τὰς σοφὰς ἀποστείλατε, καὶ φθεγξά-
σθωσαν, καὶ λαβέτωσαν ἐφ' ὑμᾶς
θρῆνον, καὶ καταγαγέτωσαν οἱ ὀφ-
θαλμοὶ ὑμῶν δάκρυα, καὶ τὰ βλέφα-
ρα ὑμῶν ῥείτω ὕδωρ, ὅτι φωνὴ οἰκ-
τρὰ ἠκούσθη ἐν Σιών. πῶς ἐταλαι-
πωρήσαμεν, κατῃσχύνθημεν σφό-
δρα, ὅτι ἐγκατελίπομεν τὴν γῆν,
καὶ ἀπερρίψαμεν τὰ σκηνώματα
ὑμῶν; ἀκούσατε δὴ γυναῖκες λό-
γον θεοῦ, καὶ δεξάσθω τὰ ὦτα ὑμῶν
λόγους στόματος αὐτοῦ, καὶ διδάξατε
τὰς θυγατέρας ὑμῶν οἶκτον, καὶ γυ-
νὴ τὴν πλησίον αὐτῆς θρῆνον, ὅτι ἀ-
νέβη θάνατος διὰ τῶν θυρίδων ὑ-
μῶν, εἰσῆλθεν εἰς τὴν γῆν ὑμῶν, τοῦ
ἐκτρίψαι νήπια ἔξωθεν, καὶ νεανίσκους
ἀπὸ τῶν πλατειῶν, καὶ ἔσονται οἱ νε-
κροὶ τῶν ἀνθρώπων εἰς παράδει-
γμα ἐπὶ προσώπου τοῦ πεδίου τῆς γῆς
ὑμῶν, καὶ ὡς χόρτος ὀπίσω θερί-
ζοντος, καὶ οὐκ ἔσται ὁ συνάγων. Τά-
δε λέγει κύριος, μὴ καυχάσθω ὁ σο-
φὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχά-
σθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ
μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ
πλούτῳ αὐτοῦ. ἀλλ' ἐν τούτῳ καυ-
χάσθω ὁ καυχώμενος, συνιεῖν καὶ
γινώσκειν, ὅτι ἐγώ εἰμι κύριος ὁ
ποιῶν ἔλεος καὶ κρίμα καὶ δικαιο-
σύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὰ
θελήμα-

θελήματά μου, λέγει κύριος. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐπισκέψομαι πάντας περιτετμημένους, ἀκροβυστίας αὐτῶν, ἐπ' αἴγυπτον, καὶ ἐπὶ τὴν ἰδουμαίαν, καὶ ἐπὶ ἐδὼμ, καὶ ἐπὶ τοὺς υἱοὺς ἀμμὼν, καὶ ἐπὶ τοὺς υἱοὺς μωὰβ, καὶ ἐπὶ πάντα περικειρόμενον τὰ κατὰ πρόσωπον αὐτοῦ, τοὺς κατοικοῦντας ἐν τῇ ἐρήμῳ, ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, καὶ πᾶς οἶκος ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν.

Ἀκούσατε λόγον κυρίου, ὃν ἐλάλησεν ἐφ' ὑμᾶς οἶκος ἰσραήλ. τάδε λέγει κύριος, κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε, ὅτι φοβοῦνται αὐτὰ τοῖς προσώποις αὐτῶν. ὅτι τὰ νόμιμα τῶν ἐθνῶν μάταια. ξύλον ἐστὶν ἐκ τοῦ δρυμοῦ ἐκκεκομμένον, ἔργον τέκτονος, καὶ χώνευμα, ἀργυρίῳ καὶ χρυσίῳ κεκαλλωπισμένα ἐστὶν ἐν σφύραις, καὶ ἥλοις ἐστερέωσαν αὐτά. θήσουσιν αὐτὰ, καὶ οὐ κινηθήσονται. ἀργύριον τορευτόν ἐστιν, οὐ πορεύσονται, ἀργύριον προσβλητόν ἐστι. ἀπὸ θαρσεῖς ἥξει χρυσίον μωφὰζ, καὶ χεὶρ χρυσοχόων, ἔργα τεχνιτῶν πάντα, ὑάκινθον καὶ πορφύραν ἐνδύσουσιν αὐτά. αἰρόμενα ἀρθήσονται, ὅτι οὐκ ἐπιβήσονται. μὴ φοβηθῆτε αὐτὰ, ὅτι οὐ μὴ κακοποιήσωσι, καὶ ἀγαθὸν οὐκ ἔστιν ἐν αὐτοῖς. οὕτως

ἐρεῖτε

uolũtas mea, dicit dñs. Ecce dies ueniũt, dicit dominus, quibus inuiſam omẽs circumciſos, præputiaq́ horũ, Ægypti, Idumææ. Edom, filiorum Ammon, filiorum Moab, omniũq́ qui tonſi ſunt circa faciẽ. & in deſerto habitant. Nam nullę gentes circumciſę ſunt carne, nec domus Iſrael circumciſa eſt corde ſuo.

Cap. X

Audite uerbum domini, quod loquutus eſt dominus ſuper uobis domus Iſrael, Hęc dicit dominus. Ad uias gentium ne diſcatis, neq; cœli ſigna timeatis, quia timent ea gentes. Nam legitima gentium uana. Lignum eſt de ſylua exciſum, opus fabri lignarij, et conflatio, argento hæc & auro ornata ſunt, malleis & clauis firmauerunt ea, collocabunt iſta, at non mouebuntur. argentum tornatum eſt, non incedent, argentum adglutinatũ eſt. Ex Tharſis adfertur aurum Mephax. Manu aurificum, opera artificũ omnia conficiũtur, hyacintho et purpura ueſtiunt illa. Elatæ portantur, nõ enim ingrediuntur. Ne timeatis illa. non enim malefacient, nihil boni eſt in iis. Ita

dicetis

dicetis ad eos, dij qui cœlum terramq́ non condiderunt, tollantur è terra, & ex iis quæ sub cœlo sunt. Dñs qui fecit terram fortitudine sua, qui direxit orbem terræ sapientia sua, & prudẽtia sua extendit cœlum, & multitudinem aquæ in cœlo, & eduxit nebulas ab extremo terræ, fulgura in pluuiam conuertit, & eduxit

Infra 51 uẽtos de thesauris suis. Et stultus factus est omnis homo à scientia. Pudore affectus est omnis aurifex in sculptilibus suis, quia falsa conflauerunt, non est spiri

Psal. 143 tus in eis. Vana sunt opera implicata. Eo tempore quo inuisentur, peribunt. Non est talis pars Iacob. Nam is qui finxit hęc omnia, illius est hęreditas, Dominus nomen illi. Congregauit foris substantiã suã, quæ habitat in munitione. Quia hæc dicit dominus, Ecce ego supplantabo habitatores terræ huius afflictione, & uexabo, ut plaga inueniat. Vę contritioni tuæ, cum dolore cõiuncta est plaga tua. Ac ego dixi, reuera hoc meum uulnus, quod inflictũ est mihi. tabernaculũ meũ miseria affectũ est, periit. Et omnes pelles meæ dissipatæ sunt. Filij mei et pecora mea nõ sunt. Non est ultra loc⁹ tẽtorio meo, nec locus pellibus meis.

Quia

ἐρεῖτε αὐτοῖς, θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐκ τῆς γῆς, καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ τούτου. θεὸς ὁ ποιήσας τὴν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ τῇ φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν, καὶ πλῆθος ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγε ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως, κατῃσχύνθη πᾶς χρυσοχόος ἐπὶ τοῖς γλυπτοῖς αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσαν, οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς. μάταιά ἐστιν ἔργα ἐμπεπαιγμένα, ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. οὐκ ἔστι τοιαύτη μερὶς τῷ Ἰακὼβ, ὅτι ὁ πλάσας τὰ πάντα, αὐτὸς κληρονομία αὐτοῦ, κύριος ὄνομα αὐτῷ. συνήγαγον ἔξωθεν τὴν ὑπόστασίν σου, κατοικοῦσαν ἐν ἐκλεκτοῖς, ὅτι τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ σκελίζω τοὺς κατοικοῦντας τὴν γῆν ταύτην ἐν θλίψει, καὶ ἐκθλίψω αὐτοὺς ὅπως εὑρεθῇ ἡ πληγή σου. οὐαὶ ἐπὶ συντρίμματί σου, ἀλγηρὰ ἡ πληγή σου. κἀγὼ εἶπα, ὄντως τοῦτο τὸ τραῦμά σου, καὶ κατέλαβέ με. ἡ σκηνή μου ἐταλαιπώρησεν, ὤλετο. καὶ πᾶσαι αἱ δέρρεις μου διεσπάσθησαν. οἱ υἱοί μου καὶ τὰ πρόβατά μου οὐκ εἰσὶν, οὐκ ἔστιν ἔτι τόπος τῆς σκηνῆς μου, τόπος τῶν δέρρεών μου.

ὅτι

ὅτι οἱ ποιμένες ἠφρόνησαν, καὶ τὸν
κύριον οὐκ ἐξεζήτησαν. διὰ τοῦτο οὐκ
ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορ-
πίσθησαν. φωνὴ ἀκοῆς ἰδοὺ, ἔρχεται
καὶ σεισμὸς μέγας ἐκ γῆς βορρᾶ, τοῦ
τάξαι τὰς πόλεις ἰούδα εἰς ἀφανι-
σμὸν, καὶ κοίτην στρουθῶν. οἶδα κύ-
ριε, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐ-
τοῦ, οὐδὲ ἀνὴρ πορεύεται καὶ κατορ-
θώσει πορείαν αὐτοῦ. παίδευσον ἡ-
μᾶς κύριε, πλὴν ἐν κρίσει καὶ μὴ
ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς
ποιήσῃς. ἔκχεον τὸν θυμόν σου ἐπὶ
ἔθνη τὰ μὴ εἰδότα σε, καὶ ἐπὶ βασιλεί-
ας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαν-
το, ὅτι κατέφαγον τὸν ἰακὼβ, καὶ ἐξα-
νάλωσαν τὸν ἰσραήλ.

Ὁ λόγος ὁ γενόμενος παρὰ κυ-
ρίου πρὸς ἱερεμίαν λέγων, Ἄκουσον
τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ
λαλήσεις πρὸς ἄνδρας ἰούδα, καὶ
πρὸς τοὺς κατοικοῦντας ἐν ἱερουσα-
λήμ. καὶ ἐρεῖς πρὸς αὐτοὺς, Τάδε λέ-
γει κύριος ὁ θεὸς ἰσραὴλ, Ἐπικατά-
ρατος ὁ ἄνθρωπος ὃς οὐκ ἀκούσεται
τῶν λόγων τῆς διαθήκης ταύτης, ἧς
ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν
ἐν ἡμέρᾳ, ᾗ ἀνήγαγον αὐτοὺς ἐκ
γῆς αἰγύπτου ἐκ καμίνου τῆς σιδη-
ρᾶς, λέγων, ἀκούσατε τῆς φωνῆς μου,
καὶ ποιήσατε πάντα ὅσα ἐὰν ἐντεί-
λωμαι ὑμῖν, καὶ ἔσεσθέ μοι εἰς λαὸν,
καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς θεὸν, ὅπως
στήσω τὸν ὅρκον μου, ὃν ὤμοσα τοῖς

πατρά-

Quia pastores stulte ege-
runt, & dominũ non quę-
sierunt. Ob hanc causam
nõ intellexit omnis grex,
& dispersi sunt. Vox au-
ditionis ecce, uenit, et ter
ræmotus magnus de terra
aquilonis, uertentis ciuita
tes Iuda in solitudinem, et
cubile passerũ. Noui do-
mine, non hominis esse ui
am illius, necp uirum pro-
fecturum esse, nec illum ui
am suam directurum. Ca- Psal.78
stiga nos domine, sed iudi
cio, non atrocitate, ne ad
paucos nos redigas. Exer
ce iracundiam in gentes
quæ non cognouerunt te,
& in regna quæ nomen
tuum non inuocauerunt,
quia deuorauerũt Iacob,
& consumpserunt Israel.

Verbum quod editũ est Cap.XI
ad Hieremiam à dño dicẽ
te, Audite uerba testamen
ti huius. Et loqueris ad ui
ros Iudę, et habitãtes Hie
rusalẽ, et dices ad eos, Hęc
dicit dñs deus Israel. Exe 3
cratus is homo qui nõ au
diet uerba testamenti hu-
ius, quod mandaui patri-
bus uestris, eo die quo e-
duxi eos de terra Ægy-
pti, de fornace ferrea, di-
cens, Audite uocem meã,
& facite omnia quæcũq
ego mando uobis, & eri-
tis meus populus, & ego
ero uester deus, ut prestem
iusiurandum, quod iuraui

 patribus

patribus uestris, nempe me daturum illis terram fluentem lacte & melle, ut die hoc. Et respondi & dixi: Fiat domine. Tum dixit dominus ad me, Lege omnia uerba hæc in ciuitatibus Iuda & extra Hierusalem, dicens, Audite uerba testamenti huius, & facite ea, at non fecerunt. Et dixit dominus ad me, Inuenta est cōiunctio quædam inter uiros Iuda, & Hierosolymorum incolas; reuersi sunt ad iniquitates patrum suorum priorum, qui non uoluerunt exaudire uerba mea. Et ecce sequuntur deos alienos, ut seruiant eis. Et uiolauit domus Israel & domus Iuda testamentum meum quod cōstitui cum patribus eorum. Quocirca hæc dicit dominus, Ecce induco super eos mala, ex quibus ipsi se non poterunt explicare, & clamabunt ad me, & non ex-
Supra 2 audiam eos. Ibuntq; ciuitates Iuda & habitantes Hierusalem, & clamabūt ad deos suos, quibus ipsi adolent, non saluabunt eos in tempore malorum suorum. Quia secundum numerū ciuitatū tuarū erant dii tui Iuda, & secundum numerū uiarum Hierusalem posuerūt aras ad adolendū Baal. Et tu ne adores

πατράσιν ὑμῶν, τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ μέλι, καθὼς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίθην καὶ εἶπα, γένοιτο κύριε. καὶ εἶπε κύριος πρός με, ἀνάγνωθι τοὺς λόγους τούτους ἐν πόλεσιν ἰούδα, καὶ ἔξωθεν ἱερουσαλὴμ, λέγων, ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ ποιήσατε αὐτούς. καὶ οὐκ ἐποίησαν. καὶ εἶπε κύριος πρός με, εὑρέθη σύνδεσμος ἐν ἀνδράσιν ἰούδα, καὶ ἐν τοῖς κατοικοῦσιν ἐν ἱερουσαλὴμ, ἐπεστράφησαν ἐπὶ τὰς ἀδικίας τῶν πατέρων αὐτῶν τῶν προτέρων, οἳ οὐκ ἠθέλησαν εἰσακούειν τῶν λόγων μου. καὶ ἰδοὺ αὐτοὶ πορεύονται ὀπίσω θεῶν ἀλλοτρίων, τοῦ δουλεύειν αὐτοῖς. καὶ διεσκέδασαν οἶκος ἰσραὴλ καὶ οἶκος ἰούδα τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς τοὺς πατέρας αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ, ἐξ ὧν οὐ δυνήσονται ἐξελθεῖν ἐξ αὐτῶν. καὶ κεκράξονται πρός με, καὶ οὐκ εἰσακούσομαι αὐτῶν, καὶ πορεύσονται πόλεις ἰούδα, καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ, καὶ κεκράξονται πρὸς τοὺς θεοὺς αὐτῶν, οἷς αὐτοὶ θυμιῶσιν αὐτοῖς, οἳ μὴ σώσουσιν αὐτοὺς ἐν τῷ καιρῷ τῆς κακώσεως αὐτῶν. ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου ἰούδα, καὶ κατ' ἀριθμὸν ἐξόδων τῆς ἱερουσαλὴμ, ἔταξαν βωμοὺς θυμιᾶν τῇ βάαλ. καί σὺ μὴ προσεύχου

προσεύχε περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν ἐν δεήσει καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι ἐν τῷ καιρῷ ἐν ᾧ ἐπικαλοῦνταί με, ἐν καιρῷ κακώσεως αὐτῶν. τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφελοῦσιν ἀπὸ σοῦ τὰς κακίας σου; ἢ τούτοις διαφεύξῃ; ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει, ἐκάλεσε κύριος τὸ ὄνομά σου, εἰς φωνὴν περιτομῆς αὐτῆς ἐφύτευσεν, ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς. καὶ κύριος τῶν δυνάμεων ὁ καταφυτεύσας σε, ἐλάλησεν ἐπὶ σε κακά, ἀντὶ τῆς κακίας οἴκου ἰσραὴλ, καὶ οἴκου ἰούδα, ὅτι ἐποίησαν ἑαυτοῖς τοῦ παροργίσαι με ἐν τῷ θυμιᾷν αὐτοὺς τῇ βάαλ. Κύριε γνώρισόν μοι, καὶ γνώσομαι. τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν, ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων. ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες, δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι. κύριε κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρά σου ἐκδίκησιν ἐξ αὐτῶν, ὅτι πρός σε ἀπεκάλυψα τὸ δικαίωμά μου. διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ τοὺς ἄνδρας ἀναθὼθ, τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας, οὐ μὴ προφη-

adores pro populo isto, neque petas pro eis in deprecatione & oratione, quia non exaudiã eo tempore quo inuocant me, in tempore afflictionis eorũ. Quid dilecta in domo mea commisit fastidio sum: nunquid orationes et carnes sanctę auferent à te malitias tuas, aut hoc fugies? Oliuam umbrosam pulchram specie uocauit dominus nomen tuum, in uocem circumcisionis eius te plantauit. Inutiles facti sunt rami eius. Et dñs exercituũ qui plãtauit te, loquutus est super te mala, pro malitia domus Israel et domus Iuda. Nam tum ipsi me ad irã incitauerũt, cum adolerent Baal. Dñe notum fac mihi, & cognoscam. Tunc uidi studia eorum, ego uerò ut agnus innocẽs adductus ut sacrificetur, nõ cognoui, super me cogitauerunt rationẽ malam, dicentes, Venite & immittamus lignum uice panis, & tollamus eum de terra uiuentium, ut nominis eius nullą posthac fiat mentio. Domine exercituũ iudicans iustè, probans renes & corda, uideam uindictã tuam de eis, tibi enim patefeci innocentiam meã. Propterea hæc dicit dñs ad uiros Anathoth, quærentes animã meã, dicẽtes, Nequaquam uatici- Infra 20

uaticinaberis in nomine domini, alioqui morieris in manibus nostris. Ecce ego uisitabo super eos. Iuuenes eorum gladio morientur, filii eorum & filiæ eorum enecabũtur fame, & reliquiæ non erunt eorum, quia inducam mala super habitantes in Anathoth, in anno uisitationis eorum.

Cap XII Iustus es domine, quare
Aba. 1 causam meam dicam ad te. ueruntamen iudicia loquar tecum, quid uia impiorum prosperatur? abundãtes facti sunt omnes qui perperam faciunt. Plantasti eos, & radicem egerũt, Filios generauerunt, & fecerunt fructum, prope es tu ori eorum, & longe à renibus eorum. Et tu domine cognoscis me, probasti cor meum corã te. Purga eos ad diem mactationis eorum, & congrega eos, tanquam oues ad occisionem. Quousq; lugebit terra, & omnis herba agri siccabitur à malitia habitantium in ea? Ad nihilum redacta sunt iumenta & uolatilia, quia dixerunt, non uidebit deus uias nostras. Tui pedes currunt, & dissoluunt te. Quomodo præpararis in equis, & terre pacis tu cõfidisti? Quomodo te geres in fremitu Iordanis? Quoniã & fratres tui, & domus

patris

προφητεύσεις ἐπὶ τῷ ὀνόματι κυρίου, εἰ δὲ μὴ ἀποθάνῃ ἐν ταῖς χερσὶν ὑμῶν. ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ᾽ αὐτούς. οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ, καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν, ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν ἀναθὼθ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

Δίκαιος εἶ κύριε, ὅτι ἀπολογήσομαι πρός σε. πλὴν κρίματα λαλήσω πρός σε, τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται. εὐθηνήσαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα. ἐφύτευσας αὐτοὺς, καὶ ἐρριζώθησαν. ἐτεκνοποιήσαντο, καὶ ἐποίησαν καρπὸν. ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐτῶν. καὶ σὺ κύριε γινώσκεις με, δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου. ἄγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν, ἄθροισον αὐτοὺς ὥσπερ πρόβατα εἰς σφαγήν. ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινὰ, ὅτι εἶπαν, οὐκ ὄψεται ὁ θεὸς ὁδοὺς ἡμῶν. σοῦ οἱ πόδες τρέχουσι, καὶ ἐκλύουσί σε. πῶς παρασκευάσῃ ἐφ᾽ ἵππους, καὶ ἐν γῇ εἰρήνης σου πέποιθας; πῶς ποιήσεις ἐν φρυάγματι τοῦ ἰορδάνου, ὅτι καὶ οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ

πατρός

πατρός σου, καὶ οὗτοι ἠθέτησάν σε, καὶ αὐτοὶ ἐβόησαν, ἐκ τῶν ὀπίσω σου ἐπισυνήχθησαν, μὴ πιστεύσῃς ἐν αὐτοῖς, ὅταν λαλήσουσι πρός σε εἰρηνικά. Ἐγκαταλέλοιπα τὸν οἶκόν μου; ἀφῆκα τὴν κληρονομίαν μου; ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς. ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν. μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί, ἢ σπήλαιον κύκλῳ αὐτῆς; βαδίσατε, συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον, ἐγενήθη εἰς ἀφανισμὸν ἀπωλείας. δι' ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τιθέμενος ἐν καρδίᾳ. ἐπὶ πᾶσαν διεκβολὴν ἐν τῇ ἐρήμῳ ἤλθοσαν ταλαιπωροῦντες, ὅτι μάχαιρα τοῦ κυρίου καταφάγεται ἀπ' ἄκρου τῆς γῆς, καὶ ἕως ἄκρου τῆς γῆς οὐκ ἔστιν εἰρήνη πάσῃ σαρκί. σπείρετε πυρούς, καὶ ἀκάνθας ἐθερίσατε. οἱ κλῆροι αὐτῶν οὐκ ὠφελήσουσιν αὐτούς. αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν, ἀπὸ ὀνειδισμοῦ ἔναντι κυρίου, ὅτι τάδε λέγει κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων

τῆς

patris tui, & ipsi inobedientes fuerunt tibi. Et ipsi clamauerunt, ex posterioribus tuis cōgregati sunt. Ne credas eis, quando loquentur ad te pacifica. Dereliqui domum meam: dimisi hæreditatem meam, dedi dilectam animā meam in manus inimicorum eius. Facta est hæreditas mea mihi, quasi leo in sylua, dedit contra me uocē suam, ideo odio eam prosecutus sum. Nunquid spelunca hyænæ hæreditas mihi, aut spelūca in circuitu eius? Pergite, cōgregate omnes bestias agri, & ueniant ad deuorandū eam. Pastores multi corruperunt uineam meam, & polluerunt partem meam, uerterunt partem desiderabilem meam in solitudinē auiam, redacta est ad interitum pēssimum. Propter me omnino uastata est omnis terra, quia nemo est, qui animo hæc secū perpendat. Ad omnem exitum, in solitudine uenerūt uastatores. Quia gladius domini deuorabit ab extremo terræ usq; ad extremum terrę, non est pax omni carni. Seminastis triticū, & spinas messuistis. sortes eorū non proderunt eis. Pudore affecti estis in gloriatione uestra, ab obprobrio in cōspectu dn̄i. Quia hęc dicit dn̄s de omnib. uicinis malis tāgētib.

hære-

hæreditatem meam, quam diuisi populo meo Israel, Ecce ego euello eos à terra eorum, & Iudam eiiciam de medio eorum, & fiet postquam eiecero ego eos, ut reuersurus sim, & misertus ero illorũ, atq; hæredes constituam quemq; terræ suæ. Et fiet si discentes didicerint uiam populo mei, ut iurent in nomine meo, uiuit dominus, sicut docuerunt populum meum iurare in Baal, ut ædificentur in medio populi mei. Si autẽ non conuersi fuerint, tollam gentem illam euulsione et perditione.

Cap. XIII Hec dicit dominus, Vade, & para tibi cingulum lineũ, & cinge te circum lumbos tuos, & in aqua nõ ueniet. Et acquisiui cingulum secundum uerbum domini, et circumdedi lũbos meos. Et factum est uerbum domini ad me denuo, dicẽs, Accipe cingulum quod circa lumbos tuos, & surge, & uade ad Euphratem, & absconde illud illic in foramine petræ. Et abij & abscondi illud in Euphrate, sicut præcepit mihi dominus. Et factum est post dies multos, & dixit dominus ad me, Surre, uade ad Euphratem, & accipe illinc cingulũ, de

τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου ἰσραὴλ, ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν. καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτοὺς, ἀναστρέψω καὶ ἐλεήσω αὐτοὺς, καὶ κατοικιῶ αὐτοὺς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ. καὶ ἔσται ἐὰν μαθόντες μάθωσι τὴν ὁδὸν τοῦ λαοῦ μου, τοῦ ὀμνύειν τῷ ὀνόματί μου, ζῇ κύριος, καθὼς ἐδίδαξαν τὸν λαόν μου ὀμνύειν τῇ βάαλ, καὶ οἰκοδομηθήσεται ἐν μέσῳ τοῦ λαοῦ μου, ἐὰν δὲ μὴ ἐπιστρέψωσι, καὶ ἐξαρῶ τὸ ἔθνος ἐκεῖνο ἐξάρσει καὶ ἀπωλείᾳ.

Τάδε λέγει κύριος, βάδισον καὶ κτῆσαι σεαυτῷ περίζωμα λινοῦν, καὶ περίθου περὶ τὴν ὀσφύν σου, καὶ ἐν ὕδατι οὐ διελεύσεται. καὶ ἐκτησάμην τὸ περίζωμα κατὰ τὸν λόγον κυρίου, καὶ περιέθηκα περὶ ὀσφύν μου. καὶ ἐγενήθη λόγος κυρίου πρός με, λέγων, λαβὲ τὸ περίζωμα τὸ περὶ τὴν ὀσφύν σου, καὶ ἀνάστηθι, καὶ βάδισον ἐπὶ τὸν εὐφράτην, καὶ κατάκρυψον αὐτὸ ἐκεῖ ἐν τῇ τρυμαλιᾷ τῆς πέτρας. καὶ ἐπορεύθην καὶ ἔκρυψα αὐτὸ ἐν τῷ εὐφράτῃ, καθὼς ἐνετείλατό μοι κύριος. καὶ ἐγένετο καθ' ἡμέρας πολλὰς, καὶ εἶπε κύριος πρός με, ἀνάστηθι, καὶ βάδισον ἐπὶ τὸν εὐφράτην, καὶ λαβὲ ἐκεῖθεν τὸ περίζωμα, ὃ ἐν-

ἐνετειλάμην σοὶ τοῦ κατακρύψαι ἐκεῖ. καὶ ἐπορεύθην ἐπὶ τὸν εὐφράτην ποταμὸν, καὶ ὤρυξα, καὶ ἔλαβον τὸ περίζωμα ἐκ τοῦ τόπου οὗ κατώρυξα αὐτὸ ἐκεῖ, καὶ ἰδοὺ διεφθαρμένον ἦν, ὃ οὐ μὴ χρησθῇ εἰς οὐθέν. καὶ ἐγενήθη λόγος κυρίου πρός με λέγων, τάδε λέγει κύριος, οὕτω φθερῶ τὴν ὕβριν ἰούδα καὶ τὴν ὕβριν ἱερουσαλὴμ, τὴν πολλὴν ταύτην ὕβριν, τοὺς μὴ βουλομένους ὑπακούειν τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς, καὶ τοῦ προσκυνεῖν αὐτοῖς. καὶ ἔσονται ὥσπερ τὸ περίζωμα τοῦτο, ὃ οὐ χρησθήσεται εἰς οὐθέν. ὅτι καθάπερ κολλᾶται τὸ περίζωμα περὶ τὴν ὀσφὺν τοῦ ἀνθρώπου, οὕτως ἐκόλλησα πρὸς ἐμαυτὸν τὸν οἶκον τοῦ ἰσραὴλ, καὶ πάντα οἶκον ἰούδα, τοῦ γενέσθαι μοι εἰς λαὸν ὀνομαστὸν, καὶ εἰς καύχημα καὶ εἰς δόξαν, καὶ οὐκ ἐπήκουσάν μου. καὶ ἐρεῖς πρὸς τὸν λαὸν τοῦτον, πᾶς ἀσκὸς πληρωθήσεται οἴνου. καὶ ἔσται ἐὰν εἴπωσι πρός σε, μὴ γνόντες οὐ γνωσόμεθα, ὅτι πᾶς ἀσκὸς πληρωθήσεται οἴνου; καὶ ἐρεῖς πρὸς αὐτοὺς, τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ πληρῶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην, καὶ τοὺς βασιλεῖς αὐτῶν τοὺς καθημένους υἱοὺς τοῦ δαβὶδ ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ τοὺς ἱερεῖς καὶ τοὺς προφήτας, καὶ τὸν ἰούδαν, καὶ πάντας τοὺς κατοικοῦντας ἐν ἱερουσαλὴμ

μέθυ-

de quo præcepi tibi ut absconderes illuc. Et abii ad Euphraten flumen & fodi, & accepi cingulum de loco eo, in quo abscondere͞ illud, ecce aūt ita corruptū erat, ut prorsus nullo esset usui. Et factum est uerbum domini ad me dicens, Hæc dicit dñs, Sic corrumpam iniuriam Iuda & iniuriam Hierusalē, multam hanc iniuriā, non uolētes audire uerba mea, sed ambulantes post deos alienos, ut seruiant eis & adorent eos. Et erūt sicut cingulū istud, quod post hac nullo usui erit. Quem admodum enim adhæret cingulum circa lumbos hominis, sic adglutinaui ad me ipse domum Israel, & omnem domum Iuda, ut sit mihi populus nominatus, mihiq; sit laudi & gloriæ. At non audierunt me. Et dices ad populum sermonem istum, Hæc dicit dominus deus Israel. Omnis uter implebitur uino, fietq; cum dixerint ad te, Non'ne iam pridē cognoscemus, omnē utrē impleri uino? Et dicas ad eos, Hæc dicit dominus, Ecce ego impleo omnes incolas terræ huius, & reges eorum sedentes filios Dauid in solio eius, & sacerdotes & prophetas, & Iudam, & omnes habitantes in Hierusalem

ebrie,

ebrietate, & dispergam il
los, uirũ & fratrẽ eius, &
patres eorum,& filios eo-
rũ simul. Non desiderabo
dicit dñs,neq; parcã,neq;
miserebor interitus eorũ.
Audite,& auribus perci-
pite, nec erigimini, quia
dñs loquutus est. Tribuite
dño deo uestro gloriam,
antequã tenebræ afferan-
tur, et antequam offendãt
pedes uestri in montibus
tenebricosis. Et expectã-
bitis lucẽ, & illic umbra
mortis, & ponentur in te-
nebras. Quod si non audi
eritis,in occulto plorabit
anima mea, propter super
biam, & profluent ex o-
culis uestris lacrymæ, q̃a
contritus est grex domi-
Infra 31 ni. Dicite regi & poten-
Thren. 1 tibus,demittite uos,& se-
dete,quia sublata est à ca-
pite uestro corona glorię
uestræ. Ciuitates quæ ad
Austrũ conclusæ sunt, &
nemo fuit qui aperiret. Mi
grauit Iudas,completa est
in ea transmigratio perfe-
cta. Erige oculos tuos Hi
erusalem, & uide uenien-
tes ab aquilone. Vbi est
grex,qui datus est tibi,o-
ues gloriæ tuæ? Quid di-
ces,quãdo uisitauerint te,
& tu docuisti eos cõtra te
disciplinas in principatũ?
Nõ ne dolores cõcipient
te sicut mulierẽ parturiẽtẽ?
Infra 30 Et si dixeris ĩ corde tuo,
quare obuiã uenerũt mihi
hæc? Propter multitudinẽ
iniqui

μεθύσματι, καὶ διασκορπιῶ αὐτοὺς
ἄνδρα καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ
τοὺς πατέρας αὐτῶν, καὶ τοὺς υἱοὺς
αὐτῶν ἐν τῷ αὐτῷ. καὶ οὐκ ἐπιπο-
θήσω, λέγει κύριος, καὶ οὐ φείσο-
μαι, καὶ οὐκ οἰκτειρήσω ἀπὸ διαφθο-
ρᾶς αὐτῶν. ἀκούσατε, καὶ ἐνωτίσα-
σθε, καὶ μὴ ἐπαίρεσθε, ὅτι κύριος
ἐλάλησε. δότε τῷ κυρίῳ θεῷ ὑμῶν
δόξαν πρὸ τοῦ συσκοτάσαι, καὶ πρὸ
τοῦ προσκόψαι πόδας ὑμῶν ἐπ' ὄρη
σκοτεινά. καὶ ἀναμενεῖτε εἰς φῶς,
καὶ ἐκεῖ σκιὰ θανάτου, καὶ τεθήσον-
ται εἰς σκότος. ἐὰν δὲ μὴ ἀκούσητε,
κεκρυμμένως κλαύσεται ἡ ψυ-
χή μου ἀπὸ προσώπου ὕβρεως, καὶ κα-
τάξουσιν οἱ ὀφθαλμοὶ ὑμῶν δάκρυα,
ὅτι συνετρίβη τὸ ποίμνιον κυρίου. εἴ-
πατε τῷ βασιλεῖ καὶ τοῖς δυναστεύου-
σι, ταπεινώθητε καὶ καθίσατε, ὅτι κα-
θηρέθη ἀπὸ κεφαλῆς ὑμῶν στέφανος
δόξης ὑμῶν. πόλεις αἱ πρὸς νότον
συνεκλείσθησαν, καὶ οὐκ ἦν ὁ ἀνοί-
γων. ἀπῳκίσθη ἰούδας, συνετέλε-
σαν ἀποικίαν τελείαν. ἀνάβλεψον ὀφ-
θαλμούς σου ἱερουσαλὴμ, καὶ ἴδε τοὺς
ἐρχομένους ἀπὸ βοῤῥᾶ. ποῦ ἐστι τὸ
ποίμνιον ὃ ἐδόθη σοὶ, πρόβατα δό-
ξης σου; τί ἐρεῖς, ὅταν ἐπισκέπτωνταί
σε; καί σὺ ἐδίδαξας αὐτοὺς ἐπί σε
μαθήματα εἰς ἀρχήν; ὠδῖνες καθέ-
ξουσί σε καθὼς γυναῖκα τίκτουσαν. καὶ
ἐὰν εἴπῃς ἐν τῇ καρδίᾳ σου, διὰ τί
ἀπήντησέ μοι ταῦτα; διὰ τὸ πλῆθος

τῆς ἀδικίας σου, ἀνεκαλύφθη τὰ ὀπί-
σθιά σου, παραδειγματισθῆναι τὰς
πτέρνας σου. εἰ ἀλλάξεται αἰθίοψ
τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ
ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνή-
σεσθε εὖ ποιῆσαι μεμαθηκότες κα-
κά. καὶ διέσπειρα αὐτοὺς, ὡς φρύγανα
φερόμενα ὑπὸ ἀνέμου εἰς ἔρημον. οὗ-
τος ὁ κλῆρός σου, καὶ μερὶς τοῦ ἀπειθεῖν
ὑμᾶς ἐμοὶ, λέγει κύριος. ὡς ἐπελά-
θου μου, καὶ ἤλπισας ἐπὶ ψεύδεσι, κἀ-
γὼ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ
πρόσωπόν σου, καὶ ὀφθήσεται ἡ ἀτιμία
σου, καὶ αἱ μοιχεῖαί σου, καὶ ὁ χρεμετι-
σμός σου, καὶ ἡ ἀπαλλοτρίωσις τῆς πορ-
νείας σου. ἐπὶ τῶν βουνῶν, καὶ ἐν τοῖς ἀ-
γροῖς ἑώρακα τὰ βδελύγματά σου.
οὐαί σοι ἱερουσαλήμ, ὅτι οὐ καθηρίσθης
ὀπίσω μου, ἕως τίνος ἔσῃ;

ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΟΣ Ε-
γενήθη πρὸς ἱερεμίαν περὶ
τῆς ἀβροχίας.

Ἐπένθησεν ἡ ἰουδαία, καὶ αἱ πύ-
λαι αὐτῆς ἐκενώθησαν, καὶ ἐσκο-
τώθησαν ἐπὶ τῆς γῆς, καὶ ἡ κραυγὴ
τῆς ἱερουσαλὴμ ἀνέβη, καὶ οἱ μεγι-
στᾶνες αὐτῆς ἀπέστειλαν τοὺς νεωτέ-
ρους αὐτῶν ἐφ᾽ ὕδωρ. ἤλθοσαν ἐπὶ
τὰ φρέατα, καὶ οὐχ εὕροσαν ὕδωρ,
καὶ ἀπέστρεψαν τὰ ἀγγεῖα αὐτῶν
κενά. καὶ τὰ ἔργα τῆς γῆς ἐξέλι-
πεν, ὅτι οὐκ ἦν ὑετός. ᾐσχύνθησαν
οἱ γεωργοὶ, ἐπεκάλυψαν τὰς κεφα-
λὰς αὐτῶν. καὶ ἔλαφοι ἐν ἀγρῷ
ἔτεκον

iniquitatis tuæ, denudata
sunt posteriora tua, deho-
nestata sunt calcanea tua.
Si mutabit Æthiops pel-
lem suã, & pardus uarieta-
tes suas, & uos poteritis
benefacere, cum didiceri-
tis mala. Et dissem inaui
eos quasi stipulas, quæ fe-
runtur à uento in desertũ.
Hæc sors tua, q̃d mihi dif-
fidistis, dicit dñs. Vt obli-
ta es mei, & sperasti in mẽ-
dacijs, ita ego patefaciam
posteriora tua contra faci-
em tuam, & uidebitur ig-
nominia tua, adulterium
tuum, & hinnitus tuus,
& alienatio fornicationis
tuæ, in collibus et in agris
uidi abominationes tuas.
Vę tibi Hierusalem, quia
non mundata es post me,
quousq; eris?

SERMO DOMINI
qui dictus est ad
Hieremiam de
siccitate.

Luxit Iudæa, & portæ Cap. XIIII
eius uacuæ factæ sunt,
& obscuratæ sunt in ter-
ra, & clamor Hierusalem
ascẽdit, & magnates eius
miserunt iuniores suos ad
puteos, & non inuenerũt
aquam. reportauerunt ua-
sa sua uacua. Et opera ter-
ræ defecerunt, quia non
erat pluuia. Pudore affecti
sunt agricolę, uelauerũt ca-
pita sua. Et ceruæ in agro

 pepe-

pepererunt & reliquerũt,
quia nõ erat herba. Ona-
gri ſteterũt in rupibus, tra
xerunt uentũ quaſi draco
nes, defecerunt oculi eo-
rũ, quia non erat herba. à
populo iniquo peccata no
ſtra, reſtiterũt nobis. Dñe
fac nobis propter nomen
tuũ, quoniã multa peccata
noſtra in conſpectu tuo.
Quoniã tibi peccauimus,
expectatio Iſrael dñe, &
ſaluãs in tempore malorũ.
Quare factus es ſicut aduc
na in terra, et quaſi indige
na diuertẽs ad diuerſoriũ?
Nũquid eris quaſi homo
dormiẽs, aut quaſi uir qui
nõ poteſt ſaluari? Et tu in
nobis es dñe, & nomen
tuũ inuocatũ eſt apud nos,
ne obliuiſcaris noſtri. Sic
dicit dñs populo huic, de
lectati ſunt pedes eorũ mo
uendo, neq; pepercerunt,
Neq; deus placuit ſibi in
eis. Nũc recordabitur ini-
quitatis eorum. Et dixit
Supra 7 dñs ad me, Ne ores pro
populo iſto in bonũ, quia
ſi ieiunauerint, non exau-
diã deprecationẽ eorũ; &
ſi obtulerint holocauſta et
ſacrificia, non ea mihi pla
Supra 1 cebunt. Nam gladio et fa
me, & morte ego eos con
ficiam. Ac dixi, Qui es do
mine, ecce prophetæ uati
cinantur, & dicunt, Non
uidebitis gladium, & fa-
mes non erit in uobis,
quia ueritatem & pacem
dabo

ἔτεκον, καὶ ἐγκατέλιπον, ὅτι οὐκ
ἦν βοτάνη. ὄναγροι ἔστησαν ἐπὶ νά-
πας, καὶ εἵλκυσαν ἄνεμον, ἐξέλι-
πον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι οὐκ ἦν
χόρτος. ἀπὸ λαοῦ ἀδικίας αἱ ἁμαρ-
τίαι ἡμῶν, ἀντέστησαν ἡμῖν. κύριε
ποίησον ἡμῖν ἕνεκεν τοῦ ὀνόματός
σου, ὅτι πολλαὶ αἱ ἁμαρτίαι ἡμῶν
ἐναντίον σου. ὅτι σοὶ ἡμάρτομεν, ὑ-
πομονὴ ἰσραὴλ κύριε, καὶ σώ-
ζεις ἐν καιρῷ κακῶν. ἵνα τί ἐγενή-
θης ὡσεὶ πάροικος ἐπὶ τῆς γῆς, καὶ
ὡς αὐτόχθων ἐκκλίνων εἰς κατάλυ-
μα; μὴ ἔσῃ ὥσπερ ἄνθρωπος ὑπ-
νῶν, ἢ ὡς ἀνὴρ μὴ δυνάμενος σώ-
ζειν; καί σύ ἐν ἡμῖν εἶ κύριε, καὶ τὸ
ὄνομά σου ἐπικέκληται ἐφ' ἡμᾶς. μὴ
ἐπιλάθῃ ἡμῶν. οὕτως λέγει κύριος
τῷ λαῷ τούτῳ, ἠγάπησαν κινεῖν πό-
δας αὐτῶν, καὶ οὐκ ἐφείσαντο: καὶ
ὁ θεὸς οὐκ εὐδόκησεν ἐν αὐτοῖς, νῦν
μνησθήσεται τῆς ἀδικίας αὐτῶν. καὶ
εἶπε κύριος πρός με, μὴ προσεύχου
ἐπὶ τοῦ λαοῦ τούτου εἰς ἀγαθά, ὅτι ἐὰν
νηστεύσωσιν, οὐκ εἰσακούσομαι τῆς
δεήσεως αὐτῶν, καὶ ἐὰν προσενέγ-
κωσι ὁλοκαυτώματα καὶ θυσίας,
οὐκ εὐδοκήσω ἐν αὐτοῖς, ὅτι ἐν μα-
χαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ
ἐγὼ συντελέσω αὐτούς. καὶ εἶπα, ὢ
ὢν κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν
προφητεύουσι, καὶ λέγουσιν, οὐκ
ὄψεσθε μάχαιραν, οὐδὲ λιμὸς ἔσται
ἐν ὑμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην
δώσω

θῶσω ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ τόπῳ τούτῳ. καὶ εἶπε κύριος πρός με, ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, οὐκ ἀπέστειλα αὐτοὺς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς. ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας καὶ οἰωνίσματα, καὶ προαιρέσεις καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν. διὰ τοῦτο τάδε λέγει κύριος περὶ τῶν προφητῶν τῶν προφητευόντων ἐπὶ τῷ ὀνόματί μου ψευδῆ, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτοὺς, οἳ λέγουσι, μάχαιρα καὶ λιμὸς οὐκ ἔσται ἐπὶ τῆς γῆς ταύτης, ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, καὶ ἐν λιμῷ συντελεσθήσονται οἱ προφῆται, καὶ ὁ λαὸς, οἷς αὐτοὶ προφητεύουσιν αὐτοῖς. καὶ ἔσονται ἐῤῥιμμένοι ἐν ταῖς διόδοις ἱερουσαλὴμ, ἀπὸ προσώπου τῆς μαχαίρας καὶ τοῦ λιμοῦ, καὶ οὐκ ἔσται ὁ θάπτων αὐτοὺς, καὶ αἱ γυναῖκες αὐτῶν, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν, καὶ ἐκχεῶ ἐπ' αὐτοὺς τὰ κακὰ αὐτῶν. καὶ ἐρεῖς πρὸς αὐτοὺς τὸν λόγον τοῦτον, καταγάγετε ἐπ' ὀφθαλμοὺς ὑμῶν δάκρυα ἡμέρας καὶ νυκτὸς, καὶ μὴ διαλιπέτωσαν, ὅτι συντρίμματι συνετρίβη θυγάτηρ λαοῦ μου, καὶ πληγῇ ὀδυνηρᾷ σφόδρα. ἐὰν ἐξέλθω εἰς τὸ πεδίον, καὶ ἰδοὺ τραυματίαι ῥομφαίας. καὶ ἐὰν εἰσέλθω εἰς τὴν πόλιν, καὶ ἰδοὺ πόνος λιμοῦ, ὅτι ἱερεὺς καὶ προ-

dabo in terra, & in loco isto. Et dixit dominus ad me, Falsa prophetæ prædicunt in nomine meo, non misi eos, & non præcepi eis, non locutus sum ad eos. quia uisiones mendaces, & diuinationes, & auguria, & instituta cordis sui illi uaticinantur uobis. Quamobrem hæc dicit dominus de prophetis uaticinantibus in nomine meo falsa. Et ego non misi eos, qui dicũt, gladius et fames nõ erit in terra hac, acerbo morte afficientur, & fame necabuntur. Vates, unà cum populo quibus futura prædixerunt, proijcientur in uijs Hierusalem, gladio & fame, nec ullus erit, qui eos sepeliat, & uxores eorum, & filij eorum, & filiæ eorum, & effundam super eos mala eorum. Et dices ad eos uerbum hoc, profluant ex oculis uestris lachrymæ dies noctes que, & non deficiant, quia contritione contrita est filia populi mei, & plaga dolorosa uehementer. Si egressus fuero ad agrum, & ecce uulnerati gladio, & si ingressus fuero in ciuitatem, et ecce labor famis. Quia sacerdos & pro-

Infra 23

Thren. 5

n 2

propheta abierunt in terram, quam non sciebant. Nunquid reprobans reiecisti Iudam? & a Sion discessit anima tua. Quare percussisti nos, nec est ulla nobis medicina? Expectauimus pacem, & nō erat bonum, tempus sanitatis, & ecce terror. Cognouimus domine peccata nostra, iniquitates patrum nostrorum, quia peccauimus coram te. Cessa propter nomen tuum, ne perdas thronum gloriæ tuæ. memento, ne dissipes testamentum tuū quod est nobiscum. Nunquid est in idolis gentiū qui pluuias efficiat? Etsi cœlum dabit satietatē suam, non'ne tu es ipse domine? Et expectabimus te, quia tu fecisti hæc omnia.

Cap. XV Et dixit dñs ad me, Si steterit Moyses & Samuel ante faciē meam, nō est animus mihi erga eos. Eijce populū istum, ut egrediant. Et fiet si dixerint ad te, Quò egrediemur? ut dicas ad eos, hæc dicit dñs deus, Quicūq; ad mortē, ad mortem, & quicunque ad gladium, ad gladiū, & quicunq; ad famem, ad famem, & quicunq; ad captiuitatē, ad captiuitatem. Et ulciscar eos quatuor istis generibus, ait dñs, gladio ad interficiendū, canibus ad dilacerādū, bestiis terræ uolucribusq; cœli ad cibum

Zach. 11

προφήτης ἐπορεύθησαν εἰς γῆν, ἣν οὐκ ᾔδεισαν. Μὴ ἀποδοκιμάζων ἀπεδοκίμασας τὸν ἰούδαν; καὶ ἀπὸ σιὼν ἀπέστη ἡ ψυχή σου; ἵνα τί ἔπαισας ἡμᾶς, καὶ οὐκ ἔστιν ἡμῖν ἴασις; ὑπεμείναμεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθά, εἰς καιρὸν ἰάσεως, καὶ ἰδοὺ ταραχή. ἔγνωμεν κύριε ἁμαρτήματα ἡμῶν, ἀδικίας πατέρων ἡμῶν, ὅτι ἡμάρτομεν ἐναντίον σου. κόπασον διὰ τὸ ὄνομά σου, μὴ ἀπολέσῃς θρόνον δόξης σου. μνήσθητι, μὴ διασκεδάσῃς τὴν διαθήκην σου τὴν μεθ' ἡμῶν. μὴ ἔστιν ἐν εἰδώλοις τῶν ἐθνῶν ὑετίζων; καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ αὐτός; καὶ ὑπομενοῦμέν σε κύριε, ὅτι σὺ ἐποίησας πάντα ταῦτα.

Καὶ εἶπε κύριος πρός με, ἐὰν στῇ μωϋσῆς καὶ σαμουὴλ πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. ἐξαπόστειλον τὸν λαὸν τοῦτον, καὶ ἐξελθέτωσαν. καὶ ἔσται ἐὰν εἴπωσι πρός σε, ποῦ ἐξελευσόμεθα; καὶ ἐρεῖς πρὸς αὐτούς, τάδε λέγει κύριος ὁ θεός, ὅσοι εἰς θάνατον, εἰς θάνατον. καὶ ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν. καὶ ὅσοι εἰς λιμόν, εἰς λιμόν. καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν. καὶ ἐκδικήσω ἐπ' αὐτοὺς τέσσαρα εἴδη, λέγει κύριος. τὴν μάχαιραν εἰς σφαγήν, καὶ τοὺς κύνας εἰς διασπασμόν, καὶ τὰ θηρία τῆς γῆς, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ εἰς

βρῶσιν

βρῶσιν καὶ εἰς διαφθοράν. καὶ παραδώσω αὐτοὺς εἰς ἀνάγκας πάσαις ταῖς βασιλείαις τῆς γῆς, διὰ μανασσῆν υἱὸν ἐζεκίου, βασιλέα ἰούδα, περὶ πάντων ὧν ἐποίησεν ἐν ἱερουσαλήμ. τίς φείσεται ἐπί σοι ἱερουσαλήμ; ἢ τίς δειλιάσει ἐπί σοι; ἢ τίς ἀνακάμψει εἰς εἰρήνην σοι; σὺ ἀπεστράφης με, λέγει κύριος. ὀπίσω πορεύσῃ, καὶ ἐκτενῶ τὴν χεῖρά μου, καὶ διαφθερῶ σε, καὶ οὐκέτι ἀνήσω αὐτούς. καὶ διασπερῶ αὐτοὺς ἐν διασπορᾷ ἐν πύλαις λαοῦ μου. ἠτεκνώθησαν, ἀπώλεσαν τὸν λαόν μου διὰ τὰς κακίας αὐτῶν, ἐπληθύνθησαν αἱ χῆραι αὐτοῦ, καὶ ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης. ἐπήγαγον ἐπὶ τὴν μητέρα νεανίσκου ταλαιπωρίαν ἐν μεσημβρίᾳ, ἀπέρριψαν ἐπ᾽ αὐτὴν ἐξαίφνης τρόμον καὶ σπουδήν. ἐκενώθη ἡ τίκτουσα ἑπτά, ἀπεκάκησεν ἡ ψυχὴ αὐτῆς, ἐπέδυ ὁ ἥλιος ἐπ᾽ αὐτῇ, ἔτι μεσούσης τῆς ἡμέρας κατῃσχύνθη, καὶ ὠνειδίσθη. τοὺς καταλοίπους αὐτῶν εἰς μάχαιραν δώσω ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, φησὶ κύριος. οἴμοι ἐγώ, ὡς τίνα μῆτέρ με ἔτεκες, ἄνδρα δικαζόμενον, καὶ διακρινόμενον πάσῃ τῇ γῇ. οὔτε ὠφέλησα, οὔτε ὠφέλησέν με οὐδείς. ἡ ἰσχύς μου ἐξέλιπεν ἐν τοῖς καταρωμένοις με. γένοιτο δέσποτα κατευθυνόντων αὐτῶν. εἰ μὴ παρέστην σοι, ἐν καιρῷ τῶν κακῶν αὐτῶν,

cibũ et ad corruptionem.
Et tradam eos in angusti 4.Reg.21
as omnibus regnis terræ,
propter Manassen filium
Ezechiæ regis Iuda, pro
omnibus quæ fecit in Hie
rusalem. Quis parcet tibi
Hierusalem: uel quis peri-
culum fugiet propter te?
uel quis flectet genua pro
pace tua? Tu dereliquisti
me, dicit dominus. Retro
abibis, & extendam ma-
num meam, et interficiam
te, & non ultra dimittam
eos. Et dispergã eos per Sup.4
dissipationẽ in portis po-
puli mei. Liberis sunt de
stituti, perdiderunt popu-
lum meũ propter malitias
suas, multiplicatæ sunt ui-
duç eorũ & sup arenã ma-
ris. Induxi super matrẽ iu-
uenis miseriã in meridie,
inieci ei repente tremorẽ
& festinationem. Orba fa
cta est, quæ peperit septẽ,
defecit anima eius, occi-
dit sol ei, nam media die
pudore affecta est, & pro-
bro uexata. Superstites
illorum gladio tradam in
conspectu inimicorum eo
rum, dicit dominus. Hei
mihi, qualem mater me
& genuisti uirum rixan-
tem, & iudicio contenden
tem in omni terra. Non
profui, neq; profuit mihi
quisq;. Fortitudo mea de-
fecit propter eos qui male
dicũt mihi. Fiat dñe dirigẽ
tibᵘ eis. Nõ'ne tibi adsiste
bã in tẽpore malorũ eorũ,

& tempore afflictionis eorum, ad tuum cōmodum contra inimicum? Num cognoscetur ferrum: & amictus æris, robur tuum. & thesauros tuos ad prædam exponam, commutationem pro omnibus peccatis tuis, nec quisquam mihi profuit. Et per omnes tuos terminos seruum te faciam in circuitu inimicis tuis, idque in ea terra quam nescis. Nam ignis incēsus est de furore meo, sup uos ardebit. Dñe memento mei, & uisita me, et libera me à persequentib⁹ me, non in patientiam. Sci
Deut. 32 to quod accepi pro te obprobrium à reprobātibus sermones tuos, consume eos. Et erit uerbum tuū mihi lætitia & gaudium cordis mei, quoniam inuocatum est nomen tuum super me. Domine omnipotens, non sedi in concilio ludentium, sed ueritus sum manū tuam. Seorsum sedebā, quia amaritudine repletus sum. Cur ij qui tristem me reddunt, mihi præstant? plaga mea grauis, unde curabor? Facta facta est mihi quasi aqua falsa, nō prę stans fidem. Itaque hæc dicit dominus, Si redieris, & restituam te. & ante faciem meam stabis. & si eduxeris preciosum à uili, quasi os meum eris, & conuertentur ipsi ad

καὶ ἐν καιρῷ θλίψεως αὐτῶν εἰς ἀγαθὰ πρὸς τὸν ἐχθρόν; εἰ γνωσθήσεται σίδηρος; καὶ περιβόλαιον χαλκοῦ ἡ ἰσχύς σου. καὶ τοὺς θησαυρούς σου εἰς προνομὴν δώσω ἀντάλλαγμα διὰ πάσας τὰς ἁμαρτίας σου, οὔτε ὠφέλησέ με οὐδείς. καὶ ἐν πᾶσι τοῖς ὁρίοις σου καταδουλώσω σε κύκλῳ τοῖς ἐχθροῖς σου, ἐν τῇ γῇ ᾗ οὐκ ᾔδεις. ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, ἐφ' ὑμᾶς καυθήσεται. κύριε μνήσθητί μου, καὶ ἐπίσκεψαί με, καὶ ἀθώωσόν με ἀπὸ τῶν καταδιωκόντων με, μὴ εἰς μακροθυμίαν. γνῶθι, ὡς ἔλαβον περὶ σοῦ ὀνειδισμὸν ὑπὲρ τῶν ἀθετούντων τοὺς λόγους σου, συντέλεσον αὐτούς. καὶ ἔσται ὁ λόγος σου ἐμοὶ εἰς εὐφροσύνην καὶ χαρὰν καρδίας μου, ὅτι ἐπικέκληται τὸ ὄνομά σου ἐπ' ἐμοί, κύριε παντοκράτωρ, οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλὰ ηὐλαβούμην ἀπὸ προσώπου χειρός σου. κατὰ μόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. ἵνα τί οἱ λυποῦντές με κατισχύουσί μου; ἡ πληγή μου στερεά, πόθεν ἰαθήσομαι; γινομένη ἐγενήθη μοι ὡς ὕδωρ ψευδές, οὐκ ἔχον πίστιν. διὰ τοῦτο τάδε λέγει κύριος, ἐὰν ἐπιστρέψῃς, καὶ ἀποκαταστήσω σε, καὶ πρὸ προσώπου μου στήσῃ. καὶ ἐὰν ἐξαγάγῃς τίμιον ἀπὸ ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ, καὶ ἀναστρέψουσιν αὐτοὶ πρός

πρὶς σε, καί συ ἐκ ἀναςρέψεις πρὸς αὐτὸς. κὴ δώσω σε τῷ λαῷ τούτῳ, ὡς τεῖχ@ ὀχυρὸν, χαλκοῦν, καὶ πολεμήσουσι πρός σε, καὶ οὐ μὴ δύνωνται πρός σε, διότι μετά σε εἰμὶ τοῦ σώζειν σε, κὴ τοῦ ἐξαιρεῖσθαί σε ἐκ χειρὸς πονηρῶν, κὴ λυτρώσομαί σε ἐκ χειρὸς λοιμῶν.

Καί συ μὴ λάβῃς γυναῖκα, λέγει κύριος ὁ θεὸς ἰσραὴλ, καὶ οὐ γεννηθήσεταί σοι υἱὸς οὐδὲ θυγάτηρ ἐν τῷ τόπῳ τούτῳ. ὅτι τάδε λέγει κύριος ὁ θεὸς, περὶ τῶν υἱῶν καὶ τῶν θυγατέρων τῶν γενομένων ἐν τῷ τόπῳ τούτῳ, καὶ περὶ τῶν μητέρων αὐτῶν τῶν τετοκυιῶν αὐτοὺς, καὶ περὶ τῶν πατέρων αὐτῶν τῶν γεγεννηκότων αὐτοὺς ἐν τῇ γῇ ταύτῃ, ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται, οὐ κοπήσονται, καὶ οὐ ταφήσονται εἰς παράδειγμα ἐπὶ προσώπου τῆς γῆς, ἔσονται τοῖς θηρίοις τῆς γῆς, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. ἐν μαχαίρᾳ πεσοῦνται, κὴ ἐν λιμῷ συντελεσθήσονται. τάδε λέγει κύριος. μὴ εἰσέλθῃς εἰς θίασον αὐτῶν, καὶ μὴ πορευθῇς τοῦ κόψασθαι, καὶ μὴ πενθήσῃς αὐτὸς, ὅτι ἀφέστηκα τὴν εἰρήνην μου ἀπὸ τοῦ λαοῦ τούτου, φησὶ κύριος. οὐ μὴ κόψονται αὐτοὺς, καὶ οὐδὲ ἐντομίδας οὐ μὴ ποιήσωσι, καὶ μὴ ξυρήσωνται, κὴ οὐ μὴ κλασθῇ ἄρτ@ ἐν πένθει αὐτῶν εἰς παράκλησιν ἐπὶ τεθνηκότι. οὐ ποτιοῦσιν αὐτὸν

ad te, & tu non conuerteris ad eos. Et dabo populo huic quasi murum munitum æreum, & bellabūt aduersum te, at nihil poterunt contra te, quia tecum sum, ut saluem te, & liberē te de manu malorum, & eruam te de manu pestilentium.

Cap. XVI

Et tu ne ducas hic uxorem, ait dominus deus Israel, neq; tibi filius nascatur, neq; filia hoc in loco. Nam sic fatur dominus de filijs & filiabus, hoc in loco natis, & de matribus eorum quæ pepererunt eos, & de patribus eorum qui genuerunt eos in terra hac, morte morbosa morientur. Nemo eos lugebit, neq; sepelientur, exemplo super faciem terrę, eruntq; bestijs terræ, & uolucribus cœli, gladio cadent, fameq; consumentur. Hæc dicit dominus, Ne ingrediaris in cœtum eorum, neq; eas ad plorandū, neq; lugeas eos, quia abstuli pacem meam à populo hoc, dicit dominus. Non incident se, neq; incisiones facient, neque radentur, neque frangetur panis in luctu eorum ad consolationem super mortuo, nō potabunt

eum poculo in consolationem super patre suo, & super matre sua. In domum conuiuij non ingredieris, ut sedeas cum eis ad comedendum & bibendū. Propterea hæc dicit dominus deus Israel, Ecce ego dissoluam de loco isto ante oculos uestros, in dieb. uestris, uocem gaudij, & uocem lætitiæ, uocē sponsi, & uocē sponsæ. Fietq́ꝫ cum annūciaueris populo huic omnia uerba hæc, dixerintq́ꝫ tibi, Quare locutus est dominus super nos omnia mala hæc? Quæ iniquitas nostra, q̄d peccatum nostrum, quod cōmisimus coram domino deo nostro? ut dicas illis, Eo quod dereliquerūt me patres uestri, dicit dominus, & secuti sunt deos alienos, & seruierunt eis, & adorauerunt eos, et me dereliquerunt, & legem meam non conseruarunt, & sceleratius egistis patribus uestris. Et ecce sequitur quisq́ꝫ uestrum uoluntates cordis sui mali, ne mihi obtemperetis. Igit̄ proijciā uos ex hac terra in eam terram, quam neque uos sciuistis, neque patres uestri, ac illic seruietis diis alienis noctes diesq́ꝫ, qui nullam uobis tribuent misericordiā. Ob hoc ecce dies ueniunt, dicit dñs, nō dicent

αὐτὸν ποτήριον εἰς παράκλησιν ἐπὶ πατρὶ καὶ ἐπὶ μητρὶ αὐτοῦ. εἰς οἰκίαν πότου οὐκ εἰσελεύσῃ σὺ, τοῦ συγκαθίσαι μετ᾽ αὐτῶν, τοῦ φαγεῖν καὶ πιεῖν. διότι τάδε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, ἰδοὺ ἐγὼ καταλύσω ἐκ τοῦ τόπου τούτου ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν, καὶ ἐν ταῖς ἡμέραις ὑμῶν, φωνὴν χαρᾶς καὶ φωνὴν εὐφροσύνης, φωνὴν νυμφίου καὶ φωνὴν νύμφης. καὶ ἔσται ὅταν ἀναγγείλῃς τῷ λαῷ τούτῳ ἅπαντα τὰ ῥήματα ταῦτα, καὶ εἴπωσι πρός σε, διατί ἐλάλησε κύριος ἐφ᾽ ἡμᾶς πάντα τὰ κακὰ ταῦτα; τίς ἡ ἀδικία ἡμῶν; καὶ τίς ἁμαρτία ἡμῶν, ἣν ἡμάρτομεν ἔναντι κυρίου τοῦ θεοῦ ἡμῶν; καὶ ἐρεῖς πρὸς αὐτοὺς, ἀνθ᾽ ὧν ἐγκατέλιπόν με οἱ πατέρες ὑμῶν, λέγει κύριος, καὶ ᾤχοντο ὀπίσω θεῶν ἀλλοτρίων, καὶ ἐδούλευσαν αὐτοῖς· καὶ προσεκύνησαν αὐτοῖς, καὶ ἐμὲ ἐγκατέλιπον, καὶ τὸν νόμον μου οὐκ ἐφυλάξαντο, καὶ ὑμεῖς ἐπονηρεύσασθε ὑπὲρ τοὺς πατέρας ὑμῶν. καὶ ἰδοὺ ὑμεῖς πορεύεσθε ἕκαστος ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας ὑμῶν τῆς πονηρᾶς, τοῦ μὴ ὑπακούειν μου. καὶ ἀπορρίψω ὑμᾶς ἀπὸ τῆς γῆς ταύτης, εἰς τὴν γῆν ἣν οὐκ ᾔδειτε ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν, καὶ δουλεύσετε ἐκεῖ θεοῖς ἑτέροις, οἳ οὐ δώσουσιν ὑμῖν ἔλεος. διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, οὐκ ἐροῦσιν

ἐροῦσιν ἔτι, ζῇ κύριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου, ἀλλὰ ζῇ κύριος ὃς ἀνήγαγε τὸν οἶκον ἰσραὴλ ἀπὸ γῆς βοῤῥᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν οὗ ἐξώσθησαν ἐκεῖ, καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν, ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν. ἰδοὺ ἐγὼ ἀποστέλλω τοὺς πολλοὺς ἁλιεῖς, λέγει κύριος, καὶ ἁλιεύσουσιν αὐτούς. καὶ μετὰ ταῦτα ἀποστέλλω τοὺς πολλοὺς θηρευτὰς, καὶ θηρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους, καὶ ἐπάνω παντὸς βουνοῦ, καὶ ἐκ τῶν τρυμαλιῶν τῶν πετρῶν. ὅτι οἱ ὀφθαλμοί μου ἐπὶ πάσας τὰς ὁδοὺς αὐτῶν, καὶ οὐκ ἐκρύβη τὰ ἀδικήματα αὐτῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. καὶ ἀνταποδώσω διπλᾶς τὰς κακίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν, ἐφ᾽ αἷς ἐβεβήλωσαν τὴν γῆν μου, ἐν τοῖς θνησιμαίοις τῶν βδελυγμάτων αὐτῶν, καὶ ἐν ταῖς ἀνομίαις αὐτῶν, ἐν αἷς ἐπλημμέλησαν τὴν κληρονομίαν μου. Κύριε σὺ ἰσχύς μου, καὶ βοήθειά μου, καὶ καταφυγή μου ἐν ἡμέραις κακῶν. πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ᾽ ἐσχάτου τῆς γῆς, καὶ ἐροῦσιν, ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλημα, εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θεοὺς, καὶ οὗτοι οὐκ εἰσὶ θεοί. διὰ τοῦτο ἰδοὺ, ἐγὼ δηλώσω αὐτοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά μου, καὶ γνωριῶ

αὐτοῖς

dicent ultra, Viuit dominus, qui eduxit filios Israel de terra Ægypti, sed uiuit dominus qui eduxit domum Israel de terra Aquilonis, & ab omnibus regionibus quò eiecti fuerant, & restituã eos in terram eorum, quam dedi patribus eorũ. Ecce ego mitto piscatores multos, dicit dominus, & piscabuntur eos. Deinde mittam multos uenatores, et uenabuntur eos super omnem montem, & super omnem collem, et de foraminibus petrarum. Quia oculi mei in omnibus uiis eorum, & non sunt abscõditę iniquitates eorũ ab oculis meis. Et reddam duplices iniquitates eorum, & peccata eorum, quibus profanauerunt terram meam, morticinijs abominationũ eorum, iniquitatibus eorũ, quibus malè affecerũt hæreditatẽ meã. Domine fortitudo mea, & auxilium meum, & refugium meum die malorũ, ad te gentes uenient ab extremitatibus terræ, & dicẽt, Quomodo falsa possederunt patres nostri idola, cum nulla sit in illis utilitas, si faciet ipse sibi homo Deos, & hi non sunt dij? Quapropter ego indicabo eis tẽpore illo manum meam, & notam faciam

Supra 23

eis

eis potentiam meam, & ſcient, nomen tibi eſſe dominus.

Cap.XVII Execratus homo, qui ſpem habet in homine, & firmabit carnem brachij ſui, & à domino recedit cor eius. Et fiet tanquam agriomyrica, quæ eſt in ſolitudine, non uidebit cum uenerint bona, & habitabit in ſalſuginibus in deſerto, in terra ſalſa quæ
Pſal.1 non habitatur. At fortunatus homo qui confidit domino, et erit dominus ſpes eius, fietq; ut arbor fructuoſa ad aquas, & in humorem defiget radices ſuas. Nec timebit, cum uenerit æſtus, & erunt in eo rami frondoſi, in anno ſiccitatis non timebit, & non deſinet faciens fructum. Profundum cor ſuper omnia, & homo eſt, et qs co-
1.Reg.16 gnoſcet eum? Ego domi-
Apoc.2 nus ſcrutans corda, pro-
Pſal.7 bans renes, ut dem unicuique ſecundum uias ſuas, & ſecundum fructus ſtudiorum ſuorum. Clamauit perdix, congregauit ea quæ non peperit, faciens diuitias ſuas non cum iudicio, in medio dierum ſuorum relinquet eas, & in nouiſſimis ſuis erit inſipiens. Solium gloriæ elatum principio, ſanctificatio noſtra, expectatio Iſrael. Domine, omnes relinquentes te dedecore

αὐτοῖς τὴν δύναμίν μου, καὶ γνώσονται, ὅτι ὄνομά σοι κύριος.

Ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίσει σάρκα βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ. καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρήμῳ, οὐκ ὄψεται, ὅταν ἔλθῃ τὰ ἀγαθὰ, καὶ κατασκηνώσει ἐν ἁλίμοις, καὶ ἐν ἐρήμῳ, ἐν γῇ ἁλμυρᾷ, ἥτις οὐ κατοικηθήσεται. καὶ εὐλογημένος ὁ ἄνθρωπος ὃς πέποιθως ἐπὶ τῷ κυρίῳ, καὶ ἔσται κύριος ἐλπὶς αὐτοῦ, καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατα, καὶ ἐπὶ ἰκμάδα βαλεῖ τὰς ῥίζας αὐτοῦ. καὶ οὐ φοβηθήσεται, ὅταν ἔλθῃ καῦμα, καὶ ἔσται ἐπ' αὐτῷ στελέχη ἀλσώδη, ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ διαλείψει ποιῶν καρπόν. βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; ἐγὼ κύριος ἐτάζων καρδίας, καὶ δοκιμάζων νεφροὺς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτῶν. ἐφώνησε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκε, ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ἐν ἡμίσει ἡμερῶν αὐτοῦ ἐγκαταλείψει αὐτὸν, καὶ ἐπ' ἐσχάτου αὐτοῦ ἔσται ἄφρων. θρόνος δόξης ὑψωμένος, ἁγίασμα ἡμῶν, ὑπομονὴ ἰσραήλ. κύριε, πάντες οἱ καταλιπόντες σε καταισχυνθή-

σχυνθήτωσαν, ἀφεστηκότες ἐπὶ τῆς γῆς γραφήτωσαν, ὅτι ἐγκατέλιπον πηγὴν ζωῆς, τὸν κύριον. ἴασαί με κύριε, καὶ ἰαθήσομαι. σῶσόν με, καὶ σωθήσομαι, ὅτι καύχημά μου σὺ εἶ. ἰδοὺ αὐτοὶ λέγουσι πρός με, ποῦ ἐστιν ὁ λόγος κυρίου; ἐλθέτω. ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα. σὺ ἐπίστασαι τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου, πρὸ προσώπου σού ἐστι. μὴ γενηθῇς μοι εἰς ἀλλοτρίωσιν, φειδόμενός μου ἐν ἡμέρᾳ πονηρᾷ. καὶ καταισχυνθήτωσαν οἱ διώκοντές με, καὶ μὴ καταισχυνθείην ἐγώ. πτοηθείησαν αὐτοί, καὶ μὴ πτοηθείην ἐγώ. ἐπάγαγε ἐπ' αὐτοὺς ἡμέραν πονηράν, διπλοῦν σύντριμμα σύντριψον αὐτούς. Τάδε λέγει κύριος, βάδισον καὶ στῆθι ἐν ταῖς πύλαις υἱῶν λαοῦ σου, ἐν αἷς εἰσπορεύονται ἐν αὐταῖς βασιλεῖς ἰούδα, καὶ ἐν αἷς ἐκπορεύονται ἐν αὐταῖς, καὶ ἐν πάσαις ταῖς πύλαις ἰερουσαλήμ, καὶ ἐρεῖς πρὸς αὐτούς. ἀκούσατε τὸν λόγον κυρίου βασιλεῖς ἰούδα, καὶ πᾶσα ἰουδαία, καὶ πᾶσα ἰερουσαλήμ, οἱ εἰσπορευόμενοι ἐν ταῖς πύλαις ταύταις. τάδε λέγει κύριος, φυλάσσεσθε τὰς ψυχὰς ὑμῶν, καὶ μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ πᾶν ἔργον οὐ ποιήσετε. ἁγιάσατε τὴν ἡμέραν τῶν σαββάτων, καθὼς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν,

core notentur, recedentes in terra ſcribantur, quia dereliquerunt fontem uitæ, dominum. Sana me domine, & ſanabor, ſalua me, & ſaluabor, quia gloriatio mea tu es. Ecce ipſi dicunt ad me, Vbi eſt uerbum domini? ueniat. Ego uero non laboraui ſequens poſt te, & diem hominis non deſideraui. Tu ſcis quæ egreſſa ſunt per labia mea, ante faciem tuam ſunt. Ne fias mihi in alienationem, parcans mihi in die mala. Pudefiant per ſequentes me, & non pudefiam ego. Paueant ipſi, & non paueam ego, induc ſuper eos diem malam, duplici contritione conſume eos. Hæc dicit dominus. Vade, & ſta in portis filiorum populi, per quas ingrediuntur reges Iuda, & per quas egrediuntur, & in omnibus portis Hieruſalem, & dices ad eos. Audite uerbum domini reges Iuda, & omnis Iudæa & omnis Hieruſalem ingredientes per portas has. Hæc dicit dominus, Cuſtodite animas ueſtras, & ne portetis onera die ſabbatorum. Neq; quoduis opus faciatis, ſanctè agite diem ſabbatorū, ſicut præcepi patribus ueſtris,

ueſtris, & non audierunt, & non inclinauerunt aurem ſuam, & duriores fecerũt ceruices ſuas quàm patres eorum, ne audirent me, ne diſciplinam perciperent. Quod ſi audieritis me, dicit dominus, ne inferatis onera per portas ciuitatis huius die ſabbatorum, & ſanctè agatis diem ſabbatorum, ne faciatis in ea omne opus. Ingredientur per portas ciuitatis huius reges & principes ſedentes ſuper ſoliũ Dauid, & conſcendentes currus & equos ſuos, ipſi et principes eorum, uiri Iuda, & habitantes in Hieruſalem. Et habitabitur ciuitas hæc in æternum, & uenient de ciuitatibus Iuda, & de circuitu Hieruſalem, & de terra Beniamin, & de campo & de monte, & ab Auſtria, ferentes holocauſta & ſacrificia, & thymiamata, & manna, & thus, ferentes laudem in domum domini. At uero ſi non audietis me, ut ſanctè agatis diem ſabbatorum, ne portetis onera, & ingrediamini per portas Hieruſalem die ſabbatorum, incendam ignem in portis eius, qui conſumet ſplendidas domos Hieruſalem, & non extinguetur.

Sermo

ὑμῶν, καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας αὐτῶν, τοῦ μὴ ἀκοῦσαί μου, καὶ τοῦ μὴ δέξασθαι παιδείαν. καὶ ἔσται, ἐὰν εἰσακούσητέ μου, λέγει κύριος, τοῦ μὴ εἰσφέρειν βαστάγματα διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ ποιεῖν πᾶν ἔργον, καὶ εἰσελεύσονται διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης βασιλεῖς καὶ ἄρχοντες, καθήμενοι ἐπὶ θρόνου δαβίδ, καὶ ἐπιβεβηκότες ἐφ᾽ ἅρμασι καὶ ἵπποις αὐτῶν, αὐτοὶ καὶ οἱ ἄρχοντες αὐτῶν, ἄνδρες ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν ἱερουσαλήμ. καὶ κατοικηθήσεται ἡ πόλις αὕτη εἰς τὸν αἰῶνα, καὶ ἥξουσιν ἐκ τῶν πόλεων ἰούδα, καὶ κυκλόθεν ἱερουσαλήμ, καὶ ἐκ γῆς βουνιαμείν, καὶ ἐκ τῆς πεδινῆς, καὶ ἐκ τοῦ ὄρους καὶ ἐκ τῶν πρὸς νότον φέροντες ὁλοκαυτώματα καὶ θυσίας καὶ θυμιάματα, καὶ μάννα καὶ λίβανον, φέροντες αἴνεσιν εἰς οἶκον κυρίου. καὶ ἔσται ἐὰν μὴ ἀκούσητέ μου τοῦ ἁγιάζειν τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ αἴρειν βαστάγματα, καὶ μὴ εἰσπορεύεσθαι ταῖς πύλαις ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἀνάψω πῦρ ἐν ταῖς πύλαις αὐτῆς, καὶ καταφάγεται ἄμφοδα ἱερουσαλήμ, καὶ οὐ σβεσθήσεται.

λόγ

Ὁ λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς Ἱερεμίαν, λέγων, ἀνάστηθι καὶ κατάβηθι εἰς οἶκον τοῦ κεραμέως, καὶ ἐκεῖ ἀκούσῃ τοὺς λόγους μου. καὶ κατέβην εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ ἔπεσε τὸ ἀγγεῖον, ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ πάλιν αὐτὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ ποιῆσαι. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, ἀκαθὼς ὁ κεραμεὺς οὗτος, οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς οἶκος Ἰσραήλ; ἰδοὺ ὡς ὁ πηλὸς τοῦ κεραμέως, ὑμεῖς ἐστὲ ἐν χερσίν μου. πέρας λαλήσω ἐπὶ ἔθνος, ἢ ἐπὶ βασιλείαν, τοῦ ἐξᾶραι αὐτοὺς καὶ τοῦ ἀπολλύειν. καὶ ἐπιστρέψει τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν, καὶ μετανοήσω περὶ τῶν κακῶν, ὧν ἐλογισάμην, τοῦ ποιῆσαι αὐτοῖς. καὶ πέρας λαλήσω ἐπὶ ἔθνος καὶ βασιλείας, τοῦ ἀνοικοδομεῖσθαι καὶ τοῦ καταφυτεύεσθαι, καὶ ποιήσωσι τὰ πονηρὰ ἐναντίον μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου, καὶ μετανοήσω περὶ τῶν ἀγαθῶν ὧν ἐλάλησα, τοῦ ποιῆσαι αὐτοῖς. καὶ νῦν εἶπον πρὸς ἄνδρας Ἰούδα, καὶ πρὸς τοὺς κατοικοῦντας Ἱερουσαλήμ, ἰδοὺ ἐγὼ πλάσσω ἐφ᾽ ὑμᾶς κακὰ, καὶ λογίζομαι ἐφ᾽ ὑμᾶς λογισμόν. ἀποστραφήτω δὴ ἕκαστος ἀπὸ ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ καλλίονα ποιήσατε

τὰ

Cap.XVIII

Sermo qui factus est ad Hieremiam à domino, dicens, Surge, & descende in domum figuli, & illic audies uerba mea. Et descendi in domum figuli, & ecce ipse faciebat opus super lapides, & dissipatum est uas quod fecerat in manibus suis, & rursum fecit ex illo uas alterum, quale placuit in conspectu eius ut faceret. Et factum est uerbum domini ad me dicens, Non'ne ut figulus hic, sic ego potero uobis facere domus Israel, dicit dominus? Ecce ut lutum in manu figuli, sic uos estis in manibus meis domus Israel. Ad extremum loquar aduersus gentem, aduersus regnum, ut auferam eos, & disperdã. Si reuersa fuerit gens illa à malis suis, et pœnitebit me malorum quæ cogitaui facere illis. Et momento loquar super gentem & super regna, ut rursum ędificentur, et plãtentur, quod si fecerint mala corã me, ne audiant uocem meam, & pœnitebit me bonorum, quæ dixi me eis suppeditaturum. Et nunc dic ad uiros Iuda, & ad habitantes Hierusalem, sic dicit dominus. Ecce ego fingo super uos mala, & cogito in uos rationem. Reuertatur iã unusquisq; à uia sua mala, et meliora facite

studia

studia uestra, & uias uestras. Et dixerunt, Fortes esse uolumus, quia alienatiões nostras sequemur, et singuli quae cordi placẽt, faciem⁹. Propter hoc hęc dicit dñs, Interrogate iam in gẽtibus. Quis audiuit ta lia horribilia, qualia supra modum fecit uirgo Israel? Nunquid deficient de petra ubera, uel nix de Libano? Nũ fluẽt aquae uiolenter sursum uersus. Etẽm obliti sunt mei, popul⁹ meus frustra adoleuit, et ꝑ firmabunt in uijs suis semitis sempiternis, ut ascendãt semitas non habentes uiam ad iter, ut uertat terrã eorũ in uastationẽ, & sibilũ sempiternũ. Omnes praetereuntes per eam stupebũt, & mouebunt capita sua. Per uentũ urentem dispergã eos coram facie inimicorum suorũ, ostendam illis diem interitus eorũ. Et dixerunt, Venite, cogitemus cõtra Hieremiam cogitationẽ, quia non peribit lex à sacerdote, nec cõsilium à prudente, nec sermo à propheta. Venite, et percutiamus eũ lingua, & non audiamus omnes sermones eius. Exaudi me dñe, & exaudi uocẽ iustã meam. An retribuunt pro bonis mala, quia collocuti sunt uerbã contra animam meam, & castigationem eorum caelarunt me.

τὰ ἐπιτηδεύματα ὑμῶν. καὶ εἶπαν, ἀνδριούμεθα, ὅτι ὀπίσω τῶν ἀποστροφῶν ἡμῶν πορευσόμεθα, καὶ ἕκαστος τὰ ἀρεστὰ τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς ποιήσομεν. διὰ τοῦτο τάδε λέγει κύριος, ἐρωτήσατε δὴ ἐν ἔθνεσι, τίς ἤκουσε τοιαῦτα φρικτὰ, ἃ ἐποίησε σφόδρα παρθένος ἰσραήλ; μὴ ἐκλείψουσιν ἀπὸ πέτρας μαστοί, ἢ χιὼν ἀπὸ τοῦ λιβάνου; μὴ ἐκκλίνει ὕδωρ βιαίως ἄνω φερόμενον; ὅτι ἐπελάθοντό μου λαός μου, εἰς κενὸν ἐθυμίασαν, καὶ ἀσθενήσουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν σχοίνους αἰωνίους, τοῦ ἐπιβῆναι τρίβους οὐκ ἔχοντας ὁδὸν εἰς πορείαν, τοῦ τάξαι τὴν γῆν αὐτῶν εἰς ἀφανισμὸν, καὶ σύριγμα αἰώνιον. πάντες οἱ διαπορευόμενοι δι᾽ αὐτῆς ἐκστήσονται, καὶ κινήσουσι τὴν κεφαλὴν αὐτῶν. ὡς ἄνεμον καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον ἐχθρῶν αὐτῶν, δείξω αὐτοῖς ἡμέραν ἀπωλείας αὐτῶν. καὶ εἶπαν, δεῦτε λογισώμεθα ἐπὶ ἱερεμίαν λογισμὸν, ὅτι οὐκ ἀπολεῖται νόμος ἀπὸ ἱερέως, καὶ βουλὴ ἀπὸ συνετοῦ, καὶ λόγος ἀπὸ προφήτου. δεῦτε καὶ πατάξωμεν αὐτὸν ἐν γλώσσῃ, καὶ οὐκ ἀκουσόμεθα πάντας τοὺς λόγους αὐτοῦ. εἰσάκουσόν μου κύριε, καὶ εἰσάκουσον τῆς φωνῆς τοῦ δικαιώματός μου. εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακὰ, ὅτι συνελάλησαν ῥήματα κατὰ τῆς ψυχῆς μου, καὶ τὴν κόλασιν αὐτῶν ἔκρυψάν

μοι.

μι. μνήσθητι κύριε ἑστηκότος μου
κατὰ πρόσωπόν σου, τοῦ λαλῆσαι ὑ-
πὲρ αὐτῶν ἀγαθὰ, τοῦ ἀποστρέψαι τὸν
θυμόν σου ἀπ᾽ αὐτῶν. διὰ τοῦτο δὸς
τοὺς υἱοὺς αὐτῶν εἰς λιμὸν, καὶ ἄθροι-
σον αὐτοὺς εἰς χεῖρας μαχαίρας. γε-
νέσθωσαν αἱ γυναῖκες αὐτῶν ἄτεκ-
νοι καὶ χῆραι, καὶ οἱ ἄνδρες αὐτῶν
ἔστωσαν ἀνῃρημένοι θανάτῳ, καὶ οἱ
νεανίσκοι αὐτῶν πεπτωκότες μα-
χαίρᾳ ἐν πολέμῳ. γενηθήτω κραυ-
γὴ ἐν ταῖς οἰκίαις αὐτῶν, ἐπάγαγε
ἐπ᾽ αὐτοὺς λῃστὰς ἄφνω, ὅτι ἐνεχεί-
ρησαν λόγον εἰς σύλληψίν μου, καὶ
παγίδας ἔκρυψαν ἐπ᾽ ἐμέ. καί σὺ
κύριε ἔγνως ἅπασαν τὴν βουλὴν
αὐτῶν ἐπ᾽ ἐμὲ εἰς θάνατον. μὴ ἀ-
θωώσῃς τὰς ἀδικίας αὐτῶν, καὶ
τὰς ἁμαρτίας αὐτῶν ἀπὸ προσώπου
σου μὴ ἐξαλείψῃς. γενέσθω ἡ ἀσθέ-
νεια αὐτῶν ἐναντίον σου, ἐν καιρῷ θυ-
μοῦ σου ποίησον ἐν αὐτοῖς.

Τότε εἶπε κύριος πρός με, βά-
δισον, καὶ κτῆσαι βῖκον πεπλασμέ-
νον ὀστράκινον, καὶ ἄξεις ἀπὸ τῶν πρεσβυ-
τέρων τοῦ λαοῦ, ἀπὸ πρεσβυτέρων
τῶν ἱερέων, καὶ ἐξελεύσῃ εἰς τὸ πο-
λυάνδριον υἱῶν τῶν τέκνων αὐτῶν, ὅ ἐ-
στιν ἐπὶ τῶν προπύλων θυρῶν τῆς πό-
λεως θαρσὶς, καὶ ἀνάγνωθι ἐκεῖ πάν-
τας τοὺς λόγους τούτους, οὓς ἂν λα-
λήσω πρός σε, καὶ ἐρεῖς αὐτοῖς, ἀκού-
σατε τὸν λόγον κυρίου βασιλεῖς ἰού-
δα, καὶ ἄνδρες ἰούδα, καὶ οἱ κατοικοῦν-
τες

me. Memento domine, quod steterim ego ante faciem tuam, ut loquerer pro eis bona, ut auerterem indignationem tuam ab eis. Propterea da filios eorum in famem, & congrega eos ad manus gladij. Fiant uxores eorum sine filiis, & uiduæ & uiri eorum mortem obeant, & iuuenes eorum cadant gladio in prælio. Fiat clamor in domibus eorum, induces super eos latrones repente, quia aggressi sunt uerbum in captionem mei, & laqueos absconderunt contra me. At tu domine scis omne consilium eorum aduersum me in mortem, ne mundes iniquitates eorum, & peccata patrum eorum à facie tua ne deleas. Fiat infirmitas eorum coram te, tempore furoris tui agas cum illis.

Cap. XIX.

Tunc dixit dominus, Vade & acquire dolium fictile testeum à senioribus populi, à senioribus sacerdotum, & egredieris in polyandrion filiorum illorum, quod est in uestibulis ciuitatis Tharsis, & lege illic omnia uerba quæcunque loquutus fuero ad te, & dices eis: Audite uerbum domini reges uiri que Iudę, & habitan-

tes

tes in Hierusalem, & qui
ingrediminı per istas por-
tas. Hæc dicit dominus
Sup.6 exercituū deus Israel, Ec-
ce induco super locum i-
stum mala, ita ut omni au-
dienti ea tinnient ambæ
aures eius, pro eo quod
dereliquerunt me, & aba
lienauerunt locum istum,
& adoleuerunt in ea dijs
alienis, quos neq; ipsi co-
gnouerunt, neque patres
eorum. Et reges Iuda re-
pleuerūt locum istum san-
guinibus innocentiū. Et
ædificauerunt excelsa Ba
al, ad comburendum fili-
os suos in igne, quę neque
præcepi, neq; cogitaui in
corde meo. Ecce igitur
dies ueniūt, dicit domin⁹,
quibus non dicetur am-
plius ruinam esse, & poly
andriū filij Ennō, sed po
lyandriū sepulchri. Nam
trucidabo senatum Iudæ,
& Hierusalem in illo lo-
co, & deiiciā eos gladio
in conspectu inimicorum
suorum, & in manibus
quærentium animas eo-
rum, et dabo mortuos eo-
rum ad escam uolatilibus
coeli & bestijs terræ, &
afferam ciuitati huic in-
teritum & sibilum. Om-
nis qui pręterierit in ea cō
tristabitur, & sibilabit su-
per omni plaga eius. Et
comedēt carnes filiorū su-
orū, et carnes filiarū suarū.

τοῦ εἰς ἱερουσαλὴμ, καὶ οἱ εἰσπορευό-
μενοι ἐν ταῖς πύλαις ταύταις. τά-
δε λέγει κύριος ὁ θεὸς ἰσραὴλ, ἰδοὺ
ἐγὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κα-
κὰ, ὥστε παντὸς ἀκούοντος αὐτὰ ἠ-
χήσει τὰ ὦτα αὐτοῦ. ἀνθ' ὧν ἐγκα-
τέλιπόν με, καὶ ἀπηλλοτρίωσαν τὸν
τόπον τοῦτον, καὶ ἐθυμίασαν ἐν αὐ-
τῷ θεοῖς ἀλλοτρίοις, οἷς οὐκ ᾔδεισαν
αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν. καὶ οἱ
βασιλεῖς ἰούδα ἔπλησαν τὸν τόπον
τοῦτον αἱμάτων ἀθώων καὶ ᾠκοδό-
μησαν ὑψηλὰ τῷ βάαλ, τοῦ κατα-
καίειν τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ, ἃ
οὐκ ἐνετειλάμην, οὐδὲ διενοήθην
ἐν τῇ καρδίᾳ μου. διὰ τοῦτο ἰδοὺ ἡ-
μέραι ἔρχονται, λέγει κύριος, καὶ
οὐ κληθήσεται τῷ τόπῳ τούτῳ, ἔτι
διάπτωσις, καὶ πολυάνδριον υἱοῦ
ἐννὸμ, ἀλλ' ἢ πολυάνδριον τῆς τα-
φῆς. καὶ σφάξω τὴν βουλὴν ἰούδα, καὶ
τὴν ἱερουσαλὴμ ἐν τῷ τόπῳ τούτῳ,
καὶ καταβαλῶ αὐτοὺς ἐν μαχαίρᾳ
ἐναντίον τῶν ἐχθρῶν αὐτῶν, καὶ ἐν χερ-
σὶ τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν.
καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς βρῶ-
σιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς
θηρίοις τῆς γῆς, καὶ κατάξω τὴν πόλιν
ταύτην εἰς ἀφανισμὸν καὶ εἰς συριγ-
μόν. πᾶς ὁ παραπορευόμενος ἐπ'
αὐτῆς, σκυθρωπάσει, καὶ συριεῖ ὑπὲρ
ὑπὲρ πάσης τῆς πληγῆς ταύτης. καὶ
ἔδονται τὰς σάρκας τῶν υἱῶν αὐτῶν,
καὶ τὰς σάρκας τῶν θυγατέρων αὐτῶν.

καὶ ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ ἔδονται ἐν τῇ περιοχῇ, καὶ ἐν τῇ πολιορκίᾳ ᾗ πολιορκήσουσιν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. καὶ συντρίψεις τὸν βίκον κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν ἐκπορευομένων μετὰ σοῦ, καὶ ἐρεῖς πρὸς αὐτούς, τάδε λέγει κύριος. οὕτως συντρίψω τὸν λαὸν τοῦτον, καὶ τὴν πόλιν ταύτην, καθὼς συντρίβεται ἄγγος ὀστράκινον, ὃ οὐ δυνήσεται ἰαθῆναι ἔτι. οὕτως ποιήσω, λέγει κύριος, τῷ τόπῳ τούτῳ, καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ, τοῦ δοθῆναι τὴν πόλιν ταύτην, ὡς τὴν διαπίπτουσαν. καὶ οἶκοι ἱερουσαλὴμ, καὶ οἶκοι βασιλέων ἰούδα ἔσονται, καθὼς ὁ τόπος ὁ διαπίπτων ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν ἐν πάσαις ταῖς οἰκίαις, ἐν αἷς ἐθυμίασαν ἐπὶ τῶν δωμάτων αὐτῶν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις. καὶ ἦλθεν ἱερεμίας ἀπὸ τῆς διαπτώσεως τοῦ τόπου ταφέθ, οὗ ἀπέστειλεν αὐτὸν κύριος ἐκεῖ τοῦ προφητεῦσαι. καὶ ἔστη ἐν τῇ αὐλῇ οἴκου κυρίου, καὶ εἶπε πρὸς πάντα τὸν λαὸν, τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὴν πόλιν ταύτην, καὶ ἐπὶ πάσας τὰς πόλεις αὐτῆς, καὶ ἐπὶ τὰς κώμας αὐτῆς, ἅπαντα τὰ κακὰ ἃ ἐλάλησα ἐπ' αὐτὴν, καὶ ἐπὶ τὰς πόλεις αὐτῆς, ὅτι ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, τοῦ μὴ εἰσακούειν τῶν ἐντολῶν μου.

Καὶ

Et quilibet carnes proximi sui comedent in munitione & in obsidione, qua obsidebunt eos inimici eorum. Tum conteres dolium ante oculos uirorum egredientium tecum, et dices ad eos, Hæc dicit dominus. Sic conteram populum istum, & ciuitatem hanc, sicut confringitur uas testaceum quod non potest amplius restitui. Sic faciam dicit dominus, loco huic, & habitantibus in eo, ut reddatur hęc ciuitas, tanquam terra quę ruinam patitur. Et fient domus Hierusalem & domus regum Iuda, sicut locus qui ruit propter fordes suas in omnibus domibus, quarum in testis adoleuerunt omni militiæ coeli, & libauerunt libamina diis alienis. Et uenit Hieremias de ruina loci Taphet, quò misit eum dominus uaticinari. Et stetit in atrio domini, & dixit ad omnem populum. Hæc dicit dominus exercituum deus Israel. Ecce ego induco super Hierusalem, et super omnes ciuitates, & super uicos eius omnia mala, quæ loquutus sum super eam, & super ciuitates eius, quoniam duram effecerunt ceruicem suam, ne audirent præcepta mea.

Supra 18
Infra 49

o Et

Cap.XX Et audiuit Paschor filius Emmor sacerdos, & hic erat constitutus princeps domus domini, Hieremiam prædicentem sermones istos, & percussit eum, & iniecerunt eum in carcerem, qui erat in porta domus Beniamin superioris, quæ erat in domo domini. Et eduxit Paschor Hieremiam de carcere. Et ait illi Hieremias, Non Paschor uocauit dominus nomē tuum, sed demigrantē. Quia hæc dicit dominus, Ecce ego efficiam te transmigrantem cum omnibus amicis tuis, & cadent gladio inimicorum suorum, & oculi tui uidebunt, & te et omnem Iudam dabo in manus regis Babylonis & transmigrare facient eos, & percutient eos gladiis. Et dabo omnem uim ciuitatis huius, & omnes labores eius, & omnes thesauros regis Iuda in manus inimicorum eius, & ducent eos Babylonem. Tu uero & omnes habitantes in domo tua ibitis in captiuitate, & in Babylone morieris, & ibi sepelieris tu & omnes amici tui, quibus uaticinatus es falso. Decepisti me domine, & deceptus sum. obtinuisti, & potuisti. Factus sum in risum, totum diem perse-

Infra 37

Καὶ ἤκουσε πασχὼρ ὑὸς ὁ σεμμὴρ ὁ ἱερεὺς, καὶ οὗτος ἦν καθισταμένος ἡγούμενος οἴκου κυρίου, τοῦ ἱερεμίου προφητεύοντος τοὺς λόγους τούτους, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἐνέβαλεν αὐτὸν εἰς τὸν καταῤῥάκτην, ὃς ἦν ἐν πύλῃ οἴκου βενιαμὴν τοῦ ἀνωτέρου, ὃ ἦν ἐν οἴκῳ κυρίου. καὶ ἐξήγαγε πασχὼρ τὸν ἱερεμίαν ἐκ τοῦ καταῤῥάκτου. καὶ εἶπεν αὐτῷ ἱερεμίας, οὐχὶ πασχὼρ ἐκάλεσε τὸ ὄνομά σου, ἀλλ' ἢ μέτοικον. διότι τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ δίδωμί σε εἰς μετοικίαν σὺν πᾶσι τοῖς φίλοις σου, καὶ πεσοῦνται μαχαίρᾳ ἐχθρῶν αὐτῶν, καὶ οἱ ὀφθαλμοί σου ὄψονται. καί σε καὶ πάντα ἰούδα δώσω εἰς χεῖρας βασιλέως βαβυλῶνος, καὶ μετοικοῦσιν αὐτοὺς, καὶ κατακόψουσιν αὐτοὺς ἐν μαχαίραις. καὶ δώσω τὴν πᾶσαν ἰσχὺν τῆς πόλεως ταύτης, καὶ πάντας τοὺς πόνους αὐτῆς, καὶ πάντας τοὺς θησαυροὺς τοῦ βασιλέως ἰούδα εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ ἄξουσιν αὐτοὺς εἰς βαβυλῶνα. καί σὺ πασχὼρ καὶ πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, πορεύσεσθε ἐν αἰχμαλωσίᾳ, καὶ ἐν βαβυλῶνι ἀποθανῇ, καὶ ἐκεῖ ταφήσῃ σὺ καὶ πάντες οἱ φίλοι σου, οἷς ἐπροφήτευσας αὐτοῖς ψευδῆ. ἠπάτησάς με κύριε, καὶ ἠπατήθην. ἐκράτησας, καὶ ἠδυνάσθης. ἐγενόμην εἰς γέλωτα, πᾶσαν ἡμέραν

διετέλ

διετέλεσα μυκτηριζόμενος, ὅτι πι-
κρῷ λόγῳ μου γελάσομαι. ἀθεσίαν
καὶ ταλαιπωρίαν ἐπικαλέσομαι. ὅ-
τι ἐγενήθη λόγος κυρίου εἰς ὀνειδισ-
μὸν ἐμοί, καὶ εἰς χλευασμὸν πᾶ-
σαν ἡμέραν μου. καὶ εἶπα, οὐ μὴ ὀνο-
μάσω τὸ ὄνομα κυρίου, καὶ οὐ μὴ λα-
λήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ. καὶ
ἐγένετο ὡς πῦρ καιόμενον φλέγον
ἐν τοῖς ὀστοῖς μου, καὶ παρεῖμαι πάν-
τοθεν, καὶ οὐ δύναμαι φέρειν, ὅτι
ἤκουσα ψόγον πολλῶν συναθροιζο-
μένων κυκλόθεν. ἐπισύστητε, καὶ
ἐπισυστῶμεν ἐπ' αὐτῷ πάντες ἄν-
δρες φίλοι αὐτοῦ. τηρήσατε τὴν ἐπί-
νοιαν αὐτοῦ, εἰ ἀπατηθήσεται, καὶ
δυνησόμεθα αὐτῷ, καὶ ληψόμεθα
τὴν ἐκδίκησιν ἡμῶν ἐξ αὐτοῦ. ὁ δὲ
κύριος μετ' ἐμοῦ καθὼς μαχητὴς
ἰσχύων. διὰ τοῦτο ἐδίωξαν, καὶ νοῆ-
σαι οὐκ ἠδύναντο. ᾐσχύνθησαν σφό-
δρα, ὅτι οὐκ ἐνόησαν ἀτιμίας αὐ-
τῶν, αἳ δι' αἰῶνος οὐκ ἐπιλησθήσον-
ται. κύριε δοκιμάζων δίκαια, συ-
νιῶν νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν
παρὰ σοῦ ἐκδίκησιν ἐν αὐτοῖς. ὅτι
πρός σε ἀπεκάλυψα τὰ ἀπολογήματά
μου. ᾄσατε τῷ κυρίῳ, αἰνέσατε αὐ-
τῷ, ὅτι ἐξείλατο τὴν ψυχὴν πένη-
τος ἐκ χειρὸς στερεωτέρων. ἐπικατά-
ρατος ἡ ἡμέρα, ἐν ᾗ ἐτέχθην ἐν αὐ-
τῇ. ἡ ἡμέρα ἐν ᾗ ἔτεκέν με ἡ μήτηρ
μου, μὴ ἔστω ἐπευκτή. ἐπικατάρατος
ὁ ἄνθρωπος ὁ εὐαγγελισάμενος
τῷ

perseueraui irrisus, quia
amaro uerbo meo ride-
bor. Præuaricationem &
miseriam inuocabo, quia
datum est mihi uerbū dñi
probro, & despectui tota
die mea. Ergo dixi, non
amplius appellabo nomē
domini, nec uerba de eius
nomine faciam. Et factus
est quasi ignis ardens cō- Psal. 30
burens in ossibus meis, &
dissolutus sum undiq;, &
non possum ferre, quia au
diui uituperationem mul-
torum congregatorum un
diq;. Resistite, & resista-
mus ei omnes uiri amici
eius. Obseruate cogita-
tionem eius, si decep-
tus fuerit, potiores eri-
mus illi, & ita ulciscemur
illi uaticinantur uobis.
Nam non misi eos, dicit Supra 14
dñs, & prophetant in no- & 23
mine meo iniuste, ut per- Infra 29
dant uos. Et peribitis uos
& prophetæ uestri pro-
phetantes uobis iniuste
mendacia. Vobis & sa-
cerdotibus & populo hu-
ic loquutus sum, dicens,
Sic dixit dominus. Ne au
diatis uerba prophetarum
qui uobis prædicunt, &
dicunt, Ecce uasa ędis do
mini ex Babylone redu-
centur. Nam nequiter no
bis uaticinantur, non misi
eos. Si uates sunt, si sermo
dei in illis est, occurrant
mihi. Nam sic fatur domi
nus. Etiam relicta uasa,
quæ nondum accepit rex
Babylonis, cum transtulis
set Iechoniam de Hierusa-
lem, Babylonem ducen-
tur, dicit dominus.

Et factum est quarto an Cap. XXVIII
no regnante Sedecia rege
Iuda, in mense quinto, di-
xit mihi Ananias filius A-
zor pseudopropheta qui
erat de Gabaon, in domo
domini, ante oculos sacer-
dotum, & totius populi,
dicēs, Sic dixit dominus.
Contriui iugum regis Ba
bylonis. Nam biennii spa
cio reducam in locum
istum omnia uasa domus
domini, & Iechoniam.

& coloniam Iuda, quia conteram iugū regis Babylonis. Et dixit Hieremias propheta ad Ananiam, ante oculos totius populi, & ante oculos sacerdotum, qui stabant in æde domini. & ait Hieremias, Vere sic faciat dominus, ratum faciat dominus uerbum tuum quod tu prædicis, ut referantur uasa domus domini, & omnis transmigratio Babylonis in locum istum eorum. Verū audite uerbū hoc, quod ego dico ad aures uestras, & ad aures totius populi. Prophetæ qui fuerunt priores me et priores uobis à seculo, & prophetauerunt super terram multā, & super regna magna ad prælium. Propheta qui uaticinatus est in pacem, cum euenerit, id quod dixit, tum cognoscent prophetam, quem misit eis dominus in fide. Et tulit Ananias ante oculos totius populi catenas de collo Hieremiæ, & contriuit eas. Et ait Ananias in conspectu totius populi dicēs, Dixit dominus. Sic conteram iugum regis Babylonis post biennij spacium à ceruicibus omniū gentium. Et abijt Hieremias in uiam suam, tum factum est uerbū dn̄s ad Hieremiam, postq̄ confregit Ananias catenas de collo eius, dicens, Vade, & dic ad Ananiam,

καὶ τὴν ἀποικίαν ἰούδα. ὅτι συντρίψω τὸν ζυγὸν βασιλέως βαβυλῶνος. καὶ εἶπεν ἱερεμίας πρὸς ἀνανίαν, κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ, καὶ κατ' ὀφθαλμοὺς τῶν ἱερέων τῶν ἑστηκότων ἐν οἴκῳ κυρίου. καὶ εἶπεν ἱερεμίας, ἀληθῶς οὕτω ποιήσαι κύριος, στήσαι τὸν λόγον σου, ὃν σὺ προφητεύεις, τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου κυρίου, καὶ πᾶσαν τὴν ἀποικίαν ἐκ βαβυλῶνος εἰς τὸν τόπον τοῦτον αὐτῶν. πλὴν ἀκούσατε τὸν λόγον κυρίου ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα ὑμῶν, καὶ εἰς τὰ ὦτα παντὸς τοῦ λαοῦ, οἱ προφῆται οἱ γεγονότες πρότεροί μου, καὶ πρότεροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος, καὶ ἐπροφήτευσαν ἐπὶ γῆς πολλῆς, καὶ ἐπὶ βασιλείας μεγάλας εἰς πόλεμον, ὁ προφήτης ὁ προφητεύσας εἰς εἰρήνην ἐλθόντος τοῦ λόγου, ἐπιγνώσονται τὸν προφήτην ὃν ἀπέστειλεν αὐτοῖς κύριος ἐν πίστει. καὶ ἔλαβεν ἀνανίας ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου ἱερεμίου, καὶ συνέτριψεν αὐτούς. καὶ εἶπεν ἀνανίας κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ, λέγων, εἶπε κύριος. οὕτως συντρίψω τὸν ζυγὸν βασιλέως βαβυλῶνος ἀπὸ τραχήλων πάντων τῶν ἐθνῶν. καὶ ᾤχετο ἱερεμίας εἰς τὴν ὁδὸν αὐτοῦ, καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν, μετὰ τὸ συντρίψαι ἀνανίαν τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου αὐτοῦ, λέγων, βάδιζε, καὶ εἶπον πρὸς ἀνανίαν,

ἀνανίαν, οὕτως λέγων, εἶπε κύριος. κλοιοὺς ξυλίνους συνέτριψας, καὶ ποιήσω ἀντ' αὐτῶν κλοιοὺς σιδηροῦς. ὅτι οὕτως εἶπε κύριος, ζυγὸν σιδηροῦν ἔθηκα ἐπὶ τὸν τράχηλον πάντων τῶν ἐθνῶν, ἐργάζεσθαι τῷ βασιλεῖ βαβυλῶνος. καὶ εἶπεν ἱερεμίας τῷ ἀνανίᾳ, οὐκ ἀπέσταλκέ σε κύριος, καὶ πεποιθέναι ἐποίησας τὸν λαὸν τοῦτον ἐπ' ἀδίκῳ. διὰ τοῦτο οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ ἐξαποστέλλω σε ἀπὸ προσώπου τῆς γῆς, τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ. καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ.

Καὶ οὗτοι οἱ λόγοι τῆς βίβλου, οὓς ἀπέστειλεν ἱερεμίας ἐξ ἱερουσαλὴμ πρὸς τοὺς πρεσβυτέρους αὐτῆς τῆς ἀποικίας, καὶ πρὸς τοὺς ἱερεῖς, καὶ πρὸς τοὺς ψευδοπροφήτας, ἐπιστολὴν εἰς βαβυλῶνα τῇ ἀποικίᾳ, καὶ πρὸς ἅπαντα τὸν λαόν, ὕστερον ἐξελθόντος ἰεχονίου τοῦ βασιλέως, καὶ τῆς βασιλίσσης, καὶ τῶν εὐνούχων, καὶ παντὸς ἐλευθέρου, καὶ δεσμώτου, καὶ τεχνίτου ἐξ ἱερουσαλὴμ ἐν χειρὶ ἐλεασὰν υἱοῦ σαφάν, καὶ γαμαρίου υἱοῦ χελκίου, ὃν ἀπέστειλε σεδεκίας βασιλεὺς ἰούδα, πρὸς βασιλέα βαβυλῶνος εἰς βαβυλῶνα, λέγων, οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ, ἐπὶ τὴν ἀποικίαν ἣν ἀπῴκισα ἀπὸ ἱερουσαλήμ. οἰκοδομήσατε οἰκίας, καὶ κατοικήσατε, καὶ καταφυτεύσατε παραδείσους, καὶ φάγετε τοὺς καρποὺς αὐτῶν. καὶ λάβετε γυναῖκας, καὶ τεκνοποιήσατε

υἱοὺς

Ananiam, dicēs, Sic dixit dominus. Catenas ligneas contriuisti, at faciam pro his catenas ferreas. Quoniam sic dixit dñs, Iugum ferreum imposui in collū cunctarum gentium, ut seruiant regi Babylonis. Et dixit Hieremias Ananię, Non misit te dominus, & tu confidere fecisti populum istum iniquitati. Idcirco sic dixit dominus, Ecce ego eijcio te à facię terre, hoc anno morieris, quoniam cōtra dominm loquutus es. Et mortuus est mense septimo.

Cap. XXIX.

Et hæc uerba libri quę misit Hieremias propheta de Hierusalem ad seniores migrationis, et ad sacerdotes, & ad falsos uates, et epistolā in Babylonē ad coloniā, & ad cunctū populum, posteaq̃ egressus est Iechonia rex, & regina, et eunuchi, et omnis liber, et artifex, ex Hierusalem, per manū Eleasan filij Saphā, et Gamarię filij Chelchię, quem misit Sedecias rex Iuda ad regem Babylonis, in Babylonem, dicens, Sic dixit dñs deus Israel ad coloniā, quam deduxit de Hierusalem. Ædificate domos, et habitate, et plātate hortos, et comedite fructus eorū. Et accipite uxores, et generate

filios

filios & filias. Et date fi-
liis uestris uxores, & filias
uestras date uiris. Et mul-
tiplicamini, & non pauci
sitis, & quærite pacem
terræ, in quam transtuli
uos, & orate pro eis ad
dominum, quia in pace e-
orum, erit pax uobis. Ete-
nim sic dixit domin⁹, Ne
persuadeant uobis falsi ua-
tes, qui inter uos sunt, ne-
ue persuadeant uobis diui-
ni uestri, neque quic-
quam tribuite somnis ue-
stris, quæ uos somniatis.
Nam false uaticinantur
per nomen meum, & non
misi eos, dicit dominus.
Quia sic dixit dominus,
Cum fuerint impleti in
Sup.14 Babylone septuaginta an-
2.Pa.36 ni, uisitabo uos & rata fa-
1.Esd.1 ciā uerba mea super uos,
Sup.25 ut reducam populum me-
um in locum istum. At-
que excogitabo de uobis,
ut redeat populus uester,
de uobis rationem pacis,
et nō mala, quibus afficiā
uos. Et orate ad me, &
exaudiam uos, & quæri-
te me, & inuenietis me,
quia quando quæsieritis
me toto corde uestro, ap-
parebo uobis. Quia di-
xistis, Cōstituit nobis do-
minus uates in Babylone.
Sic dixit dn̄s ad Achab, et
ad Sedeciā. Ecce ego do
eos in man⁹ regis Babylo-
nis, & percutiet eos ante
oculos

υἱοὺς καὶ θυγατέρας. καὶ λάβετε τοῖς
υἱοῖς ὑμῶν γυναῖκας, καὶ τὰς θυγα-
τέρας ὑμῶν δότε ἀνδράσι, καὶ πλη-
θύνεσθε, καὶ σμικρύνεσθε, καὶ ζητήσα-
τε εἰς εἰρήνην τῆς γῆς, ἣν ἀπῴκισα
ὑμᾶς ἐκεῖ. καὶ προσεύξεσθε περὶ
αὐτῆς πρὸς κύριον, ὅτι ἐν εἰρήνῃ αὐ-
τῶν ἔσται εἰρήνη ὑμῖν. ὅτι οὕτως εἶ-
πε κύριος, μὴ ἀναπειθέτωσαν ὑ-
μᾶς οἱ ψευδοπροφῆται οἱ ἐν ὑμῖν,
καὶ μὴ ἀναπειθέτωσαν ὑμᾶς οἱ μάν-
τεις ὑμῶν, καὶ μὴ ἀκούετε εἰς τὰ ἐ-
νύπνια ὑμῶν, ἃ ὑμεῖς ἐνυπνιάζε-
σθε, ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν
ὑμῖν ἐπὶ τῷ ὀνόματί μου, καὶ οὐκ ἀ-
πέστειλα αὐτούς. ὅτι οὕτως εἶπε κύ-
ριος, ὅταν μέλλῃ πληροῦσθαι Βαβυ-
λῶν ἑβδομήκοντα ἔτη, ἐπισκέψομαι
ὑμᾶς, καὶ ἐπιστήσω τοὺς λόγους μου
ἐφ' ὑμᾶς, τοῦ ἐπιστρέψαι τὸν λαὸν
ὑμῶν εἰς τὸν τόπον τοῦτον. καὶ λο-
γιοῦμαι ἐφ' ὑμᾶς τοῦ ἐπιστρέψαι τὸν
λαὸν ὑμῶν ἐφ' ὑμᾶς λογισμὸν εἰρή-
νης, καὶ οὐ κακὰ, τοῦ δοῦναι ὑμῖν
ταῦτα. καὶ προσεύξασθε πρός με,
καὶ εἰσακούσομαι ὑμῶν, καὶ ἐκζητήσατέ
με, καὶ εὑρήσετέ με, ὅτι ἐκζητήσε-
τέ με ἐν ὅλῃ καρδίᾳ ὑμῶν, καὶ ἐπι-
φανοῦμαι ὑμῖν. ὅτι εἴπατε, κατέστη-
σεν ὑμῖν κύριος προφήτας ἐν Βα-
βυλῶνι. οὕτως εἶπε κύριος ἐπὶ Ἀχι-
ὰβ καὶ ἐπὶ Σεδεκίαν, ἰδοὺ ἐγὼ δίδω-
μι αὐτοὺς εἰς χεῖρας βασιλέως Βα-
βυλῶνος, καὶ πατάξει αὐτοὺς κατ'
ὀφθαλ-

ὀφθαλμοὺς ὑμῶν, καὶ λήψονται ἀπ' αὐτῶν κατάραν ἐν πάσῃ τῇ ἀποικίᾳ ἰούδα, ἐν βαβυλῶνι λέγοντες, ποιήσαί σε κύριος, ὡς σεδεκίαν ἐποίησε, καὶ ὡς ἀχιάβ, οὓς ἀπετηγάνισε βασιλεὺς βαβυλῶνος ἐν πυρί, δι' ἣν ἐποίησαν ἀνομίαν ἱερουσαλὴμ, καὶ ἐμοιχῶντο τὰς γυναῖκας τῶν πολιτῶν αὐτῶν. καὶ λόγον ἐχρημάτισαν ἐν τῷ ὀνόματί μου, ὃν οὐ συνέταξα αὐτοῖς, καὶ ἐγὼ μάρτυς, φησὶ κύριος. καὶ πρὸς σαμέαν τὸν αἰλαμίτην ἐρεῖς, οὐκ ἀπέστειλά σε τῷ ὀνόματί μου. καὶ πρὸς σοφονίαν τὸν ἱερέα τὸν υἱὸν μαασαίου εἰπέ, κύριος ἔδωκέ σε ἱερέα ἀντὶ ἰωδαὲ τοῦ ἱερέως, γενέσθαι ἐπιστάτην ἐν τῷ οἴκῳ κυρίου παντὶ ἀνθρώπῳ προφητεύοντι, καὶ παντὶ ἀνθρώπῳ μαινομένῳ, καὶ δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα, καὶ εἰς τὸν καταράκτην. καὶ νῦν διὰ τί συνελοιδορήσατε ἱερεμίαν τὸν ἐξ ἀναθὼθ, τὸν προφητεύσαντα ὑμῖν; ὅτι διὰ τοῦ μηνὸς τούτου ἀπέστειλε πρὸς ὑμᾶς εἰς βαβυλῶνα, λέγων, μακράν ἐστιν, οἰκοδομήσατε οἰκίας, καὶ κατοικήσατε, καὶ φυτεύσατε κήπους, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. καὶ ἀνέγνω σοφονίας τοὺς λόγους τούτους εἰς τὰ ὦτα ἱερεμίου. καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν, λέγων, ἀπόστειλον πρὸς τὴν ἀποικίαν, λέγων, οὕτως εἶπε κύριος ἐπὶ σαμέαν τὸν αἰλαμίτην. ἐπει-

δὴ

oculos ueſtros, & utentur hac execratione in omni trāſmigratione Iuda in Babylone, dicentes, Faciat tibi dominus ut Sedechiæ fecit, & ut Achab, quos frixit rex Babylonis igne, propter iniquitatem quam commiſerūt Hieroſolymis, & ſtuprarunt uxores ciuium ſuorum. Et uerbum loquuti ſunt in nomine meo quod non mandaui eis, & ego teſtis, dicit dominus. Et ad Sameam Ælamitē dices, Non miſi te in nomine meo. Et ad Sophoniam filium Maſſæi ſacerdotem dic. Dominus conſtituit te ſacerdotem pro Iodeſe ſacerdote, ut ſis præfectus in domo domini omni homini qui uaticinatur, & omni homini inſanienti, & dabis eum in carcerem & in cataracten. Et nunc, quare increpaſtis Hieremiā, qui eſt ex Anathoth prophetantem uobis? Propterea quod hoc menſe miſerit ad uos Babylōnem, dixeritq́, Longe eſt, ædificate domos, & habitate, & plantate hortos, & comedite de fructibus eorū. Et legit Sophonias librū in aures Hieremiæ prophetæ. Et factum eſt uerbum domini ad Hieremiam, dicens, Mitte ad migrationem dicens, Ita dixit dominus ad Sameam Ailamitem. Quoni-

am

am prophetauit uobis Sameas, & ego nõ misi eũ, & confidere fecit uos in iniquo. Propterea sic dicit dominus, Ecce ego uisitabo Sameam, & genus eius, & non erit ei homo in medio uestri, ut uideat bona ea, quæ concedam uobis, non cernent.

Cap. XXX Verbum quod factũ est ad Hieremiam à domino, ut diceret, Sic dixit dominus deus Israel, dicens, Scribe omnia uerba quæ loquutus sum ad te in librum. Ecce enim dies ueniunt, inquit dominus omnipotens, quibus reducam coloniã populi mei Israel & Iuda, ait dñs omnipotẽs, et reducã eos in terrã, quam dedi patribus eorum, & dominabuntur ei. Etiã hæc sunt uerba quæ loquutus est dominus super Israel & Iudam, sic dixit dominus, Vocem timoris audistis, formido et non est pax. Interrogate & uidete, si peperit masculus, quia uidi omnem hominem & manus eius super lumbum eius. Et conuersæ sunt facies in auriginem. Magnus enim dies ille factus est & non est talis, & tempus angustum est Iacob, & ex isto saluabitur. Die illo, ait domin⁹, Conte-

διὰ ἐπροφήτευσεν ὑμῖν σαμέας, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτὸν, καὶ πεποιθέναι ἐποίησεν ὑμᾶς ἐπ᾿ ἀδίκῳ. διὰ τοῦτο οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ σαμέαν, καὶ ἐπὶ τὸ γένος αὐτοῦ, καὶ οὐκ ἔσται αὐτῷ ἄνθρωπος ἐν μέσῳ ὑμῶν, τοῦ ἰδεῖν τὰ ἀγαθὰ, ἃ ἐγὼ ποιήσω ὑμῖν, οὐκ ὄψονται.

Ο λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν παρὰ κυρίου εἰπεῖν, Οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ, λέγων, γράψον πάντας τοὺς λόγους οὓς ἐχρημάτισα πρός σε ἐπὶ βιβλίου. ὅτι ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος παντοκράτωρ, καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου ἰσραὴλ καὶ ἰούδα, εἶπε κύριος παντοκράτωρ, καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν, ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν, καὶ κυριεύσουσιν αὐτῆς. Καὶ οὗτοι οἱ λόγοι οὓς ἐλάλησε κύριος ἐπὶ ἰσραὴλ καὶ ἰούδα, οὕτως εἶπε κύριος, φωνὴν φόβου ἀκούσεσθε, φόβος, καὶ οὐκ ἔστιν εἰρήνη. ἐρωτήσατε, καὶ ἴδετε, εἰ ἔτεκεν ἄρσεν, καὶ περὶ φόβου ἐν ᾧ καθέξουσιν ὀσφύν καὶ σωτηρίαν. διότι ἑώρακα πάντα ἄνθρωπον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ τῆς ἰσχύος αὐτοῦ. ἐστράφησαν πρόσωπα εἰς ἴκτερον. ὅτι ἐγενήθη μεγάλη ἡ ἡμέρα ἐκείνη, καὶ οὐκ ἔστι τοιαύτη, καὶ χρόνος στενός ἐστι τῷ ἰακώβ, καὶ ἀπὸ τούτου σωθήσεται. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε κύριος. συντρίψω

συντρίψω τὸν ζυγὸν ἀπὸ τοῦ τραχή-
λου αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν
διαῤῥήξω, καὶ οὐκ ἐργῶνται αὐτοὶ
ἔτι ἀλλοτρίοις, καὶ ἐργῶνται τῷ κυ-
ρίῳ θεῷ αὐτῶν. καὶ τὸν δαβὶδ βα-
σιλέα αὐτῶν ἀναστήσω αὐτοῖς. οὕτως
εἶπε κύριος, ἀνέστησα σύντριμμα,
ἀλγηρὰ ἡ πληγή σου, οὐκ ἔστι κρίνων
κρίσιν σου, εἰς ἀλγηρὸν ἰατρεύθης,
ὠφέλειά σοι οὐκ ἔστι. πάντες οἱ φί-
λοι σου ἐπελάθοντό σου, οὐ μὴ ἐπερω-
τήσωσιν τὰ εἰς εἰρήνην σου. ὅτι πλη-
γὴν ἐχθροῦ ἔπαισά σε παιδείαν στε-
ρεὰν ἐπὶ πᾶσαν ἀδικίαν σου, ἐπλη-
θύνθησαν αἱ ἁμαρτίαι σου. διὰ τοῦ-
το πάντες οἱ ἐσθίοντές σε βρωθή-
σονται, καὶ πάντες οἱ ἐχθροί σου
κρέας αὐτῶν πᾶν ἔδονται. ἐπὶ πλῆ-
θος ἀδικιῶν σου ἐπληθύνθησαν αἱ
ἁμαρτίαι σου, ἐποίησαν ταῦτά σοι.
καὶ ἔσονται οἱ διαφοβοῦντές σε εἰς
διαφόβημα, καὶ πάντας τοὺς προνο-
μεύσαντάς σε δώσω εἰς προνομήν,
ὅτι ἀνάξω τὸ ἴαμμά σου, ἀπὸ πλη-
γῆς ὀδυνηρᾶς ἰατρεύσω σε, φησὶ
κύριος. ὅτι ἐσπαρμένη ἐκλήθης,
θήρευμα ὑμῶν ἐστιν, ὅτι ζητῶν οὐκ
ἔστιν αὐτήν. Οὕτως εἶπε κύριος, ἰ-
δοὺ ἐγὼ ἀποστρέψω τὴν ἀποικίαν
ἰακώβ, καὶ τὴν αἰχμαλωσίαν αὐτοῦ
ἐλεήσω: καὶ οἰκοδομηθήσεται πό-
λις ἐπὶ τὸ ὕψος αὐτῆς, καὶ ὁ ναὸς κα-
τὰ τὸ κρίμα αὐτοῦ καθεδεῖται, καὶ
ἐξελεύσονται ἀπ' αὐτῆς ᾄδοντες,
καὶ

Conteram iugum de col-
lo eorum, & uincula eo-
rum disrumpam, & non
operabuntur domino deo
suo, & Dauid regem suũ
restituam eis. Sic dixit do
minus, Suscitaui contri-
tionem, dolorosa plaga
tua, non est iudicans iudi-
cium tuum, in dolorem cu
rata es, utilitas non est ti-
bi. omnes amici tui obliti
sunt tui, non interrogabũt
ea quæ ad pacem spectãt.
Quia plaga inimici per-
cussi te, castigatione uehe
menti, super omnem ini-
quitatem tuam multipli-
cata sunt peccata tua. Pro
pterea omnes comedẽtes
te deuorabuntur, & om-
nes hostes tui suam ipsi
carnem omnem comedẽt.
Propter multitudinem ui-
tiorum tuorum peccata
tua creuerunt, huiusmodi
te affecerunt, & iis, qui te
terruerunt, terrori eris, &
omnes qui te spoliauerũt,
eos prædę exponã. Nam
te ad sanitatem restituam,
tuamq́ plagam dolorifi-
cam sanabo, ait dominus.
Nam dispersa uocata es,
indagatio uestra ẽ. Quia
qui quęrit eam nullus est.
Sic dixit dominus, Ecce
ego conuerto migrationẽ
Iacob, & captiuitatis eius
miserebor, & ædificabi-
tur ciuitas in excelso suo,
& templum secundum iu
dicium suum sedebit, et e-
gredientur ab eo canentes,
&

& uox ludentium. Et multiplicabo eos, & non minuentur, & ingredientur filii eius sicut prius, et testimonia eorum ante faciem meam dirigentur, & uisitabo omnes affligentes eos, & erunt fortiores eis, & princeps eius ex eo egredietur. Et congregagabo eos, & conuertent ad me. Quia quis est iste qui dedit cor suum, ut cõuertat ad me, dicit dñs, Quia ira domini egressa est uehemens, egressa est ira nutrita, ad impios ueniet. Non auertetur ira furoris domini, donec exequatur, & donec constituat conatum cordis sui. In nouissimo dierum cognoscetis illa.

Cap. XXXI In tempore illo, ait dominus, Ero deus generi Israel, & ipsi erũt mihi populus. Sic dixit dominus, Inueni calidum in deserto cum his qui perierant in gladio. Ite & non perdatis Israel, dominus procul apparebit ei. amore perpetuo te prosequutus sum, ideo attraxi te ad miserationem. Adhuc ædificabo te, & ædificaberis uirgo Hierusalẽ. adhuc assumes tympanũ tuũ, & egredieris cum coetu ludentium. Adhuc plantastis uineas in montibus Samariæ. Plantantes plantate in monti-

καὶ φωνὴ παιζόντων. καὶ πλεονάσω αὐτοὺς, καὶ οὐ μὴ ἐλαττωθῶσι, καὶ εἰσελεύσονται οἱ υἱοὶ αὐτοῦ ὡς τὸ πρότερον, καὶ τὰ μαρτύρια αὐτοῦ κατὰ πρόσωπόν μου ὀρθωθήσονται, καὶ ἐπισκέψονται ἐπὶ πάντας τοὺς θλίβοντας αὐτοὺς, καὶ ἔσονται ἰσχυρότεροι αὐτοῦ ἐπ' αὐτοὺς, καὶ ὁ ἄρχων αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. καὶ συνάξω αὐτοὺς, καὶ ἀποστρέψουσι πρός με. ὅτι τίς ἐστιν αὐτὸς ὃς ἔδωκε τὴν καρδίαν αὐτοῦ, ἐπιστρέψαι πρός με, φησὶ κύριος; ὅτι ὀργὴ κυρίου ἐξῆλθε θυμώδης, ἐξῆλθεν ὀργὴ στρεφομένη, ἐπ' ἀσεβεῖς ἥξει. οὐ μὴ ἀποστραφῇ ὀργὴ θυμοῦ κυρίου, ἕως ποιήσει, καὶ ἕως καταστήσει ἐγχείρημα καρδίας αὐτοῦ. ἐπ' ἐσχάτων τῶν ἡμερῶν γνώσεσθε αὐτά.

Ἐν τῷ χρόνῳ ἐκείνῳ, εἶπε κύριος, ἔσομαι εἰς θεὸν τῷ γένει ἰσραήλ. καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. οὕτως εἶπε κύριος, εὗρον θερμὸν ἐν ἐρήμῳ μετὰ ὀλωλότων ἐν μαχαίρᾳ. βαδίσατε, καὶ μὴ ὀλέσητε τὸν ἰσραήλ, κύριος πόῤῥωθεν ὀφθήσεται αὐτῷ. ἀγάπησιν αἰώνιον ἠγάπησά σε. διὰ τοῦτο εἵλκυσά σε εἰς οἰκτείρημα. ἔτι οἰκοδομήσω σε, καὶ οἰκοδομηθήσῃ παρθένος ἱερουσαλήμ. ἔτι λήψῃ τύμπανόν σου, καὶ ἐξελεύσῃ μετὰ συναγωγῆς παιζόντων. ἔτι ἐφυτεύσατε ἀμπελῶνας ἐν ὄρεσι σαμαρείας. φυτεύσαντες φυτεύσατε ἐν

ὄρεσιν

ὄρεσιν ἐφραίμ. καὶ αἰνέσατε, ὅτι ἔ-
στιν ἡμέρα κλήσεως ἀπολογουμέ-
νων. ἀνάστητε καὶ ἀνάβητε εἰς σιὼν
πρὸς κύριον τὸν θεὸν ὑμῶν, ὅτι οὕ-
τως εἶπε κύριος τῷ ἰακώβ, εὐφράν-
θητε, εὐφράνθητε, καὶ χρεμετίσατε
ἐπὶ κεφαλὴν ἐθνῶν, ἀκουστὰ ποιήσα-
τε, καὶ αἰνέσατε. εἴπατε, ἔσωσε κύ-
ριος τὸν λαὸν αὐτοῦ τὸ καταλοιπὸν
τοῦ ἰσραήλ. ἰδοὺ ἐγὼ ἄγω αὐτοὺς ἀ-
πὸ βορρᾶ, καὶ συνάξω αὐτοὺς ἀπ'
ἐσχάτου τῆς γῆς ἐν ἑορτῇ φασέκ. καὶ
τεκνοποιήσῃ ὄχλον πολύν, καὶ ἀπο-
στρέψουσιν ὧδε. ἐν κλαυθμῷ ἐξῆλ-
θον, καὶ ἐν παρακλήσει ἀνάξω αὐ-
τοὺς, αὐλίζων ἐπὶ διώρυγας ὑδάτων
ἐν ὁδῷ ὀρθῇ, καὶ οὐ μὴ πλανηθῶσιν
ἐν αὐτῇ. ὅτι ἐγενόμην τῷ ἰσραὴλ εἰς
πατέρα, καὶ ἐφραὶμ πρωτότοκός μου
ἐστίν. Ἀκούσατε λόγους κυρίου ἔθνη,
καὶ ἀναγγείλατε εἰς νήσους τὰς μα-
κρόθεν. εἴπατε, ὁ λικμήσας τὸν ἰσρα-
ὴλ καὶ συνάξει αὐτὸν, καὶ φυλάξει αὐ-
τὸν ὡς ὁ βόσκων ποίμνιον αὐτοῦ. ὅ-
τι ἐλυτρώσατο κύριος τὸν ἰακὼβ, ἐξεί-
λατο αὐτὸν ἐκ χειρὸς στερεωτέρων
αὐτοῦ, καὶ ἥξουσι καὶ εὐφρανθήσονται ἐν
τῷ ὄρει σιὼν, καὶ ἥξουσιν ἐπ' ἀγαθὰ
κυρίου, ἐπὶ γῆν σίτου καὶ οἴνου, καὶ
καρπῶν, καὶ κτηνῶν, καὶ προβάτων.
καὶ ἔσται ἡ ψυχὴ αὐτῶν ὥσπερ ξύλον
ἔγκαρπον, καὶ οὐ πεινάσουσιν ἔτι.
τότε χαρήσονται παρθένοι ἐν συνα-
γωγῇ νεανίσκων, καὶ πρεσβύται
χαρή-

mōtibꝰ Ephraim. Et lauda
te, quia eſt dies uocatiōis
ijs qui reſpondent. Surgi-
te, et aſcendite in Sion ad
dn̄m deum ueſtrū, quia ſic
dixit dn̄s Iacob, Exulta
te, & uociferate in caput
gentiū, efficite ut audiaт,
et laudate, dicite, ſaluū fe-
cit dn̄s populū ſuū, reliqui
as Iſrael. Ecce ego addu-
co eos ab Aquilone, et cō
gregabo eos ab extremo
terræ in ſolenni paſchæ.
Et generabit multitudinē
magnam, & reuertentur
hic. In fletu egreſsi ſunt,
& in conſolatione addu-
cā eos, diuertēs apud foſ-
ſas aquarū in uia recta, de
qua nunq̄ errabūt. Quia
factus ſum Iſrael in patrē,
& Ephraim primogeni-
tus meus eſt. Audite uer-
bum domini gentes, & an
nūciate in inſulas quę pro
cul ſunt. Dicite, qui uenti-
lauit Iſrael, is cōgregabit
eum, & cuſtodiet eū qua-
ſi paſcens gregem ſuum.
Quia redemit dominus Ia
cob, & liberauit eum de
manu fortiorum eo, & ue
nient & lætabunt in mon
te Sion, & uenient ad bo
na domini, ad terram fru-
menti & uini, & olei, &
fructuum, & pecorum, &
ouium. Et erit anima eo-
rū quaſi lignū fructiferū,
et non eſurient ultra. Tūc
lætabuntur uirgines in
cœtu iuuenum & ſenes

q gau-

gaudebunt. & conuertam luctum eorũ in gaudium, & consolabor eos, & faciam eos lætantes. Extollam, et inebriabo animam sacerdotum filiorum Leui, populus meus bonis meis implebitur. Sic dixit dominus, Vox in Rama audita est lamentationis et fletus & luctus, Rachel deplorans, quia non sunt. Sic dixit dominus. Desinat uox tua à ploratu, & oculi tui à lachrymis, quia est merces tuis operibus. Et reuertentur de terra inimicorum, iustitia filijs tuis. Audiens audiui Ephraim lamentantẽ, docuisti me et eruditus sum, ego quasi uitulus non didici: Conuerte me & cõuertar, quia tu dñs deus meus, quia post captiuitatẽ meã ad me redij, & postq̃ cognoui, ego ingemui diebus ignominiæ. Et ostendi tibi me opprobrio affectũ esse ab adolescẽtia mea. Filius dilectus mihi Ephraim, puer delicatus, quia pro eo q̃d uerba mea in eo, memoria recordabor eius, idcirco festinaui cum eo, ut ei misericordiam tribuerẽ, ait dñs. Statue ipsa tibi Sion, constitue pœnam, da cor tuũ in humeros tuos. Via in qua ambulasti, reuertere uirgo Israel, reuertere in ciuitates tuas lugẽs. quo usq̃

χαρήσονται. καὶ στρέψω τὸ πένθος αὐτῶν εἰς χαρμοσύνην, καὶ ποιήσω αὐτοὺς εὐφραινομένους. μεγαλυνῶ καὶ μεθύσω τὴν ψυχὴν τῶν ἱερέων υἱῶν λευΐ, καὶ ὁ λαός μου τῶν ἀγαθῶν μου ἐμπλησθήσεται. Οὕτως εἶπε κύριος, φωνὴ ἐν ῥαμᾷ ἠκούσθη θρήνου καὶ κλαυθμοῦ, καὶ ὀδυρμοῦ. ῥαχὴλ ἀποκλαιομένη ἐπὶ τῶν υἱῶν αὐτῆς, καὶ οὐκ ἤθελησε παρακληθῆναι, ὅτι οὐκ εἰσίν. οὕτως εἶπε κύριος, διαλειπέτω ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου ἀπὸ δακρύων σου, ὅτι ἐστι μισθὸς τοῖς σοῖς ἔργοις. καὶ ἐπιστρέψουσιν ἐκ γῆς ἐχθρῶν, νόμιμον τοῖς σοῖς τέκνοις. ἀκούων ἤκουσα ἐφραὶμ ὀδυρομένου, ἐπαίδευσάς με, καὶ ἐπαιδεύθην. ἐγὼ ὥσπερ μόσχος οὐκ ἐδιδάχθην. ἐπίστρεψόν με, καὶ ἐπιστρέψω. ὅτι σὺ κύριος ὁ θεός μου, ὅτι ὕστερον αἰχμαλωσίας μου μετενόησα, καὶ ὕστερον τοῦ γνῶναί με ἐστέναξα ἐφ' ἡμέρας αἰσχύνης, καὶ ὑπέδειξά σοι ὅτι ἔλαβον ὀνειδισμὸν ἐκ νεότητός μου. υἱὸς ἀγαπητὸς ἐφραὶμ, ἐμοὶ παιδίον ἐντρυφῶν, ὅτι ἀνθ' ὧν οἱ λόγοι μου ἐν αὐτῷ, μνείᾳ μνησθήσομαι αὐτοῦ, διὰ τοῦτο ἔσπευσα ἐπ' αὐτῷ, ἐλεῶν ἐλεήσω αὐτόν, φησὶ κύριος. στῆσον σεαυτὴν σιὼν, ποίησον τιμωρίαν, δὸς καρδίαν σου εἰς τοὺς ὤμους σου. ὁδὸν ἣν πεπόρευσαι, ἀποστράφηθι παρθένος ἰσραὴλ, ἀποστράφηθι εἰς τὰς πόλεις σου πενθοῦσα. ἕως πότε

ὅτι ἀποστραφήσῃ θυγάτηρ ἠτιμωμένη; ὅτι ἔκτισε κύριος σωτηρίαν εἰς καταφύτευσιν καινήν, ἐν σωτηρίᾳ περιελεύσονται ἄνθρωποι. ὅτι οὕτως εἶπε κύριος, ἔτι ἐροῦσι τὸν λόγον τοῦτον ἐν γῇ Ἰούδα, καὶ ἐν πόλεσιν αὐτοῦ, ὅταν ἀποστρέψω τὴν ἀποικίαν αὐτοῦ, εὐλογημένος κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον αὐτοῦ. καὶ ἐνοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν πάσῃ τῇ γῇ αὐτοῦ, ἅμα τῷ γεωργῷ, καὶ ἀρθήσεται ἐν ποιμνίῳ. ὅτι ἐμέθυσα πᾶσαν ψυχὴν διψῶσαν, καὶ πᾶσαν ψυχὴν πεινῶσαν ἐνέπλησα. διὰ τοῦτο ἐξηγέρθην, καὶ εἶδον, καὶ ὁ ὕπνος μου ἡδύς μοι ἐγενήθη. διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ σπερῶ τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν, σπέρμα ἀνθρώπου καὶ σπέρμα κτήνους. καὶ ἔσται ὥσπερ ἐγρηγόρουν ἐπ' αὐτοὺς καθαιρεῖν, καὶ κακοῦν, οὕτως γρηγορήσω ἐπ' αὐτούς, τοῦ οἰκοδομεῖν καὶ καταφυτεύειν, φησὶ κύριος. ἐν ταῖς ἡμέραις ἐκείναις οὐ μὴ εἴπωσιν, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἠμωδίασαν. ἀλλ' ἢ ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται, καὶ τοῦ φαγόντος τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες αὐτοῦ. ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν

διέθε-

usq; conuerteris filia honore priuata? Quia creauit dominus salutē in plantationem nouam, in salute tua circuibunt homines. Quia sic dixit dn̄s, Adhuc dicent sermonem istū in terra Iuda, & in urbibus eius, quādo auertero trāsmigrationem eius, glorio se prædicandus dominus super iustum montem sanctum eius. Et qui habitāt in urbibus Iuda & in omni terra eius, unà cum agricol[is], & extolletur in grege. Nam ebrietate affecī quamuis animam, quæ sitit, ac omnem animā, quæ ēsurit, impleui. Propterea suscitatus sum & uidi, & somnus meus dulcis mihi factus est. Quapropter ecce dies ueniunt, dicit dominus, & seminabo Israel & Iudam semen hominis & semen iumenti. Et erit sicut uigilaui super eos, et ut destruerē et affligerem; sic uigilabo super eos, ut ædificem & plantem; ait dominus. Diebus illis non dicent ultra, patres comederunt uuam acerbam, & dentes filiorum obstupuerūt, sed unusquisq; suo peccato morieт, et comedētis uuam acerbā obstupescēt dentes. Ecce dies ueniūt, dicit dn̄s, quib⁹ constituā domui Israel et domui Iuda testamentum nouum, nō secūdū testamentū q̄d Ezech.18 Heb.8

fecipatribus eorū eo die quo apprehendi manum eorum, ut educerem eos de terra Ægypti, quia ipsi non manserunt in testamento meo. Et ego neglexi eos, dicit dominus. Nā hoc testamentū quod conscribam domui Israel post dies illos, dicit dominus, dans dabo leges meas in mentem eorum, & in corda eorum inscribam. et uidebo eos, & ero eis deus, & ipsi erunt mihi populus. Nec docebit ultra unusquisq; proximū suum, & unusquisq; fratrem suum dicens, Cognosce dominum. Etenim omnes scient me à paruo usque ad magnum, dicit dominus, quia propitius ero iniquitatibus eorum, & peccatorum eorum non ero memor amplius. Quandiu in altum fuerit sublatum cœlum, ait dominus, & humile fuerit terræ pauimentum, non reijciam gentem Israel, inquit dominus, propter quælibet quę commiserunt. Sic ait dominus, qui præbet solem ad lucem diei, lunam stellasq; ad noctis lumē, sonitumq; in mari, ut resonent fluctus eius, Dominus omnipotēs nomen eius. Si destiterint leges hæ à facie mea, etiā genus Israel cessabit esse gens in conspectu meo omnes

διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου. καὶ ἐγὼ ἠμέλησα αὐτῶν, φησὶ κύριος. ὅτι αὕτη ἡ διαθήκη μου, ἣν διαθήσομαι τῷ οἴκῳ ἰσραὴλ, μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ κύριος, διδοὺς δώσω νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω αὐτοὺς, καὶ ὄψομαι αὐτοὺς, καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων γνῶθι τὸν κύριον. ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι. Ἐὰν ὑψωθῇ ὁ οὐρανὸς εἰς τὸ μετέωρον, φησὶ κύριος, καὶ ἐὰν ταπεινωθῇ τὸ ἔδαφος τῆς γῆς, καὶ ἐγὼ οὐκ ἀποδοκιμῶ τὸ γένος ἰσραὴλ, φησὶ κύριος, περὶ πάντων ὧν ἐποίησαν. οὕτως εἶπε κύριος ὁ διδοὺς τὸν ἥλιον εἰς φῶς τῆς ἡμέρας, σελήνην καὶ ἀστέρας εἰς φῶς τῆς νυκτὸς, καὶ κραυγὴν ἐν θαλάσσῃ, καὶ ἐβόμβησε τὰ κύματα αὐτῆς, κύριος παντοκράτωρ ὄνομα αὐτῷ. ἐὰν παύσωνται οἱ νόμοι οὗτοι ἀπὸ προσώπου μου, φησὶ κύριος, καὶ τὸ γένος ἐν ἰσραὴλ παύσεται, γενέσθαι ἔθνος κατὰ πρόσωπόν μου πάσας

πάσας τὰς ἡμέρας. ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ οἰκοδομηθήσεται πόλις τῷ κυρίῳ ἀπὸ πύργου ἀναμεὴλ, ἕως πύλης τῆς γωνίας, καὶ ἐξελεύσεται ἡ διαμέτρησις αὐτῆς ἀπέναντι αὐτοῦ, ἕως βουνῶν γαρὴβ, καὶ περικυκλωθήσεται κύκλῳ ἐξ ἐκλεκτῶν λίθων, καὶ πάντες ἀσαρημὼθ ἕως χειμάῤῥου ἀχελκεδρῶ, ἕως γωνίας πύλης ἵππων ἀνατολῆς, ἁγίασμα τῷ κυρίῳ, καὶ οὐκέτι οὐ μὴ ἐκτιλῇ, καὶ οὐ μὴ καθαιρεθῇ ἕως τοῦ αἰῶνος.

omnes dies. Ecce dies ueniũt, dicit dñs, & ædificabitur ciuitas domino à turre Ananeel, usq; ad portã anguli. Et exibit norma eius coram ea usq; ad colles Gareb, & circundabitur in circuitu de electis lapidibus. Et omnes Asaremoth ad torrentem usq; Achelcedro, usq; ad angulum portæ equorum orientis, sacrum domino, & neq; euelletur amplius neque destruetur in sempiternum.

Ca. XXXII

Ὁ λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν ἐν τῷ ἐνιαυτῷ τῷ δεκάτῳ βασιλεῖ σεδεκίᾳ, οὗτος ἐνιαυτὸς ὀκτωκαιδέκατος τῷ βασιλεῖ ναβουχοδονόσορ, βασιλεῖ βαβυλῶνος, καὶ δύναμις βασιλέως βαβυλῶνος ἐχαράκωσεν ἐπὶ ἱερουσαλήμ. καὶ ἱερεμίας ἐφυλάσσετο ἐν τῇ αὐλῇ τῆς φυλακῆς, ἥ ἐστιν ἐν οἴκῳ βασιλέως. ἐν ᾗ κατέκλεισεν αὐτὸν ὁ βασιλεὺς σεδεκίας, λέγων, διὰ τί σὺ προφητεύεις, λέγων, οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ δίδωμι τὴν πόλιν ταύτην ἐν χερσὶ βασιλέως βαβυλῶνος, καὶ λήψεται αὐτὴν, καὶ σεδεκίας βασιλεὺς ἰούδα οὐ μὴ ῥυσθῇ ἐκ χειρὸς τῶν χαλδαίων, ὅτι παραδόσει παραδοθήσεται εἰς χεῖρας βασιλέως βαβυλῶνος, καὶ λαλήσει στόμα αὐτοῦ πρὸς στόμα αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ τοὺς

Verbum quod factum est ad Hieremiam à domino, anno decimo Sedechiæ regi Iuda, qui erat annus decimus octauus Nabuchodonosor regi Babylonis, cum exercitus regis Babylonis obsidebat Hierusalẽ. Et Hieremias custodiebatur in atrio carceris, quod est in domo regis Iuda, in quo clauserat eum rex Sedechias, dicens, Quare tu uaticinaris, dicens, sic dixit dominus, Ecce ego do ciuitatem istam in manus regis Babylonis, & capiet eam, & Sedechias non liberabitur de manu Chaldæorum, quia traditione tradetur in manus regis Babylonis, et loquet os eius ad os illius, et oculi ei⁹

oculos illius uidebunt, & Babylonem ingredietur Sedechias, & illic morietur. Et factum est uerbum domini ad Hieremiam, dicens, Ecce Anameel filius Salom fratris patris tui uenit ad te, dicens, compara tibi agrum meum, qui in Anathoth. nā iure propinquitatis recipies id, quod restituitur. Ergo uenit ad me Anameel filius Salō fratris patris mei iuxta uerbū domini, in atriū carceris, & ait mihi, compara tibi agrū meum qui est in Anathoth in terra Beniamin, quia tibi ius est ut possideas, & tu senior, et cognoui, q̄d uerbū domini est. Tū comparaui agrū Anameel filii fratris patris mei q in Anathoth, & numeraui ei septem siclos & decem argenti, & scripsi in librum, & obsignaui, & adhibui testes, & appendi argentum in statera. Et accepi librum possessionis, qui lectus fuerat & obsignatus, & dedi illum Baruch filio Neriç, filij Massæi ante oculos Anameel filii fratris patris mei, & ante oculos uirorum qui assistebant testes, & qui scripserunt in libro possessionis, & ante oculos Iudæorū, qui sedebāt in atrio carceris. Et præcepi Baruch ante oculos eorum

ὀφθαλμοὺς αὐτοῦ ὄψονται, καὶ εἰσελεύσεται σεδεκίας εἰς βαβυλῶνα, καὶ ἐκεῖ ἀποθανεῖται. καὶ ὁ λόγος κυρίου ἐγενήθη πρὸς ἱερεμίαν, λέγων, ἰδοὺ ἀναμεὴλ υἱὸς σαλὼμ ἀδελφοῦ πατρός σου ἔρχεται πρός σε, λέγων, κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου ἐν ἀναθὼθ, ὅτι σοὶ κρίμα τῆς ἀγχιστείας παραλαβεῖν εἰς κτῆσιν. καὶ ἦλθε πρός με ἀναμεὴλ υἱὸς σαλὼμ, ἀδελφοῦ πατρός μου, κατὰ τὸν λόγον κυρίου, εἰς τὴν αὐλὴν τῆς φυλακῆς, καὶ εἶπε, κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν γῇ βενιαμὶν τὸν ἐν ἀναθὼθ, ὅτι σοὶ κρίμα κτήσασθαι αὐτὸν, καὶ σὺ πρεσβύτερος. καὶ ἔγνων, ὅτι λόγος κυρίου ἐστί. καὶ ἐκτησάμην τὸν ἀγρὸν ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου. καὶ ἔστησα αὐτῷ ἑπτὰ σίκλους, καὶ δέκα ἀργυρίους, καὶ ἔγραψα εἰς βιβλίον, καὶ ἐσφραγισάμην, καὶ διεμαρτυράμην μάρτυρας, καὶ ἔστησα τὸ ἀργύριον ἐν ζυγῷ. καὶ ἔλαβον τὸ βιβλίον τῆς κτήσεως τὸ ἀνεγνωσμένον καὶ ἐσφραγισμένον, καὶ ἔδωκα αὐτὸ τῷ βαροὺχ υἱῷ νηρίου, υἱῷ μαασαίου κατ᾽ ὀφθαλμοὺς ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου, καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἀνδρῶν, τῶν παρεστηκότων μαρτύρων, καὶ γραφόντων ἐν τῷ βιβλίῳ τῆς κτήσεως, καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἰουδαίων, τῶν καθημένων ἐν τῇ αὐλῇ τῆς φυλακῆς. καὶ συνέταξα τῷ βαροὺχ κατ᾽ ὀφθαλμοὺς αὐτῶν,

αὐτῶν, λέγων, οὕτως εἶπε κύριος παντοκράτωρ ὁ θεὸς ἰσραὴλ, λαβὲ τὸ βιβλίον τῆς κτήσεως τοῦτο, καὶ τὸ βιβλίον τὸ ἀνεγνωσμένον, καὶ θήσεις αὐτὸ εἰς ἀγγεῖον ὀστράκινον, ἵνα διαμείνῃ ἡμέρας πλείους. ὅτι οὕτως εἶπε κύριος, ἔτι κτηθήσονται ἀγροὶ καὶ οἰκίαι, καὶ ἀμπελῶνες ἐν τῇ γῇ ταύτῃ. καὶ προσευξάμην πρὸς κύριον μετὰ τὸ δοῦναί με τὸ βιβλίον τῆς κτήσεως πρὸς βαρούχ υἱὸν νηρίου, λέγων, ὁ ὢν κύριε σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν, τῇ ἰσχύϊ σου τῇ μεγάλῃ, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ καὶ τῷ μετεώρῳ, οὐ μὴ ἀποκρυβῇ ἀπό σου οὐθὲν, ποιῶν ἔλεος εἰς χιλιάδας, καὶ ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς κόλπους τέκνων αὐτῶν μετ' αὐτούς. ὁ θεὸς ὁ μέγας καὶ ἰσχυρὸς, κύριος μεγάλης βουλῆς, καὶ δυνατὸς τοῖς ἔργοις, ὁ θεὸς ὁ μέγας ὁ παντοκράτωρ, καὶ μεγαλώνυμος κύριος. οἱ ὀφθαλμοί σου ἀνεωγμένοι εἰς τὰς ὁδοὺς πάσας τῶν υἱῶν τῶν ἀνθρώπων, δοῦναι ἑκάστῳ κατὰ τὴν ὁδὸν αὐτοῦ. ὃς ἐποίησας σημεῖα καὶ τέρατα ἐν γῇ αἰγύπτῳ, καὶ ἕως τῆς ἡμέρας ταύτης, καὶ ἐν ἰσραὴλ, καὶ ἐν τοῖς γηγενέσι, καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, καὶ ἐξήγαγες τὸν λαόν σου ἰσραὴλ ἐκ γῆς αἰγύπτου, ἐν σημείοις καὶ ἐν τέρασιν, ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐν ὁράμασι μεγά-

eorum, dicens, Sic dixit dominus omnipotēs deus Israel. Accipe librū possessionis hunc librum lectum, & pones in uas testeum, ut permaneat dies plurimos. Quia sic dixit dominus, Adhuc posside-buntur domus & agri, & uineæ in terra ista. Et oraui ad dominum postquam dedi librum possessionis Baruch filio Neriæ, dicens, Qui existis domine, tu fecisti cœlum & terrā fortitudine tua magna, & brachio tuo excelso & sublimi, non abscondetur à te quicquā, qui facis misericordiam in millibus, et qui reddis peccata patrū in sinum filiorum suorum post eos. Deus magnus et fortis, dominus magni cōsilii, & potēs operibus, deus magnus, & omnipotēs, & magno nomine prædi-tus dominus. Oculi tui aperti sunt in omnes uias filiorum hominum, ut des unicuiq; secundum uiam suam, & secundum fructū studiorum suorum, qui fecisti signa & portenta in terra Ægypti usq; ad diē hanc, & in Israel, & in terrigenis, & fecisti tibi nomen, ut hic dies testatur, & eduxisti populum tuum Israel de terra Ægypti per signa & portenta, manu forti, & brachio excelso, & in uisionibus Exod. 34

magnus, & dedisti eis terram hanc quam iureiurando pollicitus es patribus eorum, terram fluentem lacte & melle. Et ingressi sunt, & ceperunt eam, & non audierunt uocem tuam, & in præceptis tuis non ambulauerunt. Omnia quæ mandasti eis, non fecerunt, ut euenirent eis uniuersa mala hæc. Ecce turba uenit super ciuitatem hanc ut caperet eam. Et urbs data est in manus Chaldæorum qui oppugnant eam, à facie gladij & pestilentiæ. Vt loquutus es, sic factũ est. Nihilominus dicis ad me, compara tibi agrũ argento, & adhibe testes, cum ciuitas data sit in manus Chaldæorũ. Et factum est uerbũ domini ad me, dicens, Ego dominus deus uniuersæ carnis, nunquid à me abscondetur aliquid? Propterea sic dixit dominus deus Israel, Tradita tradetur ciuitas ista in manus regis Babylonis, & capiet eam, & uenient Chaldæi præliantes contra ciuitatem hanc, & succendent urbem istam igne, & comburent domos, quarum in tectis adoleuerunt Baal, & libauerunt libamina dijs alijs, ut me exacerbarent. Quia erant

filij

μεγάλοις, καὶ ἔδωκας αὐτοῖς τὴν γῆν ταύτην, ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν, γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ εἰσήλθοσαν καὶ ἔλαβον αὐτήν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς σου, καὶ ἐν τοῖς προστάγμασί σου οὐκ ἐπορεύθησαν. ἅπαντα ἃ ἐνετείλω αὐτοῖς ποιεῖν, οὐκ ἐποίησαν, καὶ ἐποίησαν συμβῆναι αὐτοῖς πάντα τὰ κακὰ ταῦτα. ἰδοὺ ὄχλος ἥκει εἰς τὴν πόλιν συλλαβεῖν αὐτήν, καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας χαλδαίων τῶν πολεμούντων αὐτὴν ἀπὸ προσώπου μαχαίρας καὶ τοῦ λοιμοῦ. ὡς ἐλάλησας, οὕτως ἐγένετο. καί σὺ λέγεις πρός με, κατάστησον σεαυτῷ ἀγρὸν ἀργυρίου, καὶ ἔγραψα βιβλίον, καὶ ἐσφραγισάμην, καὶ ἐπεμαρτυράμην μάρτυρας, καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας χαλδαίων. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, ἐγὼ κύριος ὁ θεὸς πάσης σαρκός, μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι; διὰ τοῦτο οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραήλ, δοθεῖσα παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας βασιλέως βαβυλῶνος, καὶ λήψεται αὐτήν, καὶ ἥξουσιν οἱ χαλδαῖοι πολεμοῦντες ἐπὶ τὴν πόλιν ταύτην, καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν πυρί, καὶ κατακαύσουσι τὰς οἰκίας, ἐν αἷς ἐθυμίασαν ἐν αὐταῖς ἐπὶ τῶν δωμάτων αὐτῶν τῇ βάαλ, καὶ ἔσπενδον σπονδὰς θεοῖς ἑτέροις, πρὸς τὸ παραπικρᾶναί με. ὅτι ἦσαν

οἱ υἱοὶ

οἱ ὑιοὶ ἰσραὴλ καὶ οἱ ὑιοὶ ἰούδα μόνοι ποιοῦντες τὸ πονηρὸν κατ' ὀφθαλμούς μου ἐκ νεότητος αὐτῶν, ὅτι ἐπὶ τὴν ὀργήν μου, καὶ ἐπὶ τὸν θυμόν μου ἦν ἡ πόλις αὕτη, ἀφ' ἧς ἡμέρας ὠκοδόμησαν αὐτὴν, καὶ ἕως τῆς ἡμέρας ταύτης ἀπαλλάξαι αὐτὴν ἀπὸ προσώπου μου, διὰ πάσας τὰς πονηρίας τῶν ὑιῶν ἰσραὴλ καὶ ἰούδα, ὅτι ἐποίησαν πικρᾶναί με, αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ οἱ ἄρχοντες αὐτῶν, καὶ οἱ μεγιστᾶνες αὐτῶν, καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ οἱ προφῆται αὐτῶν, ἄνδρες ἰούδα καὶ οἱ κατοικοῦντες ἐν ἱερουσαλὴμ. καὶ ἔστρεψαν πρός με νῶτον, καὶ οὐ πρόσωπον αὐτῶν. καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου, καὶ οὐκ ἤκουσαν ἔτι λαβεῖν παιδείαν. καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν τῷ οἴκῳ, οὗ ἐπικλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐν ἀκαθαρσίαις αὐτῶν. καὶ ᾠκοδόμησαν τοὺς βωμοὺς ἐν τῇ βάαλ τοὺς ἐν φάραγγι ὑιοῦ ἐννὸμ, τοῦ ἀναφέρειν τοὺς ὑιοὺς αὐτῶν, καὶ τὰς θυγατέρας αὐτῶν τῷ μολὸχ βασιλεῖ, ἃ οὐ συνέταξα αὐτοῖς, καὶ οὐκ ἀνέβη ἐπὶ καρδίαν μου τοῦ ποιῆσαι τὸ βδέλυγμα τοῦτο, πρὸς τὸ ἐξαμαρτεῖν τὸν ἰούδα. Καὶ νῦν οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ ἐπὶ τὴν πόλιν, ἣν σὺ λέγεις, παραδοθήσεται εἰς χεῖρας βασιλέως βαβυλῶνος ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ ἐν ἀποστολῇ, ἰδοὺ ἐγὼ συνάγω αὐτοὺς ἐκ πάσης τῆς γῆς, οὗ διέσπειρα αὐτοὺς

filij Israel & filij Iuda soli committētes malum ante oculos meos, ab adolescētia sua. Quia in ira mea, & in furore meo erat ciuitas hæc, ex eo die quo ædificauerunt eam, usque ad diem hunc, ut auferam eam à facie mea, propter omnes malitias filiorum Israel & Iuda. Quæ fecerūt ad iritandum me, ipsi & reges eorum, & principes eorum, et magnates eorū, & sacerdotes eorum, & prophetæ eorum, uiri Iudā & habitantes Hierusalem. & uerterunt ad me terga, & non facies suas. Et docui eos diluculo, & non audierunt amplius, ut acciperent disciplinam. Et posuerunt fœditates suas in domo, ubi inuocatum est nomen meū, in immūditijs suis, & ędificauerunt aras Baal, quæ sunt in ualle filii Ennon, ut offerrent filios suos & filias suas Moloch regi, quę neque mandaui illis, neque ascendit in cor meum, ut facerent abominationem hanc, ut ad peccandum allicerent Iudā. Ergo nunc sic dixit dominus deus Israel ad ciuitatem hanc, Quam tu dicis tradendam esse in manus regis Babylonis in gladio & in fame, & cæde, ecce ego congrego eos ex omni terra, ubi dispersi

eos ibi in ira mea, et in furore meo, & irritatione grādi, & reducā eos in locum istum, & collocabo eos confidenter, & erunt mihi in populum, & ego ero eis deus, & dabo eis uiam aliā, & cor aliud, ut timeant me omnibus diebus, & in bonum eis, & filiis eorum post eos. Et cōscribam eis testamentum æternum, quod non auertam ab eis, & timorē meum dabo in cor eorum, ut non recedāt ipsi à me. Et uisitabo eos, ut benefaciam eis, & plantabo eos in terra ista fide, & toto corde meo, & tota anima mea. Nam sic dixit dominus, Quemadmodum induxi super populū istum omnia mala grandia ista, sic ego inducam super eos omnia bona, quæ ego loquutus sum ad eos. Et possidebuntur adhuc agri in terra, quam tu dicis auiam esse ab homine & iumento, & traditam esse in manus Chaldæorum, & possidebunt agros argento. Et scribes in libro & signabis, & adhibebis testes in terra Beniamin, & in circuitu Hierusalem, et in ciuitatibus Iuda, & in ciuitatibus montis & in ciuitatibus Sephila, & in ciuitatibus Nageb, quia conuertam migrationes eorum.

Et

αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου, καὶ τῷ θυμῷ μου, καὶ ἐν παροξυσμῷ μεγάλῳ, καὶ ἀποστρέψω αὐτοὺς εἰς τὸν τόπον αὐτῶν, καὶ καθιῶ αὐτοὺς πεποιθότας, καὶ ἔσονταί μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεὸν, καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν, καὶ καρδίαν ἑτέραν, φοβεῖσθαί με πάσας ἡμέρας, εἰς ἀγαθὸν αὐτοῖς, καὶ τοῖς τέκνοις αὐτῶν μετ' αὐτούς. καὶ διαθήσομαι αὐτοῖς διαθήκην αἰώνιον, ἣν οὐ μὴ ἀποστρέψω ἀπὸ ὄπισθεν αὐτῶν. καὶ τὸν φόβον μου δώσω εἰς τὴν καρδίαν αὐτῶν, πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς ἀπ' ἐμοῦ. καὶ ἐπισκέψομαι τοῦ ἀγαθῶσαι αὐτοὺς, καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ ἐν πίστει, καὶ ἐν πάσῃ καρδίᾳ μου, καὶ ἐν πάσῃ ψυχῇ. ὅτι οὕτως εἶπε κύριος, καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πάντα τὰ κακὰ τὰ μεγάλα ταῦτα, οὕτως ἐγὼ ἐπάξω ἐπ' αὐτοὺς πάντα τὰ ἀγαθὰ, ἃ ἐλάλησα ἐπ' αὐτούς. καὶ κτηθήσονται ἔτι ἀγροὶ ἐν τῇ γῇ ἣ σὺ λέγεις, ἄβατος ἐστὶν ἀπὸ ἀνθρώπων καὶ κτήνους, καὶ παρεδόθησαν εἰς χεῖρας χαλδαίων, καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ. καὶ γράψεις ἐν βιβλίῳ, καὶ σφραγιεῖς, καὶ διαμαρτύρῃ μάρτυρας ἐν γῇ βενιαμὶν, καὶ κύκλῳ τῆς ἱερουσαλὴμ, καὶ ἐν πόλεσιν ἰούδα, καὶ ἐν πόλεσι τοῦ ὄρους, καὶ ἐν πόλεσι τῆς σεφηλὰ καὶ ἐν πόλεσι τῆς ναγὲβ, ὅτι ἀποστρέψω τὰς ἀποικίας αὐτῶν.

Καὶ

Caput XXXIII

Καὶ ἐγένετο λόγος κυρίου πρὸς
ἱερεμίαν δεύτερον, καὶ αὐτὸς ἦν ἔτι
δεδεμένος ἐν τῇ αὐλῇ τῆς φυλακῆς,
λέγων, οὕτως εἶπε κύριος. ποιῶν
γῆν, καὶ πλάσσων αὐτὴν, τοῦ ἀνορ-
θῶσαι αὐτὴν, κύριος ὄνομα αὐτῷ.
καὶ κέκραξον πρός με, καὶ ἀποκριθή-
σομαί σοι, καὶ ἀπαγγελῶ σοι μεγά-
λα καὶ ἰσχυρὰ, ἃ οὐκ ἔγνως αὐτά. ὅ-
τι οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ,
περὶ οἴκων τῆς πόλεως ταύτης, καὶ
περὶ οἴκων βασιλέως ἰούδα τῶν καθῃ-
ρημένων εἰς χάρακα, καὶ προμαχῶ-
νας τοῦ μάχεσθαι πρὸς τοὺς χαλ-
δαίους, καὶ πληρώσω αὐτὴν νεκρῶν
τῶν ἀνθρώπων, οὓς ἐπάταξα ἐν
ὀργῇ μου καὶ ἐν θυμῷ μου. καὶ ἀ-
πέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐ-
τῶν, περὶ πασῶν τῶν πονηρῶν
αὐτῶν, ἰδοὺ ἐγὼ ἀνάγω αὐτῇ
συνούλωσιν καὶ ἴαμα, καὶ ἰατρεύ-
σω αὐτὴν, καὶ φανερώσω αὐτοῖς εἰ-
σακούειν, καὶ ἱερατεύσω αὐτούς.
καὶ ποιήσω εἰρήνην καὶ πίστιν, καὶ
ἀποστρέψω τὴν ἀποικίαν ἰούδα, καὶ
ἀποικίαν ἰσραὴλ, καὶ οἰκοδομήσω αὐ-
τοὺς, καθὼς καὶ τὸ πρότερον, καὶ κα-
θαριῶ αὐτοὺς ἀπὸ πασῶν τῶν ἀδικι-
ῶν αὐτῶν, ὧν ἥμαρτόν μοι. καὶ οὐ μὴ
μνησθήσομαι ἁμαρτιῶν αὐτῶν ὧν
ἥμαρτόν μοι, καὶ ἀπέστησαν ἀπ' ἐ-
μοῦ. καὶ ἔσται εἰς εὐφροσύνην καὶ εἰς αἴ-
νεσιν, καὶ εἰς μεγαλειότητα παντὶ
τῷ λαῷ τῆς γῆς, οἵτινες ἀκούσονται

πάν-

Et factũ est uerbum domini ad Hieremiam iterũ, qui erat adhuc ligatus in atrio carceris, dicens, Sic dixit dominus. Faciens terram, & formans eam, ut dirigat eam, Dominus nomen illi. Clama ad me, & respondebo tibi, & annunciabo tibi grandia & firma, quæ non cognouisti. Quia sic dixit dominus deus Israel de domibus urbis huius, & de domibus regis Iuda, quæ destructæ sunt ad uallum, & propugnacula, ut pugnẽt contra Chaldæos, implebo eam mortuis hominibus, quos percussi ira mea & furore meo, & auerti faciem meã à ciuitate hac propter omnes malitias eorum. Ecce ego obducã ei cicatricẽ & sanitatem, & curabo eos, & patefaciã eis, ut exaudiã, sacerdotes faciã eos. Et faciã pacẽ & fidem, et conuertam migrationẽ Iuda, et trãsmigrationem Hierusalem, & ędificabo eos ut prius. Et abluam eis omnia peccata eorum, quæ in me commiserunt, nec recordabor scelerũ, quibus in me peccarunt, & recesserunt à me. Et uertet mihi ad gaudium, & ad laudem & ad magnificentiam omni populo terræ, qui audient

omnia

omnia bona, quæ ego tribuo eis. Sic dixit dñs, Adhuc audietur in loco isto, (quem uos dicitis desertũ esse ab hominibus & iumentis, in ciuitatibus Iuda & extra Hierusalẽ, quę uastata sunt ita, ut nec homo sit, nec iumẽtum) vox gaudij, & uox lætitiæ, uox sponsi, & uox sponsæ, uox dicentium, cõfitemini domino omnipotẽti, quoniã bonus dñs, quoniam in æternum misericordia eius. Et portabunt dona in domum domini, quia conuertã omnẽ transmigrationem terræ illius, sicut prius, dixit dominus. Sic dicit dominus exercituum, Adhuc erit in loco isto, qui desertus est, propterea quod neq; homines sunt neq; iumẽta, et in omnibus ciuitatibus eius habitacula pastorum collocantium greges in ciuitatibus montanæ, & in ciuitatibus Sephila, & in ciuitatibus Nageb, et in terra Beniamin, et in his quę in circuitu Hierusalem, et in ciuitatibus Iuda. Adhuc transibunt oues ad manum numerantis, dixit dominus.

πάντα τὰ ἀγαθὰ ἃ ἐγὼ ποιήσω, καὶ φοβηθήσονται καὶ πικρανθήσονται περὶ πάντων τῶν ἀγαθῶν, καὶ περὶ πάσης τῆς εἰρήνης, ἧς ἐγὼ ποιήσω αὐτοῖς. οὕτως εἶπε κύριος, ἔτι ἀκουσθήσεται ἐν τῷ τόπῳ τούτῳ, ᾧ ὑμεῖς λέγετε, ἔρημος. ὄντων ἀπὸ ἀνθρώπων καὶ κτηνῶν. ἐν πόλεσιν ἰούδα καὶ ἔξωθεν ἱερουσαλὴμ ταῖς ἠρημωμέναις, παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη, φωνὴ εὐφροσύνης, καὶ φωνὴ χαρμοσύνης, φωνὴ νυμφίου καὶ φωνὴ νύμφης, φωνὴ λεγόντων, ἐξομολογεῖσθε κυρίῳ παντοκράτορι, ὅτι χρηστὸς κύριος, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ εἰσοίσουσι δῶρα εἰς οἶκον κυρίου, ὅτι ἐπιστρέψω πᾶσαν τὴν ἀποικίαν τῆς γῆς ἐκείνης, κατὰ τὸ πρότερον, εἶπε κύριος. οὕτως εἶπε κύριος τῶν δυνάμεων, ἔτι ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ, παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη, ἐν πάσαις ταῖς πόλεσιν αὐτοῦ καταλύματα ποιμένων. κοιταζόντων πρόβατα ἐν πόλεσι τῆς ὀρεινῆς, καὶ ἐν πόλεσι τοῖς σεφηλᾶ. καὶ ἐν πόλεσι τῆς ναγὲβ, καὶ ἐν γῇ βενιαμὶν, καὶ ἐν τοῖς κύκλῳ ἱερουσαλὴμ. καὶ ἐν πόλεσιν ἰούδα. ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος. εἶπε κύριος.

Ca. XXXIIII

Sermo qui factus est ad Hieremiam à domino. Et Nabuchodonosor rex Babylonis, & omnis exercitus

Ὁ λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν παρὰ κυρίου. Καὶ ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, καὶ πᾶν τὸ

τὸ στρατόπεδον αὐτοῦ, καὶ πᾶσα ἡ
γῆ ἀρχῆς αὐτοῦ ἐπολέμουν ἐπὶ ἱερου-
σαλὴμ, καὶ ἐπὶ πάσας τὰς πόλεις
ἰούδα; λέγων, οὕτως εἶπε κύριος, βάδι-
σον πρὸς σεδεκίαν βασιλέα ἰού-
δα, καὶ ἐρεῖς αὐτῷ, οὕτως εἶπε κύ-
ριος. παραδόσει παραδοθήσεται ἡ
πόλις αὕτη εἰς χεῖρας βασιλέως βα-
βυλῶνος, καὶ συλλήψεται αὐτὴν, καὶ
καύσει αὐτὴν ἐν πυρὶ, καί σὺ οὐ μὴ
σωθῇς ἐκ χειρὸς αὐτοῦ, καὶ συλλήψει
συλληφθήσῃ, καὶ εἰς χεῖρας αὐτοῦ δο-
θήσῃ. καὶ ὀφθαλμοί σου τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ ὄψονται, καὶ τὸ στό-
μα αὐτοῦ μετὰ τοῦ στόματός σου λα-
λήσει, καὶ εἰς βαβυλῶνα εἰσελεύσῃ.
ἀλλὰ ἄκουσον τὸν λόγον κυρίου, σεδε-
κία βασιλεῦ ἰούδα. οὕτως λέγει κύ-
ριος, οὐκ ἀποθανῇ ἐν ῥομφαίᾳ, ἐν
εἰρήνῃ ἀποθανῇ. καὶ ὡς ἔκλαυσαν
τοὺς πατέρας σου τοὺς βασιλεύσαν-
τας πρότερόν σου, κλαύσονται καί
σε, οὐαὶ κύριε. καὶ ἕως ᾅδου κόψονταί
σε, ὅτι λόγον ἐγὼ ἐλάλησα, εἶπε κύ-
ριος. καὶ ἐλάλησεν ἱερεμίας πρὸς
τὸν βασιλέα σεδεκίαν πάντας τοὺς
λόγους τούτους ἐν ἱερουσαλὴμ. καὶ ἡ
δύναμις βασιλέως βαβυλῶνος ἐπο-
λέμει ἐπὶ ἱερουσαλὴμ, καὶ ἐπὶ τὰς
πόλεις ἰούδα, καὶ ἐπὶ λαχεὶς, καὶ ἐπὶ
ἄζηκα, ὅτι αὗται κατελείφθησαν ἐν
πόλεσιν ἰούδα πόλεις ὀχυραί. Ὁ λό-
γος ὁ γενόμενος πρὸς ἱερεμίαν πα-
ρὰ κυρίου, μετὰ τὸ συντελέσαι τὸν

exercitus eius,& uniuer-
sa terra, regni illius bella-
bat contra Hierusalem,&
contra omnes urbes Iuda.
Sic dixit dominus, Vade
ad Sedechiam regem Iu-
da. & dices ei, Sic dixit
dominus. Traditione tra-
detur ciuitas ista in ma-
nus regis Babylonis, &
capiet eam. & incendet e-
am igne, & tu non salua-
beris de manu eius,& cō-
prehensione capieris, &
in manus eius traderis &
oculi tui oculos eius uide-
bunt, & os eius cum ore
tuo loquetur,& in Baby-
lonem introibis. Sed audi
uerbum domini Sedechia
rex Iuda. Sic dicit domi-
nus, Nō morieris gladio,
in pace morieris. Et ut lu
xerunt patres tuos qui re-
gnauerunt ante te, ita &
te deplorabunt, Væ do-
mine. Et usque ad infer-
num plangent te, quia uer
bum locutus sum, dixit do
minus. Et loquutus est
Hieremias ad regem Se-
dechiam uniuersa uerba
hæc in Hierusalem. cum
exercitus regis Babylo-
nis pugnaret contra Hie-
rusalem,& contra ciuita-
tes Iuda, quæ relictę erant
contra Lachis & contra
Azica; quia istæ relictæ
erant ex ciuitatibus Iuda,
ciuitates munitæ Verbū
quod factum est ad Hiere
mā à dño, postq̄ perfecit

rex Sedechias fœdus ad
omnem populum, qui in
Hierusalem, ut uocarent
iam remissionem, ut emit-
teret unusquisque seruum
suum, et unusquisque ancil-
lam suam. Hebræum et
Hebræam liberos, ut non
seruiret uir ex Israel. At
postea mutauerunt senten
tiam optimates et uniuer-
sus populus, et quotquot
in pactionem uenerant, ut
quisque manumitteret suum
seruum, et quisque suam an-
cillam, et subegerunt eos,
ut serui essent et ancillæ.
Et factum est uerbum do-
mini ad Hieremiam, di-
cens, Sic dixit dominus
Exo.21 deus Israel, Ego sanxi fœ
Deut.15 dus cum patribus uestris,
eo die, quo eduxi eos de
terra Ægypti, de domo
seruitutis, dicens, Cum cō
pleti fuerint sex anni, ma-
numittes fratrē tuū Hebræū
qui uēdetur tibi, et opera
bit tibi sex annis, et emit
tes eum liberū. Et nō au-
dierūt me, neque præbue-
rūt aurē suā, et cōuersi sūt
hodie, ut facerent rectum
ante oculos meos, ut renū
ciaret quisque manumissio-
nē proximi sui. Et consū-
mauerunt pactionē in con
spectu meo, in domo, in
qua inuocatū est nomē me
um. Et reuersi estis, et pro
fanastis pactū meū, ut re-
duceret unusquisque ser-
uum suum, et unusquis-
que ancillam suam, quos
emisistis

βασιλέα σεδεκίαν διαθήκην πρὸς
τὸν λαὸν τοῦ καλέσαι ἄφεσιν, τοῦ
ἐξαποστεῖλαι ἕκαστον τὸν παῖδα αὐ-
τοῦ, καὶ ἕκαστον τὴν παιδίσκην αὐ-
τοῦ, τὸν ἑβραῖον καὶ τὴν ἑβραίαν, ἐ-
λευθέρους πρὸς τὸ μὴ δουλεύειν αὐ-
τὸν ἐξ ἰσραήλ. καὶ ἐπεστράφησαν
πάντες οἱ μεγιστᾶνες, καὶ πᾶς ὁ
λαὸς οἱ εἰσελθόντες ἐν τῇ διαθή-
κῃ, τοῦ ἀποστεῖλαι ἕκαστον τὸν παῖ-
δα αὐτοῦ, καὶ ἕκαστος τὴν παιδί-
σκην αὐτοῦ, καὶ εἴασαν αὐτοὺς εἰς παῖ-
δας καὶ παιδίσκας. καὶ ἐγενήθη λό-
γος κυρίου πρὸς ἱερεμίαν λέγων, οὕ-
τως εἶπε κύριος ὁ θεὸς ἰσραήλ. ἐγὼ
διεθέμην διαθήκην πρὸς τοὺς πα-
τέρας ὑμῶν ἐν τῇ ἡμέρᾳ ᾗ ἐξηγό-
μην αὐτοὺς ἐκ γῆς αἰγύπτου, ἐξ οἴ-
κου δουλείας, λέγων, ὅταν πληρωθῇ
ἓξ ἔτη, ἀποστελεῖς τὸν ἀδελφόν σου
τὸν ἑβραῖον ὃς πραθήσεταί σοι, καὶ
ἐργᾶταί σοι ἓξ ἔτη, καὶ ἀποστελεῖς
αὐτὸν ἐλεύθερον. καὶ οὐκ ἤκουσάν
μου, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν,
καὶ ἐπέστρεψαν σήμερον τοῦ ποιῆ-
σαι τὸ εὐθὲς πρὸ ὀφθαλμῶν μου,
τοῦ καλέσαι ἄφεσιν ἕκαστον τοῦ πλη-
σίον αὐτοῦ. καὶ συνετέλεσαν δια-
θήκην κατὰ πρόσωπόν μου, ἐν τῷ
οἴκῳ, ᾧ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ'
αὐτῷ. καὶ ἀπεστρέψατε, καὶ ἐβε-
βηλώσατε τὸ ὄνομά μου, τοῦ ἐπιστρέ-
ψαι ἕκαστον τὸν παῖδα αὐτοῦ, καὶ
ἕκαστον τὴν παιδίσκην αὐτοῦ, οὓς
ἐξαπε-

ἐξαπεστείλατε ἐλευθέρους τῇ ψυχῇ αὐτῶν, τοῦ εἶναι ὑμῖν εἰς παῖδας καὶ παιδίσκας. διὰ τοῦτο εἶπε κύριος, ὑμεῖς οὐκ ἠκούσατέ μου, τοῦ καλέσαι ἕκαστον ἄφεσιν πρὸς τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἕκαστον πρὸς τὸν πλησίον αὐτοῦ. ἰδοὺ ἐγὼ καλῶ ἄφεσιν ὑμῖν εἰς μάχαιραν καὶ εἰς τὸν θάνατον, καὶ εἰς τὸν λιμὸν, καὶ δώσω ὑμᾶς εἰς διασπορὰν πάσαις ταῖς βασιλείαις τῆς γῆς, καὶ δώσω τοὺς ἄνδρας τοὺς παρεληλυθότας τὴν διαθήκην μου, τοὺς μὴ στήσαντας τὴν διαθήκην μου, ἣν ἐποίησαν κατὰ πρόσωπόν μου. τὸν μόσχον ὃν ἐποίησαν κατὰ πρόσωπόν μου ἐργάζεσθαι αὐτῷ, τοὺς ἄρχοντας ἰούδα, καὶ τοὺς δυνάστας, καὶ τοὺς ἱερεῖς, καὶ τὸν λαὸν. καὶ δώσω αὐτοὺς τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἔσται τὰ θνησιμαῖα αὐτῶν, βρῶσις τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ τὸν σεδεκίαν βασιλέα τῆς ἰουδαίας, καὶ τοὺς ἄρχοντας αὐτῶν δώσω εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ δυνάμεις βασιλέως βαβυλῶνος τοῖς ἀποτρέχουσιν ἀπ' αὐτῶν. ἰδοὺ ἐγὼ συντάσσω, φησὶ κύριος, καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὴν γῆν ταύτην, καὶ πολεμήσουσιν ἐπ' αὐτὴν, καὶ λήψονται αὐτὴν, καὶ κατακαύσουσιν αὐτὴν ἐν πυρὶ, καὶ τὰς πόλεις ἰούδα, καὶ δώσω αὐτὰς ἐρήμους ἀπὸ τῶν κατοικούντων.

Ο λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν παρὰ κυρίου ἐν ἡμέραις ἰωακεὶμ, βασι

emisistis liberos anima eorum, et subiecistis eos, ut essent uobis serui, et ancillæ. Propterea sic dixit dominus, Vos non audistis me quo renunciaret quisque manumissionem ad fratrem suum, et unusquisque ad proximum suum. Ecce ego pronuncio remissionem uobis in gladium et in mortem, et in famē. Et dabo uos ad dissipationem omnibus regnis terræ, et dabo uiros qui uiolauerunt testamentum meum, eos qui non ratum fecerūt pactū meum, quod fecerūt ante faciem meam. Vitulum quem fecerunt in cōspectu meo ad operandū ei, principes Iuda, et principes Hierusalē, et potētes et sacerdotes, et omnē populū terrę, et dabo eos inimicis eorū, et erūt morticinia eorū escæ uolatilib. cœli, et bestiis terrę. Et Sedechiam regē Iudææ, et principes eius dabo in manus inimicorū suorum, et exercitus regis Babylonis, qui recedunt ab eis. Ecce ego præcipio, dicit dominus, Reducam eos in terram hanc, et præliabuntur contra eam igne, et ciuitates Iuda, & dabo eas desertas ab habitantibus.

Sermo factus ad Hieremiā à dño dieb⁹ Ioachim regis

Caput XXXV

regis Iuda, dicens, Vade in domum Archabin, & adduces eos in domũ domini in unum ex atrijs, et mitte eis uinũ. Et eduxi Iechoniam filium Hieremiæ, filium Chabasin, & fratres eius, & filios eius, & uniuersam domum Rachabin, & introduxi eos in domum domini, in pastophorium filiorum Ananiæ, filij Ananiæ, filij Godoliæ hominis dei, quod est prope domum principum super domum Maasæi filij Selom custodientis uiam. Et posui ante faciem eorum lagunculã uini & pocula, & dixi, Bibite uinum, quia Ionadab filius Rechab pater noster præcepit nobis, dicens, Non bibatis uinum uos, nec filii uestri usq; in sempiternum, & domos non ædificetis, & sementẽ non faciatis, & uinea nulla sit nobis, quia in tabernaculis habitabitis oẽs dies uestros, ut uiuatis dies multos super terrã, in qua cõmoramini. Et audiuimus uocem Ionadab patris nostri, ne biberemus uinum omnibus diebus uitæ nostræ, nos & uxores nostræ, & filij nostri & filiæ nostræ, ne ædificaremus domus ad habitandum ibi. Et uinea &

ager,

βασιλέως ἰούδα, λέγων, βάδισον εἰς οἶκον ἀρχαβίν, καὶ ἄξεις αὐτοὺς εἰς οἶκον κυρίου, εἰς μίαν τῶν αὐλῶν, καὶ ποτιεῖς αὐτοὺς οἶνον. καὶ ἐξήγαγον τὸν ἰεχονίαν υἱὸν ἱερεμίου υἱοῦ χαβασίν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ πᾶσαν τὴν οἰκίαν ῥαχαβίν, καὶ εἰσήγαγον αὐτοὺς εἰς οἶκον κυρίου, εἰς τὸ παστοφόριον υἱῶν ἀνανίου, υἱοῦ ἀνανίου, υἱοῦ γοδολίου ἀνθρώπου τοῦ θεοῦ, ὅ ἐστιν ἐγγὺς τοῦ οἴκου τῶν ἀρχόντων τῶν ἐπάνω τοῦ οἴκου μαασαίου υἱοῦ σελὼμ, τοῦ φυλάσσοντος τὴν ὁδόν. καὶ ἔδωκα κατὰ πρόσωπον αὐτῶν κεράμιον οἴνου, καὶ ποτήρια, καὶ εἶπα, πίετε οἶνον. καὶ εἶπον, οὐ μὴ πίωμεν οἶνον, ὅτι ἰωναδὰβ υἱὸς ῥηχὰβ ὁ πατὴρ ἡμῶν ἐνετείλατο ἡμῖν, λέγων, οὐ μὴ πίητε οἶνον ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν ἕως αἰῶνος, καὶ οἰκίας οὐ μὴ οἰκοδομήσητε, καὶ σπέρμα οὐ μὴ σπείρητε, καὶ ἀμπελὼν οὐκ ἔσται ὑμῖν. ὅτι ἐν σκηναῖς κατοικήσετε πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν, ὅπως ἂν ζήσητε ἡμέρας πολλὰς ἐπὶ τῆς γῆς, ἐφ᾽ ἧς διατρίβετε ὑμεῖς ἐπ᾽ αὐτῆς. καὶ ἠκούσαμεν τῆς φωνῆς ἰωναδὰβ τοῦ πατρὸς ἡμῶν, πρὸς τὸ μὴ πιεῖν οἶνον πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, ἡμεῖς καὶ αἱ γυναῖκες ἡμῶν, καὶ οἱ υἱοὶ ἡμῶν, καὶ αἱ θυγατέρες ἡμῶν, καὶ πρὸς τὸ μὴ οἰκοδομεῖν οἰκίας τοῦ κατοικεῖν ἐκεῖ. καὶ ἀμπελὼν καὶ

ἀγρὸς

ἀγρὸς καὶ σπέρμα οὐκ ἐγένετο ἡμῖν. καὶ ᾠκήσαμεν ἐν σκηναῖς, καὶ ἠκούσαμεν, καὶ ἐποιήσαμεν κατὰ πάντα ὅσα ἐνετείλατο ἡμῖν ἰωναδὰβ ὁ πατὴρ ἡμῶν. καὶ ἐγενήθη, ὅτε ἀνέβη ναβουχοδονόσορ ἐπὶ τὴν γῆν, καὶ εἴπαμεν, ἀναβάντες εἰσελευσόμεθα εἰς ἱερουσαλὴμ, ἀπὸ προσώπου τῶν χαλδαίων, καὶ ἀπὸ προσώπου τῆς δυνάμεως τῶν ἀσσυρίων, καὶ ᾠκήσαμεν ἐκεῖ. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, οὕτως λέγει κύριος, πορεύου, καὶ εἰπὸν ἀνθρώπῳ ἰούδα, καὶ τοῖς κατοικοῦσιν ἱερουσαλὴμ, οὐ μὴ λάβητε παιδείαν τοῦ ἀκούειν τοὺς λόγους μου; ἔστησαν ῥήματα ἰωναδὰβ, υἱοῦ ῥηχὰβ, ὡς ἐνετείλατο τοῖς τέκνοις αὐτοῦ πρὸς τὸ μὴ πιεῖν οἶνον, καὶ οὐκ ἐπίεσαν. καὶ ἐγὼ ἐλάλησα πρὸς ὑμᾶς ὄρθρου, καὶ ἐλάλησα, καὶ οὐκ εἰσηκούσατέ μου. καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας, λέγων, ἀποστράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ βελτίω ποιήσατε τὰ ἐπιτηδεύματα ὑμῶν, καὶ οὐ πορεύεσθε ὀπίσω θεῶν ἑτέρων τοῦ δουλεύειν αὐτοῖς. καὶ οἰκήσατε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν, καὶ τοῖς πατράσιν ὑμῶν. καὶ οὐκ ἐκλίνατε τὰ ὦτα ὑμῶν, καὶ οὐκ εἰσηκούσατε. καὶ ἔστησαν υἱοὶ ἰωναδὰβ υἱοῦ ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν, ὁ δὲ λαὸς οὗτος οὐκ ἤκουσέ μου. διὰ τοῦτο

οὕτως

ager, & sementis non fuit nobis, & habitauimus in tabernaculis, & obediuimus, & fecimus ad omnia quæ præcepit nobis Ionadab pater noster. Et factū est cū ascendisset Nabuchodonosor rex Babylonis ad terrā, diximus, Ascēdētes ingrediemur in Hierusalem à facie Chaldæorum, & à facie exercitus Assyriorum, & habitauimus illic. Et factū est uerbum dñi ad me dicens, sic dicit dñs exercituum deus Israel, uade et dic homini Iuda & habitantibus Hierusalē, non accipietis disciplinam, ut audiatis uerba mea? Rata fuerunt uerba Ionadab filij Rechab q̄d præcepit filijs suis, ne biberent uinum, & non biberunt usq; ad diem hanc, quia audierunt præceptū patris sui. Et ego locutus sum ad uos mane, & locutus sum, & non audistis, et misi ad uos seruos meos prophetas, dicens, Cōuertatur unusquisq; à uia sua mala, & corrigite studia uestra, nec sequimini deos alteros, ut seruiatis illis, & habitate in terra, quā dedi uobis, & patribus uestris. At nō præbuistis aures uestras, nec audistis. Et confirmarunt filii Ionadab, filij Rechab mandatum patris sui, quod prȩceperat eis. At popul⁹ iste nō audiuit me. Propterea

Supra 18

r sic

ſic dixit dominus, Ecce ego adduco ſuper Iudam & ſuper habitantes Hieruſalem, uniuerſa mala, quæ loquutus ſum aduerſum illos. Propter hoc ſic dixit dominus, Quoniam audierunt filii Ionadab filij Rechab mādatum patris eorum, ut facerent quęcunque præcepit eis pater eorum, non deficiet uir filiorū Ionadab filij Rechab, aſtans ante faciem meam cunctos dies terræ.

Caput XXXVI

Anno quarto Ioachim filij Ioſiæ regis Iuda factū eſt uerbum domini ad me dicens, Tolle tibi chartam libri, & ſcribe in eam omnia uerba, quæ loquutus ſum ad te ſuper Iſrael & ſuper Iudam, & ſuper omnes gentes, ex eo die quo loquutus ſum ad te, à diebus Ioſiæ regis Iuda, & uſque ad diem hanc. Fortaſſe audiet domus Iuda uniuerſa mala, quæ ego cogito facere eis, ut auertat ſe quiſque à uia ſua mala, & propitius ero iniquitatibus eorum, & peccatis eorum. Tum uocauit Hieremias Baruch filium Neriæ, & ſcripſit Baruch ex ore Hieremiæ omnes ſermones domini, quos oraculo edidit ei in chartā libri. Et præcepit Hieremias Baruch dicēs, Ego cuſtodior, & nequaquam poſſum ingredi

οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ φέρω ἐπὶ ἰούδαν καὶ ἐπὶ τοὺς κατοικοῦντας ἰερουσαλὴμ πάντα τὰ κακὰ, ἃ ἐλάλησα ἐπ᾽ αὐτούς. διὰ τοῦτο οὕτως εἶπε κύριος, ἐπειδὴ ἤκουσαν υἱοὶ ἰωναδὰβ, υἱοῦ ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν, ποιεῖν ὅσα ἐνετείλατο αὐτοῖς ὁ πατὴρ αὐτοῦ, οὐ μὴ ἐκλείπῃ ἀνὴρ τῶν υἱῶν ἰωναδὰβ υἱοῦ ῥηχὰβ, παρεστηκὼς κατὰ πρόσωπόν μου πάσας τὰς ἡμέρας τῆς γῆς.

Ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ ἰωακεὶμ υἱοῦ ἰωσία βασιλέως ἰούδα, ἐγενήθη λόγος κυρίου πρός με, λέγων, λαβὲ σεαυτῷ χαρτίον βιβλίου, καὶ γράψον ἐπ᾽ αὐτῷ πάντας τοὺς λόγους, οὓς ἐλάλησα πρός σε ἐπὶ ἰερουσαλὴμ, καὶ ἐπὶ ἰούδα, καὶ ἐπὶ πάντα τὰ ἔθνη ἀφ᾽ ἧς ἡμέρας λαλήσαντός μου πρός σε ἀφ᾽ ἡμερῶν ἰωσίου βασιλέως ἰούδα, καὶ ἕως τῆς ἡμέρας ταύτης. ἴσως ἀκούσεται ὁ οἶκος ἰούδα πάντα τὰ κακὰ, ἃ ἐγὼ λογίζομαι ποιῆσαι αὐτοῖς, ἵνα ἀποστρέψωσιν ἕκαστος ἀπὸ ὁδοῦ τῆς πονηρᾶς αὐτῶν, καὶ ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ ταῖς ἁμαρτίαις αὐτῶν. καὶ ἐκάλεσεν ἱερεμίας τὸν βαροὺχ υἱὸν νηρίου, καὶ ἔγραψεν ἀπὸ στόματος ἱερεμίου πάντας τοὺς λόγους κυρίου, οὓς ἐχρημάτισε πρὸς αὐτὸν εἰς χαρτίον βιβλίου. καὶ ἐνετείλατο ἱερεμίας τῷ βαροὺχ, λέγων, ἐγὼ φυλάσσομαι, καὶ οὐ μὴ δύνωμαι

εἰσελ

εἰσελθεῖν εἰς οἶκον κυρίου. καὶ ἀνα-
γνώσῃ ἐν τῷ χαρτίῳ τούτῳ εἰς τὰ
ὦτα τοῦ λαοῦ ἐν οἴκῳ κυρίου, ἐν ἡμέ-
ρᾳ νηστείας, καὶ ἐν ὠσὶ παντὸς ἰού-
δα τῶν ἐρχομένων ἐκ πόλεων αὐτῶν,
ἀναγνώσῃ αὐτοῖς. ἴσως πεσεῖται ἔ-
λεος αὐτῶν κατὰ πρόσωπον κυρίου,
καὶ ἀποστρέψουσιν ἀπὸ τῆς ὁδοῦ αὐ-
τῶν τῆς πονηρᾶς, ὅτι μέγας ὁ θυμὸς
καὶ ἡ ὀργὴ κυρίου, ἣν ἐλάλησεν ἐπὶ
τὸν λαὸν τοῦτον. καὶ ἐποίησε βαροὺχ
κατὰ πάντα ὅσα ἐνετείλατο αὐτῷ
ἱερεμίας, τοῦ ἀναγνῶναι ἐν τῷ βι-
βλίῳ τοὺς λόγους κυρίου ἐν οἴκῳ κυ-
ρίου. Καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ὀγ-
δόῳ τῷ βασιλεῖ ἰωακεὶμ, ἐν τῷ μηνὶ
τῷ ἐνάτῳ, ἐξεκκλησίασαν νηστείαν
κατὰ πρόσωπον κυρίου πᾶς ὁ λαὸς
ἐν ἱερουσαλὴμ, καὶ οἶκος ἰούδα.
καὶ ἀνεγίνωσκε βαροὺχ ἐν τῷ βι-
βλίῳ τοὺς λόγους ἱερεμίου ἐν οἴκῳ
κυρίου, ἐν οἴκῳ γαμαρίου, υἱοῦ σαφὰν,
τοῦ γραμματέως ἐν τῇ αὐλῇ τῇ ἐ-
πάνω, ἐν προθύροις πύλης τοῦ οἴκου
κυρίου τῆς καινῆς, ἐν ὠσὶ παντὸς τοῦ
λαοῦ. καὶ ἤκουσε μιχαίας υἱὸς γαμα-
ρίου, υἱοῦ σαφὰν, ἅπαντας τοὺς λό-
γους κυρίου ἐκ τοῦ βιβλίου. καὶ κα-
τέβη εἰς οἶκον τοῦ βασιλέως, εἰς τὸν
οἶκον τοῦ γραμματέως, καὶ ἰδοὺ ἐ-
κεῖ πάντες οἱ ἄρχοντες ἐκάθην-
το, ἐλισαμὰ ὁ γραμματεὺς, καὶ
δαλαίας υἱὸς σεμελίου, καὶ ἰωνά-
θαν υἱὸς ἀχοβὼρ, καὶ γαμαρίας υἱὸς
σαφὰν,

ingredi in domum domi-
ni. Tu ergo recitabis ex
hoc uolumine in aures po
puli, in domo domini, die
ieiunij, & in aures uniuer
si Iuda, qui ueniunt de ci-
uitatibus suis, leges eis.
Fortasse cadet misericor-
dia eorum ante faciem do
mini, et declinabunt à uia
sua mala, quia magnus fu-
ror & ira domini, quam
loquutus est super popu-
lum istũ. Et fecit Baruch
filius Neriæ iuxta omnia,
quæ præceperat illi Hiere
mias, ut legeret in uolumi
ne uerba domini, in domo
domini. Et factum est an-
no octaui regi Ioacim mẽ
se nono, renunciauerunt
ieiunium in conspectu dó
mini, uniuersus populus in
Hierusalem, & domus Iu-
da. Et legebat Baruch in
uolumine sermones Hie-
remiæ in domo domini, in
domo Gamariæ filij Sa-
ban scribæ in atrio superi
ori, in uestibulis portæ do
mus domini nouæ, in auri
bus omnis populi. Et au-
diuit Michæas filius Ga-
mariæ filii Saphan omnes
sermones domini ex li-
bro, & descendit in domũ
regis, in domum scribæ, et
ecce ibi omnes principes
sedebant, Elisama scriba,
& Dalæas filius Selemiæ,
et Ionathan filius Accho-
bor, & Gamarias filius
Saphan

Saphan, & Sedechias filius Ananiæ, & uniuersi priucipes,& nunciauit eis Michæas omnia uerba quæ audiuit, legente Baruch in libro in aures populi. Et miserunt omnes principes ad Baruch filium Nertæ, Iudin filij Nathanææ, filij Sedemiæ filij Chusi dicentes, Volumen in quo legis in aures populi, id accipe in manus tuas,& ueni. Et tulit Baruch uolumen, & descendit ad eos, qui dixerunt ei, Iterum lege in aures nostras. Et legit Baruch. Et factum est ut audierunt omnia uerba, deliberauit quisque cum proximo suo, & dixerunt ad Baruch, nunciantes nunciemus regi omnes sermones istos. Et Baruch interrogauerunt dicentes, Vnde scripsistis omnes sermones istos? Et dixit Baruch, ex ore Hieremiç, qui dictauit mihi omnes sermones istos, et ego scripsi in librum. Et dixerunt principes Baruch, Abi, abscondere tu & Hieremias, ut nemo sciat ubinã sitis. Tum ingressi sunt ad regem in atriũ, & librum dederunt ut custodiretur in domo Elisama scribæ. Et nunciauerunt regi omnes sermones. Et dimisit

rex

σαφὰν, καὶ σεδεκίας υἱὸς ἀνανίου, καὶ πάντες οἱ ἄρχοντες, καὶ ἀνήγγειλεν αὐτοῖς μιχαίας πάντας τοὺς λόγους οὓς ἤκουσεν, ἀναγινώσκοντος τοῦ βαρούχ εἰς τὰ ὦτα τοῦ λαοῦ. καὶ ἀπέστειλαν πάντες οἱ ἄρχοντες πρὸς βαρούχ υἱὸν νηρίου τὸν ἰουδὶν υἱοῦ ναθαναίου, υἱοῦ σεδεμίου, υἱοῦ χουσί, λέγοντες, τὸ χαρτίον ἐν ᾧ σὺ ἀναγινώσκεις ἐν αὐτῷ ἐν ὠσὶ τοῦ λαοῦ, λαβὲ αὐτὸ εἰς τὴν χεῖρά σου, καὶ ἧκε. καὶ ἔλαβε βαρούχ τὸ χαρτίον, καὶ κατέβη πρὸς αὐτούς, καὶ εἶπον αὐτῷ, πάλιν ἀνάγνωθι εἰς τὰ ὦτα ἡμῶν. καὶ ἀνέγνω βαρούχ. καὶ ἐγένετο ὡς ἤκουσαν πάντας τοὺς λόγους, συνεβουλεύσαντο ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ εἶπον, ἀναγγέλλοντες ἀναγγείλωμεν τῷ βασιλεῖ ἅπαντας τοὺς λόγους τούτους. καὶ τὸν βαρούχ ἠρώτησαν λέγοντες, πόθεν ἔγραψας πάντας τοὺς λόγους τούτους; καὶ εἶπε βαρούχ, ἀπὸ στόματος αὐτοῦ, ἀνήγγειλέ μοι ἱερεμίας πάντας τοὺς λόγους τούτους, καὶ ἔγραφον ἐν βιβλίῳ. καὶ εἶπον τῷ βαρούχ, βάδισον καὶ κατακρύβηθι σὺ καὶ ἱερεμίας, καὶ ἄνθρωπος μὴ γνώτω ποῦ ὑμεῖς. καὶ εἰσῆλθον πρὸς τὸν βασιλέα εἰς τὴν αὐλὴν, καὶ τὸ χαρτίον ἔδωκαν φυλάσσειν ἐν οἴκῳ ἐλισαμά. καὶ ἀνήγγειλαν τῷ βασιλεῖ πάντας τοὺς λόγους τούτους. καὶ ἀπέστειλεν

ὁ βα-

ὁ βασιλεὺς τὸν ἰουδὶν λαβεῖν τὸ χαρτίον. καὶ ἔλαβεν αὐτὸ ἐξ οἴκου ἐλισαμὰ, καὶ ἀνέγνω ἰουδὶν εἰς τὰ ὦτα τοῦ βασιλέως, καὶ εἰς τὰ ὦτα πάντων τῶν ἀρχόντων, τῶν ἑστηκότων περὶ τὸν βασιλέα. καὶ ὁ βασιλεὺς ἐκάθητο ἐν οἴκῳ χειμερινῷ, καὶ ἐσχάρα πυρὸς κατὰ πρόσωπον αὐτοῦ. καὶ ἐγενήθη, ἀναγινώσκοντος ἰουδὶν τρεῖς σελίδας καὶ τέσσαρας, ἀπέτεμεν αὐτὰς τῷ ξυρῷ τοῦ γραμματέως, καὶ ἔρριπτον εἰς τὸ πῦρ, τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως ἐξέλιπε πᾶς ὁ χάρτης εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας. καὶ οὐκ ἐξέστησαν, καὶ οὐ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, ὁ βασιλεὺς, καὶ οἱ παῖδες αὐτοῦ οἱ ἀκούοντες πάντας τοὺς λόγους τούτους. καὶ ἰωνάθαν καὶ γοδολίας καὶ δαλαίας, καὶ γαμαρίας ὑπέθεντο τῷ βασιλεῖ, πρὸς τὸ μὴ κατακαῦσαι τὸ χαρτίον, καὶ οὐκ ἤκουσεν αὐτῶν. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ ἱερεμιὴλ υἱῷ τοῦ βασιλέως, καὶ τῷ σαραίᾳ υἱῷ ἐδριὴλ, συλλαβεῖν τὸν βαροὺχ καὶ τὸν ἱερεμίαν, καὶ κατεκρύβησαν. Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν μετὰ τὸ κατακαῦσαι τὸν βασιλέα τὸ χαρτίον, πάντας τοὺς λόγους οὓς ἔγραψε βαροὺχ ἀπὸ στόματος ἱερεμίου, λέγων, πάλιν λαβὲ σὺ χαρτίον ἕτερον, καὶ γράψον πάντας τοὺς λόγους τοὺς ὄντας ἐπὶ τοῦ χαρτίου, οὓς κατέκαυσεν ὁ βασιλεὺς

ἰωακείμ,

rex Iudin, ut sumeret librum. Et tulit illũ de domo Elisama legitq; in aures regis, & in aures omnium principum, qui stabant circa regem. Et rex sedebat in domo hyemali, & foculus ignis ante faciem eius. Et factum est legente Iudin tres paginas et quatuor, ut abscinderet illas nouacula scribæ, in ignem qui super arula, donec conficeretur totũ uolumen igne, qui erat in foculo. Et nõ obstupuerũt, neq; sciderunt uestimenta sua rex, & omnes serui eius, qui audierunt uniuersos sermones istos. Et Ionathan, & Godolias, & Dalæas restiterunt regi, ne combureret uolumen, sed nõ audiuit eos. Et præcepit rex Hieremeel filio regis, & Saræ filio Edriel, ut comprehenderẽt Baruch scribam, & Hieremiam prophetam, & absconsi sunt. Et fiebat uerbum domini ad Hieremiam, postquam combusisset rex uolumen, omnia uerba quæ scripserat Baruch ex ore Hieremiæ, dicens, Rursum accipe tu uolumẽ aliud, & scribe omnes sermones qui erãt in uolumine, quod combusit rex

Ioacim.

Ioacim. Et dices, Sic dixit dominus, tu combussisti librum hunc, dicens, Quare scripsisti in eo, dicens, Intrans intrabit rex Babylonis, et uastabit terram hanc, & deficient in illa tam homines quàm iumenta? Propterea sic dixit dominus ad Ioacim regem Iuda, Non erit ei qui sedeat super soliũ Dauid, et cadauer eius proijcietur in æstu diei, & in frigore noctis, & uisitabo eum & genus eius, & seruos eius, & inducam super eos, & super habitantes Hierusalem, & super terram Iuda, omnia mala quæ loquutus sum ad eos, & non audierunt. Tum accepit Baruch chartam aliam, & scripsit in eam ex ore Hieremiæ om̃es sermones libri eius, quem combussit Ioacim, & adhuc additi sunt ei sermones plures, quàm isti.

ἰωακείμ. καὶ ἐρεῖς, οὕτως εἶπε κύριος, σὺ κατέκαυσας τὸ χαρτίον τοῦτο, λέγων, διὰ τί ἔγραψας ἐπ᾽ αὐτῷ, λέγων, εἰσπορευόμενος εἰσελεύσεται βασιλεὺς βαβυλῶνος, καὶ ἐξολοθρεύσει τὴν γῆν ταύτην, καὶ ἐκλείψει ἐπ᾽ αὐτῆς ἄνθρωπος καὶ κτήνη; διὰ τοῦτο οὕτως εἶπε κύριος ἐπὶ ἰωακεὶμ βασιλέας ἰούδα, οὐκ ἔσται αὐτῷ καθήμενος ἐπὶ θρόνου δαβίδ, καὶ τὸ θνησιμαῖον αὐτοῦ ἔσται ἐρριμμένον ἐν τῷ καύματι τῆς ἡμέρας, καὶ ἐν τῷ παγετῷ τῆς νυκτός, καὶ ἐπισκέψομαι ἐπ᾽ αὐτόν, καὶ ἐπὶ τὸ γένος αὐτοῦ, καὶ ἐπὶ τοὺς παῖδας αὐτοῦ, καὶ ἐπάξω ἐπ᾽ αὐτοὺς καὶ ἐπὶ τοὺς κατοικοῦντας ἱερουσαλήμ, καὶ ἐπὶ γῆν ἰούδα, πάντα τὰ κακά, ἃ ἐλάλησα πρὸς αὐτούς, καὶ οὐκ ἤκουσαν. καὶ ἔλαβε βαρούχ χαρτίον ἕτερον, καὶ ἔγραψεν ἐπ᾽ αὐτῷ ἀπὸ στόματος ἱερεμίου, ἅπαντας τοὺς λόγους τοῦ βιβλίου, ὃ κατέκαυσεν ἰωακείμ. καὶ ἔτι προσετέθησαν αὐτῷ λόγοι πλείονες, ὡς οὗτοι.

Caput XXXVII

Et regnauit Sedecias, filius Iosiæ pro Ioacim, quem constituerat rex Babylonis Nabuchodonosor, ut dominaretur Iuda. Verum nec ipse audiuit, neque serui eius, nec denique populus terræ uerba domini, quæ loquutus est in manu Hieremiæ. Et misit rex Sedecias Ionchas filium Selemiæ, & Sophonian

Καὶ ἐβασίλευσε σεδεκίας υἱὸς ἰωσίας ἀντὶ ἰωακείμ, ὃν ἐβασίλευσε βασιλεὺς βαβυλῶνος ναβουχοδονόσορ βασιλεύειν τοῦ ἰούδα, καὶ οὐκ ἤκουσαν αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ὁ λαὸς τῆς γῆς τοὺς λόγους κυρίου, οὓς ἐλάλησεν ἐν χειρὶ ἱερεμίου. καὶ ἀπέστειλεν ὁ βασιλεὺς σεδεκίας τὸν ἰωάχας υἱὸν σελεμίου, καὶ τὸν σοφονίαν

σοφονίαν υἱὸν μαασαίου τὸν ἱερέα, πρὸς ἱερεμίαν λέγων, πρόσευξαι δὴ περὶ ἡμῶν πρὸς κύριον. καὶ ἱερεμίας ἦλθε, καὶ διῆλθε διὰ μέσου τῆς πόλεως, καὶ οὐκ ἔδωκαν αὐτὸν εἰς οἶκον τῆς φυλακῆς. καὶ δύναμις φαραὼ ἐξῆλθεν ἐξ αἰγύπτου, καὶ ἤκουσαν οἱ χαλδαῖοι τὴν ἀκοὴν αὐτῶν, καὶ ἀνέβησαν ἀπὸ ἱερουσαλήμ. Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν, λέγων, οὕτως εἶπε κύριος, οὕτως ἐρεῖς πρὸς τὸν βασιλέα ἰούδα, τὸν ἀποστείλαντα πρός σε τοῦ ἐκζητῆσαί με. ἰδοὺ δύναμις φαραὼ ἐξελθοῦσα ὑμῖν εἰς βοήθειαν, ἀποστρέψουσιν εἰς γῆν αἰγύπτου, καὶ ἀναστρέψουσιν αὐτοὶ οἱ χαλδαῖοι, καὶ πολεμήσουσιν ἐπὶ τὴν γῆν ταύτην, καὶ συλλήψονται αὐτήν, καὶ καύσουσιν αὐτὴν ἐν πυρί. ὅτι οὕτως εἶπε κύριος, μὴ ὑπολάβητε ταῖς ψυχαῖς ὑμῶν, λέγοντες, ἀποτρέχοντες ἀπελεύσονται ἀφ' ὑμῶν οἱ χαλδαῖοι, ὅτι οὐ μὴ ἀπέλθωσι. καὶ ἐὰν πατάξητε πᾶσαν δύναμιν τῶν χαλδαίων τοὺς πολεμοῦντας ὑμᾶς, καὶ καταλειφθῶσί τινες ἐκκεκεντημένοι, ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ οὗτοι ἀναστήσονται, καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν πυρί. Καὶ ἐγένετο, ὅτε ἀνέβη ἡ δύναμις τῶν χαλδαίων ἀπὸ ἱερουσαλήμ, ἀπὸ προσώπου τῆς δυνάμεως φαραώ, ἐξῆλθεν ἱερεμίας ἀπὸ ἱερουσαλὴμ τοῦ πορευ-

θῆναι

Sophenian filium Manasæi sacerdotem ad Hieremiam dicens, Ora pro nobis ad dominum deum nostrum. Et Hieremias uenit, transijtq; per mediam urbem, non tamen duxerunt eum in carcerem. Et exercitus Pharao egressus est ex Ægypto, & audierunt Chaldæi famam eorum, & recesserunt à Hierusalem. Et factum est uerbum domini ad Hieremiam, dicẽs, Sic dixit dominus. Sic dices ad regem Iuda, qui misit ad te, ut requirerent me, Ecce exercitus Pharao, qui egressus est nobis in auxiliũ, reuertetur in terram Ægypti, & reuertentur ipsi Chaldæi, & bellabunt contra ciuitatem hanc, & capient eam, & succendent eam igne. Quia sic dixit dominus, Ne existimetis animis uestris, dicẽtes, Recedentes abibunt à nobis Chaldæi, quia non abibunt. Et si percusseritis omnem exercitum Chaldęorum oppugnantes uos, et relicti fuerint aliqui uulnerati, unusquisque in loco suo, isti consurgent, & incendent ciuitatem hanc igne. Et factum est cum ascẽdisset exercitus Chaldæorum à Hierusalem à facie exercitus Pharao, ut egrederetur Hieremias de Hierusalẽ, ut profici-

sceretq;

sceretur in terram Beniamin, ut concionaretur inde in medio populi. Cūq; ipse esset in porta Beniamin, erat ibi homo, ad quē diuersatur Saruias filius Salamiæ filii Ananiæ, & comprehēdit Hieremiam dicens, Ad Chaldæos tu fugis? & dixit Mendacium, non ad Chaldęos ego fugio. At non audiuit eū. Et comprehendit Saruias Hieremiam, et introduxit eū ad principes, & indignati sunt principes contra Hieremiā, et percusserunt eum, & miserunt eum in domum Ionathan scribę, quia hanc fecerūt ut esset domus carceris. Et uenit Hieremias in domum lacus & in Chereb, & sedit ibi dies multos. Et misit Sedechias rex, uocauitq; eū, & interrogabat eū rex abscondite, dicebatq; utrum esset sermo à domino. Et dixit ei, Est, in manus regis Babylonis traderis. Et dixit Hieremias regi, In quo iniuria affeci te, & seruos tuos, & populum hunc, quod tu das me in domum carceris? Et ubi sunt prophetæ uestri, qui uaticinati sunt uobis dicentes, Non ueniet rex Babylonis in terram hāc? Et nūc dñe mi rex, cadat miseri-

Supra 20

θῆναι εἰς γῆν βενιαμὶν, τοῦ ἀγοράσαι ἐκεῖθεν ἐν μέσῳ τοῦ λαοῦ. καὶ ἐγένετο αὐτὸς ἐν πύλῃ βενιαμὶν, καὶ ἐκεῖ ἄνθρωπος παρ᾽ ᾧ κατέλυε σαρουΐας υἱὸς σελεμίου, υἱοῦ ἀνανίου, καὶ συνέλαβε τὸν ἱερεμίαν, λέγων, πρὸς τοὺς χαλδαίους σὺ φεύγεις; καὶ εἶπε, ψεῦδος, οὐχὶ πρὸς τοὺς χαλδαίους ἐγὼ φεύγω. καὶ οὐκ εἰσήκουσεν αὐτοῦ. καὶ συνέλαβε σαρουΐας τὸν ἱερεμίαν, καὶ εἰσήγαγον αὐτὸν πρὸς ἄρχοντας. καὶ ἐπικράνθησαν οἱ ἄρχοντες ἐπὶ ἱερεμίαν, καὶ ἐπάταξαν, καὶ ἀπέστειλαν αὐτὸν εἰς τὴν οἰκίαν ἰωνάθαμ τοῦ γραμματέως, ὅτι ταύτην ἐποίησαν εἰς οἰκίαν φυλακῆς. καὶ ἦλθεν ἱερεμίας εἰς οἰκίαν τοῦ λάκκου, καὶ εἰς τὴν χερὶθ, καὶ ἐκάθισεν ἐκεῖ ἡμέρας πολλάς. καὶ ἀπέστειλε σεδεκίας ὁ βασιλεὺς, καὶ ἐκάλεσεν αὐτόν. καὶ ἠρώτα αὐτὸν ὁ βασιλεὺς κρυφαίως, καὶ εἶπεν αὐτῷ, εἰ ἔστιν ὁ λόγος παρὰ κυρίου; καὶ εἶπεν, ἔστιν. εἰς χεῖρας βασιλέως βαβυλῶνος παραδοθήσῃ. καὶ εἶπεν ἱερεμίας τῷ βασιλεῖ, τί ἠδίκησά σε, καὶ τοὺς παῖδάς σου, καὶ τὸν λαὸν τοῦτον, ὅτι σὺ δίδως με εἰς οἰκίαν φυλακῆς; καὶ ποῦ εἰσιν οἱ προφῆται ὑμῶν, οἱ προφητεύσαντες ὑμῖν; λέγοντες, ὅτι οὐ μὴ ἔλθῃ βασιλεὺς βαβυλῶνος ἐπὶ τὴν γῆν ταύτην; καὶ νῦν κύριέ μου βασιλεῦ, πεσέτω τὸ

ἔλεός

ἔλεός μου κατὰ πρόσωπόν σου, καὶ μὴ ἀποστρέψῃς με εἰς οἰκίαν ἰωνάθαμ τοῦ γραμματέως, καὶ οὐ μὴ ἀποθάνω ἐκεῖ. καὶ συνέταξεν ὁ βασιλεὺς, καὶ ἐνεβάλοσαν αὐτὸν εἰς οἰκίαν τῆς φυλακῆς, καὶ ἐδίδοσαν αὐτῷ ἄρτον ἕνα τῆς ἡμέρας, ἔξωθεν οὗ πέσσουσιν, ἕως ἐξέλιπον οἱ ἄρτοι ἐκ τῆς πόλεως. καὶ ἐκάθισεν ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

Καὶ ἤκουσε σαφανίας υἱὸς νάθαν, καὶ γοδολίας υἱὸς πασχὼρ, καὶ ἰωάχαλ υἱὸς σελίου, τοὺς λόγους οὓς ἱερεμίας ἐλάλει ἐπὶ τὸν λαὸν, λέγων, οὕτως εἶπε κύριος. ὁ κατοικῶν ἐν τῇ πόλει ταύτῃ, ἀποθανεῖται ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ. καὶ ὁ ἐκπορευόμενος πρὸς τοὺς χαλδαίους ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρημα, καὶ ζήσεται. ὅτι οὕτως εἶπε κύριος, παραδιδομένη παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας δυνάμεως βασιλέως βαβυλῶνος, καὶ συλλήψεται αὐτήν. καὶ εἶπον τῷ βασιλεῖ, ἀναιρεθήτω δὴ ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολεμούντων, τῶν καταλειπομένων ἐν τῇ πόλει, καὶ τὰς χεῖρας παντὸς τοῦ λαοῦ, λαλῶν πρὸς αὐτοὺς κατὰ τοὺς λόγους τούτους. ὅτι ὁ ἄνθρωπος οὗτος οὐ χρησμολογεῖ εἰρήνην τῷ λαῷ τούτῳ, ἀλλ' ἢ πονηρά. καὶ εἶπεν ὁ βασιλεὺς, ἰδοὺ αὐτὸς ἐν

ταῖς

misericordia mea in conſpectu tuo, & ne auertas me in domum Ionatham ſcribæ, nec moriar illic. Et cum mandaſſet rex, iecerunt eum in domum carceris, & dederunt ei panem unum in die foris, ubi panes faciunt, donec defecerunt panes de ciuitate. Ita ſedit Hieremias in atrio carceris.

Et audiuit Saphanias filius Nathan, & Godolias filius Paſcor, & Ioachal filius Seliç, ſermones, quos Hieremias loquebatur ad populum, dicens, Sic dixit dominus, ſedens in ciuitate iſta morietur gladio, & fame & peſte. At egrediens ad Chaldæos, uiuet, & ponet animã eius in lucro, & uiuet. Quia ſic dixit dominus, Tradita tradetur ciuitas hæc in manus exercitus regis Babylonis, & capiet eam. Et dixerunt principes regi, occidatur iam homo ille, quia ipſe diſſoluit manus hominum bellantium, qui remanſerunt in ciuitate hac, & manus uniuerſi populi, loquens ad eos ſecundum uerba iſta, quia homo iſte non diuinat pacẽ populo huic, ſed mala. Et dixit rex Sedecias, Ecce ipſe in Caput XXXVIII

manibus

manibus ueſtris, quia nihil potuit rex contra eos. Tum proiecerunt eum in lacum Melchiæ filij regis, qui erat in atrio carceris, & demiſerunt eum in lacum, et in lacu non erat aqua, ſed cœnum. & ita uerſabatur in cœno. Quod cum audiſſet Abdemelech Æthiops, qui etiam erat in domo regis, iniectum eſſe Hieremiam in lacum, atq; rex eſſet in porta Beniamin, egreſſus eſt ad illum, & loquutus eſt ad regem, dixitq;, maleſeciſti quod tradideris ad interficiendum hominē à facie famis, nam nulli ſunt ultra panes in ciuitate. Et præcepit rex Abdemelech dicens, Accipe ad manus tuas hinc triginta uiros, & educ eum de lacu, ne moriatur. Et accepit Abdemelech homines, & intrauit in domum regis ſubterraneam, & tulit inde ueteres pannos, et ueteres funiculos, & proiecit eos ad Hieremiam in lacum, & dixit ad eum, Pone hæc ſub funiculis. Et fecit Hieremias ſic. Tum traxerunt eum funiculis, & eduxerunt eum de lacu, & conſedit Hieremias in atrio carceris. Et dimiſit rex, &

uocauit

ταῖς χερσὶν ὑμῶν. ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς πρὸς αὐτούς. καὶ ἔρριψαν αὐτὸν εἰς λάκκον μελχίου υἱοῦ τοῦ βασιλέως, ὃς ἦν ἐν τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον, καὶ ἐν τῷ λάκκῳ οὐκ ἦν ὕδωρ, ἀλλ᾽ ἢ βόρβορος, καὶ ἦν ἐν τῷ βορβόρῳ. Καὶ ἤκουσεν ἀβδεμελὲχ ὁ αἰθίοψ, καὶ αὐτὸς ἐν οἰκίᾳ τοῦ βασιλέως, ὅτι ἔδωκαν ἱερεμίαν εἰς τὸν λάκκον. καὶ ὁ βασιλεὺς ἦν ἐν τῇ πύλῃ βενιαμὶν, καὶ ἐξῆλθε πρὸς αὐτὸν, καὶ ἐλάλησε πρὸς τὸν βασιλέα, καὶ εἶπεν, ἐπονηρεύσω, ἃ ἐποίησας τοῦ ἀποκτεῖναι τὸν ἄνθρωπον τοῦτον ἀπὸ προσώπου τοῦ λιμοῦ, ὅτι οὐκ εἰσὶν ἔτι ἄρτοι ἐν τῇ πόλει. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ ἀβδεμέλεχ λέγων, λαβὲ εἰς τὰς χεῖράς σου ἐντεῦθεν τριάκοντα ἀνθρώπους, καὶ ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου, ἵνα μὴ ἀποθάνῃ. καὶ ἔλαβεν ἀβδεμέλεχ τοὺς ἀνθρώπους, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ βασιλέως τὴν ὑπόγαιον, καὶ ἔλαβον ἐκεῖθεν παλαιὰ ῥάκη, καὶ παλαιὰ σχοινία, καὶ ἔρριψεν αὐτὰ πρὸς ἱερεμίαν εἰς τὸν λάκκον. καὶ εἶπε πρὸς αὐτὸν, ταῦτα θὲς ὑποκάτω τῶν σχοινίων. καὶ ἐποίησεν ἱερεμίας οὕτως. καὶ εἵλκυσαν αὐτὸν τοῖς σχοινίοις, καὶ ἀνήγαγον αὐτὸν ἐκ τοῦ λάκκου. καὶ ἐκάθισεν ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἀπέστειλεν ὁ βασιλεὺς, καὶ

ἐκάλε

ἐκάλεσεν αὐτὸν πρὸς ἑαυτὸν εἰς οἰ-
κίαν ἀσαλισαὴλ, τὴν ἐν οἴκῳ κυ-
ρίου, καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς, ἐρω-
τήσω σε λόγον, καὶ μὴ δὴ κρύψῃς
ἀπ᾽ ἐμοῦ ῥῆμα. καὶ εἶπεν ἱερεμίας
τῷ βασιλεῖ, ἐὰν ἀναγγείλω σοὶ, οὐ-
χὶ θανάτῳ με θανατώσεις; καὶ ἐὰν
συμβουλεύσω σοι, οὐ μὴ ἀκούσῃς μου;
καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεὺς, λέ-
γων, ζῇ κύριος ὃς ἐποίησεν ἡμῖν
τὴν ψυχὴν ταύτην, εἰ ἀποκτενῶ σε,
καὶ εἰ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώ-
πων τούτων. καὶ εἶπεν αὐτῷ ἱερεμί-
ας, οὕτως εἶπε κύριος, ἐὰν ἐξελθὼν
ἐξέλθῃς πρὸς ἡγεμόνας βασιλέως
βαβυλῶνος, ζήσεται ἡ ψυχή σου, καὶ
ἡ πόλις αὕτη οὐ μὴ κατακαυθῇ ἐν
πυρὶ, καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σου. καὶ
ἐὰν μὴ ἐξέλθῃς, δοθήσεται ἡ πό-
λις αὕτη εἰς χεῖρας τῶν χαλδαίων,
καὶ καύσουσιν αὐτὴν ἐν πυρὶ, καί
σὺ οὐ μὴ σωθῇς. καὶ εἶπεν ὁ βασι-
λεὺς τῷ ἱερεμίᾳ, ἐγὼ λόγον ἔχω τῶν
ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς
χαλδαίους, μὴ δώσειν με εἰς χεῖ-
ρας αὐτῶν, καὶ καταμωκήσονταί
μου. καὶ εἶπεν ἱερεμίας, οὐ μὴ παρα-
δῶσί σε, ἄκουσον τὸν λόγον κυρίου,
ὃν ἐγὼ λέγω πρός σε, καὶ βέλτιον
ἔσται σοὶ, καὶ ζήσεται ἡ ψυχή σου.
καὶ εἰ μὴ θέλῃς σὺ ἐξελθεῖν, οὗτος
ὁ λόγος ὃν ἔδειξέ μοι κύριος. ἰ-
δοὺ πᾶσαι αἱ γυναῖκες αἱ καταλει-
φθεῖσαι ἐν οἰκίᾳ βασιλέως ἰούδα,
ἐξεί

uocauit eum ad se in do-
mum Asalisael, quę erat in
domo domini, & dixit ei
rex, Interrogabo te ser-
monem, & ne abscondas
à me uel uerbum. Et dixit
Hieremias regi, Si annun
ciauero tibi, non'ne mor-
te me interficies? & si con
silium dedero tibi, nonne
nequaquam audies me?
Et iurauit rex ei, di-
cens, Viuit dominus, qui
fecit nobis animam hanc,
si occidero te, et si tradide
ro te in manus hominum
istorum. Et dixit ei Hie-
remias, Sic dixit domin⁹.
Si egrediens egressus fue-
ris ad duces regis Babylo
nis, uiuet anima tua, et ci-
uitas hæc non succende-
tur igne, et uiues tu, et do-
mus tua. Sin autem nō ex
ieris, tradetur ciuitas hæc
in manus Chaldæorum,
et succendent eam igne, et
tu non saluaberis de ma-
nibus eorum. Et dixit rex
Hieremiæ, Ego rationem
habeo Iudæorum, qui fu-
gerunt ad Chaldæos, ne
dent me in manus eorum,
et illudāt mihi. Et ait Hie
remias, Non tradent te,
audi uerbū domini quod
ego dico ad te, et melius
erit tibi, et uiuet anima
tua. Quod si nolueris e-
gredi, hunc sermonem o-
stendit mihi dominus. Ec
ce oēs mulieres quę relictę
sunt in domo regis Iuda,
eductæ

eductæ sunt ad regem Babylonis, & istæ dixerunt, Seduxerunt te. Et obtinuerunt contra te uiri pacifici tui, & dissoluent in lubrico pedes tuos, recesserunt à te, & uxores tuas & filios tuos educent ad Chaldæos, & tu non saluaberis, quia manu regis Babylonis capieris, & ciuitas hęc comburetur. Tũ dixit ei rex, Nemo hominum sciat de uerbis istis, nec tu morieris, & si audierint principes me locutũ esse tecum, & uenerint ad te, & dixerint tibi, Nuncia nobis, quid loquutus sis ad regẽ, ne celes à nobis, & non interficiemus te, & quid loquutus sit ad te rex, dices illis, Captaui misericordiam mihi ante oculos regis, ne reducat me in domum Ionathan, ut moriar illic. Et uenerũt omnes principes ad Hieremiam, & interrogauerunt eum, & nunciauit eis secundum omnia uerba ista, quæ præcepit illi rex. Et tacuerunt, quia non auditum est uerbum domini. Et sedit Hieremias in atrio carceris usque ad tempus, quo capta est Hierusalem.

Caput XXXIX. Et factũ ẽ mẽse decimo anni noni Sedecię regis Iuda ut ueniret Nabuchodonosor

Infra 52. 4.Reg.25

ἐξήγοντο πρὸς ἄρχοντας βασιλέως βαβυλῶνος. καὶ αὗται ἔλεγον, ἠπάτησάν σε, καὶ δυνήσονταί σοι ἄνδρες εἰρηνικοί σοι, καὶ καταλύσουσιν ἐν ὀλισθήμασι πόδας σου, ἀπέστρεψαν ἀπό σου καὶ τὰς γυναῖκάς σου, καὶ τὰ τέκνα σου ἐξάξουσιν πρὸς τοὺς χαλδαίους, καί σὺ οὐ μὴ σωθῇς, ὅτι ἐν χειρὶ βασιλέως βαβυλῶνος συλληφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαυθήσεται. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς, μὴ γνώτω τις ἐκ τῶν λόγων τούτων, καί σὺ οὐ μὴ ἀποθάνῃς. καὶ οἱ ἄρχοντες ἐὰν ἀκούσωσιν, ὅτι ἐλάλησά σοι, καὶ ἔλθωσι πρός σε, καὶ εἴπωσίν σοι, ἀνάγγειλον ἡμῖν, τί ἐλάλησέ σοι ὁ βασιλεύς, μὴ κρύψῃς ἀφ᾽ ἡμῶν, καὶ οὐ μὴ ἀνέλωμέν σε, καὶ τί ἐλάλησε πρός σε ὁ βασιλεύς; καὶ ἐρεῖς αὐτοῖς, ῥίπτω ἐγὼ τὸ ἔλεός μου κατ᾽ ὀφθαλμοὺς τοῦ βασιλέως, πρὸς τὸ μὴ ἀποστρέψαι με εἰς οἰκίαν ἰωνάθαν, ἀποθανεῖν με ἐκεῖ. καὶ ἤλθοσαν πάντες οἱ ἄρχοντες πρὸς ἱερεμίαν, καὶ ἠρώτησαν αὐτόν. καὶ ἀνήγγειλεν αὐτοῖς κατὰ πάντας τοὺς λόγους τούτους οὓς ἐνετείλατο αὐτῷ ὁ βασιλεύς. καὶ ἀπεσιώπησαν, ὅτι οὐκ ἠκούσθη ὁ λόγος κυρίου. καὶ ἐκάθισεν ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς, ἕως χρόνου, οὗ συνελήφθη ἱερουσαλήμ.

Καὶ ἐγένετο τῷ μηνὶ τῷ δεκάτῳ, ἔτει ἐνάτῳ τοῦ σεδεκίου βασιλέως ἰούδα, παρεγένετο ναβουχοδονόσορ

νόσορ βασιλεὺς βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ ἱερουσαλὴμ, καὶ ἐπολιόρκουν αὐτήν. καὶ ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐπὶ τοῦ σεδεκίου, ἐν τῷ μηνὶ τῷ τετάρτῳ, ἐν ἐνάτῃ τοῦ μηνὸς, ἐῤῥάγη ἡ πόλις, καὶ εἰσῆλθον πάντες οἱ ἡγεμόνες βασιλέως βαβυλῶνος, καὶ ἐκάθισαν ἐν πύλῃ τῇ μέσῃ, νηργὸβ, σαρασὰρ, καὶ σαμαγὼθ, καὶ ναβουσάχαρ, καὶ ναβουσοχρῆς ναγαργᾶς νασὰρ, καὶ ῥαβαμὰθ, καὶ οἱ κατάλοιποι ἡγεμόνες βασιλέως βαβυλῶνος. καὶ ἀπέστειλαν, καὶ ἔλαβον τὸν ἱερεμίαν ἐκ τῆς αὐλῆς τῆς φυλακῆς, καὶ ἔδωκαν αὐτὸν πρὸς τὸν γοδολίαν υἱὸν ἀχεικὰμ υἱοῦ σαφὰν, καὶ ἐξήγαγον αὐτὸν, καὶ ἐκάθισαν αὐτὸν ἐν μέσῳ τοῦ λαοῦ. καὶ πρὸς ἱερεμίαν ἐγένετο λόγος κυρίου ἐν τῇ αὐλῇ τῆς φυλακῆς, λέγων, πορεύου, καὶ εἰπὲ πρὸς ἀβδιμέλεχ τὸν αἰθίοπα. οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ, ἰδοὺ ἐγὼ φέρω τοὺς λόγους μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθὰ, καὶ σώσω σε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐ μὴ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων, ὧν σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν. ὅτι σώζων σώσω σε, καὶ ἐν ῥομφαίᾳ οὐ μὴ πέσῃς. καὶ ἔσται ἡ ψυχή σου εἰς εὕρημα, ὅτι ἐπεποίθεις ἐπ' ἐμοὶ, φησὶ κύριος.

Ὁ λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν, μετὰ τὸ ἀποστεῖλαι αὐτὸν ναβουζαρδὰν τὸν ἀρχιμάγειρον

nosor rex Babylonis, & omnis exercitus eius contra Hierusalem, & euerterent eam. Et undecimo anno Sedeciæ, mense quarto nona die mensis, corruit urbs. Et ingressi sunt omnes duces regis Babylonis, & sederũt in porta media, Neger, Sarassar, & Samagoth, & Nabusachar, & Nabures Nagargas Nasar, et Rabamath, & reliqui duces regis Babylonis. Et miserũt & acceperunt Hieremiam de atrio regii carceris, & dederunt eum ad Godoliã filium Achicam filii Saphan. & eduxerunt eum, & collocauerunt eum in mediũ populi. Et ad Hieremiam factus est sermo domini in atrio carceris dicens, Vade, & dic ad Abdemelech Æthiopem dicens, Sic dixit dominus deus Israel, Ecce ego induco sermones meos super ciuitatem hanc in mala & non in bona, & saluabo te die illa, nec dabo te in manus hominũ, quos tu times à facie eorũ, quia saluãs saluabo te. nec per gladium cades. Et erit anima tua lucro, quia confidisti mihi, ait dominus.

Cap. XL
Infra 43

Sermo, qui factus est ad Hieremiam à domino, postquã miserat eum Nabuzardan princeps coquorum

γειρον quorum

quorũ qui erat ex Rhada
mantum; cum cepisset eũ
uinculis in medio migra-
tionis Iudæ, eorum scili-
cet qui Babylonem ducti
sunt. Et accepit eum præfe
ctus coquorum, & ait illi,
Dñs deus tuus locutus est
mala ista super locũ istũ.
Ideo fecit dñs sicut locu-
tus est, quod peccastis ei,
& non audistis eius uocẽ.
Ecce solui te uinculis qui
bus manus tuæ sunt ligatæ.
Quod si tibi uidetur me-
cum Babylonem profici-
sci, ueni, feramq́ te in ocu
lis. sin minus, abi, & reuer
tere ad Godoliam filium
Achicã, filij Saphan, quẽ
præfecit rex Babylonis
terræ Iuda, & habita cum
eo in medio populi, in
terra Iuda, quò bonum
uidetur oculis tuis, ut
proficiscaris eò, et iter fa-
cias. Et dedit illi princeps
coquorum munera, dimi-
sitq́ eum. Et uenit ad Go
doliam in Massepha, &
sedit in medio populi qui
relictus est in terra. Cum
audiuissent omnes duces
exercitus, qui in agro e-
rãt, tam ipsi, quàm exerci
tus eorum, præfectum es-
se à rege Babylonis Go-
doliam terræ, eiq́ com-
mendatos esse tam uiros
quàm mulieres, qui non
deducti essent Babylonẽ,
uenerunt ad Godoliam in
Massepha, Ismael filius
Mathaniæ,

γεῖρον τὸν ἐκ ῥαδαμαὶ, ἐν τῷ δε-
δεῖν αὐτὸν ἐν χειροπέδαις, ἐν μέ-
σῳ ἀποικίας ἰούδα τῶν ἀγομένων
εἰς βαβυλῶνα. καὶ ἔλαβεν αὐτὸν ὁ
ἀρχιμάγειρος, καὶ εἶπεν αὐτῷ, κύ-
ριος ὁ θεός σου ἐλάλησε τὰ κακὰ
ταῦτα ἐπὶ τὸν τόπον τοῦτον. καὶ ἐ-
ποίησε κύριος, ὅτι ἡμάρτετε αὐ-
τῷ, καὶ οὐκ ἠκούσατε τῆς φωνῆς αὐ-
τοῦ. ἰδοὺ ἔλυσά σε ἀπὸ τῶν χειροπέ-
δων τῶν ἐπὶ τὰς χεῖράς σου. εἰ κα-
λὸν ἐναντίον σου ἐλθεῖν μετ' ἐμοῦ
εἰς βαβυλῶνα, ἥκε, καὶ θήσω τοὺς ὀφ-
θαλμούς μου ἐπί σε. εἰ δὲ μὴ, ἀπότρε-
χε, καὶ ἀνάστρεψον πρὸς τὸν γοδολί-
αν υἱὸν ἀχικὰμ, υἱοῦ σαφὰν, ὃν κα-
τέστησε βασιλεὺς βαβυλῶνος ἐν γῇ
ἰούδα, καὶ οἴκησον μετ' αὐτοῦ ἐν μέ-
σῳ τοῦ λαοῦ, ἐν γῇ ἰούδα, ἅπαντα τὰ
ἀρεστὰ ἐν ὀφθαλμοῖς σου τοῦ πορευ-
θῆναι ἐκεῖ, καὶ πορεύου. καὶ ἔδω-
κεν αὐτῷ ὁ ἀρχιμάγειρος δῶρα, καὶ
ἀπέστειλεν αὐτόν. καὶ ἦλθε πρὸς γο-
δολίαν εἰς μασσηφὰ, καὶ ἐκάθισεν
ἐν μέσῳ τοῦ λαοῦ αὐτοῦ τοῦ καταλειφ-
θέντος ἐν τῇ γῇ. καὶ ἤκουσαν πάν-
τες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ ἐν
ἀγρῷ, αὐτοὶ καὶ ἡ δύναμις αὐ-
τῶν, ὅτι κατέστησε βασιλεὺς βαβυ-
λῶνος τὸν γοδολίαν ἐν τῇ γῇ, καὶ ὅ-
τι παρακατέθετο αὐτῷ ἄνδρας καὶ
γυναῖκας αὐτῷ, οὓς οὐκ ἀπῴκι-
σεν εἰς βαβυλῶνα. καὶ ἦλθον πρὸς
γοδολίαν εἰς μασσηφὰ ἰσμαὴλ υἱὸς
μαθ-

ματθανίου, καὶ ἰωανὰν υἱὸς κάρηθ, καὶ σαραίας υἱὸς ναεθαμαὶθ, καὶ υἱοὶ ὠφὶθ τοῦ νετωφαθὶ, καὶ ἐζονίας υἱὸς τοῦ μαχαθὶ, αὐτοὶ καὶ οἱ ἄνδρες αὐτῶν. καὶ ὤμοσεν αὐτοῖς γοδολίας, καὶ τοῖς ἀνδράσιν αὐτῶν, λέγων, μὴ φοβηθῆτε ἀπὸ προσώπου παίδων τῶν χαλδαίων. κατοικήσατε ἐν τῇ γῇ, καὶ ἐργάζεσθε τῷ βασιλεῖ βαβυλῶνος, καὶ βέλτιον ἔσται ὑμῖν. καὶ ἰδοὺ ἐγὼ κάθημαι ἐναντίον ὑμῶν ἐν μασσηφᾶ, στῆναι κατὰ πρόσωπον τῶν χαλδαίων, ὅτι ἂν ἔλθωσιν ἐφ᾽ ὑμᾶς. καὶ ὑμεῖς συνάγετε οἶνον καὶ ὀπώραν, καὶ ἔλαιον βάλετε εἰς τὰ ἀγγεῖα ὑμῶν, καὶ οἰκήσατε ἐν ταῖς πόλεσιν αἷς κατεκρατήσατε. καὶ πάντες οἱ ἰουδαῖοι ἐν τῇ μωὰβ, καὶ ἐν υἱοῖς ἀμμὼν, καὶ οἱ ἐν τῇ ἰδουμαίᾳ, καὶ οἱ ἐν πάσῃ τῇ γῇ, ἤκουσαν ὅτι ἔδωκε βασιλεὺς βαβυλῶνος κατάλειμμα τῷ ἰούδα, καὶ ὅτι κατέστησεν ἐπ᾽ αὐτοὺς τὸν γοδολίαν υἱὸν ἀχεικάμ. καὶ ἦλθον πρὸς γοδολίαν εἰς γῆν μασσηφὰ, εἰς γῆν ἰούδα, καὶ συνήγαγον οἶνον καὶ ὀπώραν πολλὴν σφόδρα, καὶ ἔλαιον. καὶ ἰωάναν υἱὸς καρηὲ, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως, οἱ ἐν τοῖς ἀγροῖς, ἦλθον πρὸς τὸν γοδολίαν εἰς μασσηφᾶ, καὶ εἶπον αὐτῷ, εἰ γνώσει γνώσῃ, ὅτι βελεισὰ βασιλεὺς υἱὸς ἀμμὼν ἀπέστειλε πρὸς σὲ τὸν ἰσμαὴλ πατάξαί σου ψυχήν;

καὶ

Mathaniæ, & Ioanan filius Carith, & Ionathan, & Saraas filius Nathaemath, et filij Apheth Netophati, & Ezonias filius Machathi, ipsi & uiri eorum. Et iurauit eis Godolias, & uiris eorum, dicẽs, 4.Reg.25
Ne timeatis à uultu seruorũ Chaldęorũ. Habitate in terra, & operamini regi Babylonis, & melius erit uobis. Et ecce ego sedeo corã uobis in Massepha, ut stem ante faciem Chaldæorum, qui uenerint ad nos. Vos uerò colligite uinum & fructus, & colligite oleum, & mittite in uasa uestra, & habitate in ciuitatibus, quas tenuistis. Et cum omnes Iudæi qui in terra Moab, & in filijs Ammõ, et qui in Idumęa, & qui in uniuersa terra erant, audissent regem Babylonis dedisse reliquias Iuda, & quod prefecit eis Godoliam filium Achicam, uenerunt ad Godoliam in Massepha, & collegerunt uinum & fructus multos ualde, & oleum. Et Ioanan filius Carie, & omnes duces exercitus qui in agris, uenerunt ad Godoliam in Massepha, & dixerũt ei, An certo cognoscis, Belissam regem filium Ammon misisse ad te Ismael, ad occidendam tuam animam?

Et

Et non credidit illis Godolia, Tum dixit Ioanan Godoliæ occultè in Masſepha, Ibo iam, & percutiã Iſmael, & nullus ſciat, ne forte interficiat tuã animã, & diſsipentur omnes Iudæi, qui cõgregati ſunt ad te, & pereant reliqui Iuda. Et ait Godolias ad Ioanan filium Cariæ, Ne hanc rem perficias, quia mendacia tu dicis contra Iſmael.

Cap.XLI Et factum eſt menſe ſeptimo, ut ueniret Iſmaël filius Nathaniæ, filii Eleaſa de genere regis, & decem uiri cũ eo, ad Godoliam in Maſſepha, & comederunt illic panem ſimul. Et ſurrexit Iſmael, & decem uiri, qui erant cum eo, & percuſſerunt Godoliam gladio, & interfecerunt eum, quẽ perfecit rex Babylonis terræ, & omnes Iudæos, qui erãt cum eo in Maſſepha, & omnes Chaldæos qui reperti ſunt ibi. Et factum eſt die ſecundo, cum percuſsiſſet ipſe Godoliam, nemoq́ʒ ſciuiſſet, ut uenirẽt uiri de Sychem, de Salem, & de Samaria octuaginta uiri raſa barba, & ſciſsis ueſtibus, & plangẽtes, & Maſanæ & thus in manibus ſuis, ut offerent in domum domini. Et egreſſus eſt obuiam eis Iſmael, & ipſi

καὶ οὐκ ἐπίστευσεν αὐτοῖς γοδολίας. καὶ εἶπεν ἰωάναν τῷ γοδολίᾳ, κρυφαίως ἐν τῷ μασσηφᾷ, πορεύσομαι δὴ, καὶ πατάξω τὸν ἰσμαὴλ, καὶ μηδεὶς γνώτω, μὴ πατάξῃ σου τὴν ψυχὴν, καὶ διασπαρήσονται πάντες οἱ ἰουδαῖοι οἱ συνηγμένοι πρός σε, καὶ ἀπολοῦνται οἱ κατάλοιποι ἰούδα. καὶ εἶπε γοδολίας πρὸς ἰωάναν, μὴ ποιήσῃς κατὰ τὸ ῥῆμά σου, ὅτι ψευδῆ σὺ λέγεις κατὰ ἰσμαήλ.

Καὶ ἐγένετο τῷ μηνὶ τῷ ἑβδόμῳ, ἦλθεν ἰσμαὴλ υἱὸς ναθανίου υἱοῦ ἐλεασᾶ, ἀπὸ γένους τοῦ βασιλέως, καὶ δέκα ἄνδρες μετ' αὐτοῦ, πρὸς τὸν γοδολίαν εἰς μασσηφὰ, καὶ ἔφαγον ἐκεῖ ἄρτον ἅμα. καὶ ἀνέστη ἰσμαὴλ, καὶ οἱ δέκα ἄνδρες οἳ ἦσαν μετ' αὐτοῦ, καὶ ἐπάταξαν τὸν γοδολίαν, ὃν κατέστησε βασιλεὺς βαβυλῶνος ἐπὶ τῆς γῆς, καὶ πάντας τοὺς ἰουδαίους τοὺς ὄντας μετ' αὐτοῦ εἰς μασσηφὰ, καὶ πάντας τοὺς χαλδαίους τοὺς εὑρεθέντας ἐκεῖ. καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, πατάξαντος αὐτοῦ τὸν γοδολίαν, καὶ ἄνθρωπος οὐκ ἔγνω. καὶ ἤλθοσαν ἄνδρες ἀπὸ συχὲμ, καὶ ἀπὸ σαλὴμ, καὶ ἀπὸ σαμαρείας, ὀγδοήκοντα ἄνδρες ἐξυρημένοι πώγωνας, καὶ διερρηχότες τὰ ἱμάτια αὐτῶν, καὶ κοπτόμενοι, καὶ μασαναὶ, καὶ λίβανος ἐν χερσὶν αὐτῶν, τοῦ εἰσενεγκεῖν εἰς οἶκον κυρίου. καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς ἰσμαὴλ, καὶ

αὐ-

αὐτοὶ ἐπορεύοντο, καὶ ἔκλαιον. καὶ εἶπεν αὐτοῖς, εἰσέλθετε πρὸς τὸν γοδολίαν. καὶ ἐγένετο, εἰσελθόντων αὐτῶν εἰς τὸ μέσον τῆς πόλεως, ἔσφαξεν αὐτοὺς, καὶ ἐνέβαλεν εἰς τὸ φρέαρ. καὶ δέκα ἄνδρες εὑρέθησαν ἐκεῖ, καὶ εἶπον τῷ ἰσμαήλ, μὴ ἀνέλῃς ἡμᾶς, ὅτι εἰσὶν ἡμῖν θησαυροὶ ἐν ἀγρῷ, πυροὶ καὶ κριθαὶ, μέλι καὶ ἔλαιον. καὶ παρῆλθε, καὶ οὐκ ἀνεῖλεν αὐτοὺς ἐν τῷ μέσῳ τῶν ἀδελφῶν αὐτοῦ. καὶ τὸ φρέαρ, εἰς ὃ ἔρριψεν ἐκεῖ ἰσμαὴλ πάντας οὓς ἐπάταξε, φρέαρ μέγα τοῦτό ἐστιν, ὃ ἐποίησεν ὁ βασιλεὺς ἀσὰν ἀπὸ προσώπου βαασὰ βασιλέως ἰσραήλ. τοῦτο ἐνέπλησεν ἰσμαὴλ τραυματιῶν. καὶ ἀπέστρεψεν ἰσμαὴλ πάντα τὸν λαὸν τὸν καταλειφθέντα εἰς μασσηφὰ, καὶ τὰς θυγατέρας τοῦ βασιλέως, ἃς παρακατέθετο ὁ ἀρχιμάγειρος τῷ γοδολίᾳ υἱῷ ἀχεικὰμ, καὶ ᾤχετο εἰς τὸ πέραν υἱῶν ἀμμών. καὶ ἤκουσεν ἰωάναν υἱὸς καρὴθ, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ, πάντα τὰ κακὰ ἃ ἐποίησεν ἰσμαὴλ, καὶ ἤγαγον ἅπαν τὸ στρατόπεδον αὐτῶν, καὶ ᾤχοντο πολεμεῖν αὐτὸν, καὶ εὗρον αὐτὸν ἐπὶ ὕδατος πολλοῦ ἐν γαβαών. καὶ ἐγένετο ὅτε εἶδε πᾶς ὁ λαὸς ὁ μετὰ ἰσμαὴλ τὸν ἰωάναν, καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως αὐτοῦ τῆς μετ' αὐτοῦ, καὶ ἀνέστρεψαν πρὸς ἰωάναν. καὶ ἰσμαὴλ

ἐσώθη

ipsi proficiscebãtur, & flebant. Et dixit, Ingredimini ad Godoliam. Et cum intrassent illi in mediũ ciuitatis, iugulauit eos, et iniecit in puteum. Et decem uiri inuenti sunt illic, & dixerunt Ismaeli, Non occidas nos, quia sunt nobis thesauri in agro, triticum, & ordeum, & mel & oleum. Et prçteriit, & non interfecit eos in medio fratrum suorum. Et puteus, in quem proiecit Ismael omnes, quos interfecit, puteus magnus est, quem fecit rex Asa à facie Baasa regis Israel. Ipsum repleuit Ismael uulneratis. Et reduxit Ismael omnem populũ qui relictus est in Massepha, & filias regis, quas cõmendauit princeps coquorũ Godoliæ filio Achicam, & abijt, ut transiret ad filios Ammon. Et audiuit Ioanan filius Carith, et omnes duces exercitus qui cum eo, omnia mala, quæ fecit Ismael filius Nathaniç, & adduxerunt omnem exercitũ eorum, & profecti sunt, ut oppugnarent eum. Et inuenerũt eum apud aquam multam in Gabaon. Et factum est, cum uidisset omnis populus, qui erat cum Ismael, Ioanan filium Carith, & uniuersos duces exercitus, qui cũ eo, reuersi sunt ad Ioanã. Et Ismael

s salua-

saluatus est cum octo hominibus, & abijt ad filios Ammon. Et accepit Ioanan, & omnes duces exercitus, qui cum eo, omnes reliquias populi, quas auertit ab Ismael, potentes uiros in bello, et mulieres, & reliqua, & eunuchos quos reduxerat de Gabaon, & abierunt, & sederunt in terra Berothoam, quæ iuxta Bethleem, ut irent in Ægyptum à facie Chaldæorum, quod timuerunt faciem eorum. Quia percussit Ismael Godoliam, quem constituit rex Babylonis in terra.

Cap.XLII Et accesserunt omnes
Sup.41.17 duces exercitus, & Ioanã Azarias filius Masææ, & omnis populus, à paruo & usque ad magnum, et dixerunt ad Hieremiam prophetã, Cadat iam misericordia nostra ante faciem tuam, & ora ad dominum deum tuum pro reliquijs istis, quia relicti sumus pauci de multis, id quod oculi tui intuentur. Et annunciet nobis dominus deus tuus uiam, qua ingrediundum sit, & uerbum quod faciendum. Et dixit eis Hieremias propheta, Audiui. Ecce orabo pro uobis ad dominum deum nostrum secundum uerba uestra. Et erit sermo, quem respondebit dominus,

ἐσώθη σὺν ὀκτὼ ἀνθρώποις, καὶ ᾤχετο πρὸς τοὺς υἱοὺς Ἀμμών. καὶ ἔλαβον Ἰωάναν, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ, πάντας τοὺς καταλοίπους τοῦ λαοῦ οὓς ἀπέστρεψαν ἀπὸ Ἰσμαήλ, δυνατοὺς ἄνδρας ἐν πολέμῳ, καὶ τὰς γυναῖκας, καὶ τὰ λοιπά, καὶ τοὺς εὐνούχους οὓς ἀπέστρεψαν ἀπὸ Γαβαών, καὶ ᾤχοντο, καὶ ἐκάθισαν ἐν γῇ Βηρώθοαμ, τῇ πρὸς Βηθλεέμ, τοῦ πορευθῆναι εἰς Αἴγυπτον ἀπὸ προσώπου τῶν Χαλδαίων, ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου αὐτῶν· ὅτι ἐπάταξεν Ἰσμαὴλ τὸν Γοδολίαν, ὃν κατέστησεν ὁ βασιλεὺς Βαβυλῶνος ἐν τῇ γῇ.

Καὶ προσῆλθον πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως, καὶ Ἰωάναν, καὶ Ἀζαρίας υἱὸς Μασαίου, καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, πρὸς Ἱερεμίαν τὸν προφήτην, καὶ εἶπον αὐτῷ, πεσέτω δὴ τὸ ἔλεος ὑμῶν κατὰ πρόσωπόν σου, καὶ πρόσευξαι πρὸς κύριον τὸν θεόν σου περὶ τῶν καταλοίπων τούτων. ὅτι κατελείφθημεν ὀλίγοι ἀπὸ πολλῶν, καθὼς οἱ ὀφθαλμοί σου βλέπουσι. καὶ ἀναγγειλάτω ὑμῖν κύριος ὁ θεός σου τὴν ὁδὸν ἣ πορευσόμεθα ἐν αὐτῇ, λόγον ὃν ποιήσομεν. καὶ εἶπεν αὐτοῖς Ἱερεμίας, ἤκουσα, ἰδοὺ ἐγὼ προσεύξομαι ὑπὲρ ὑμῶν πρὸς κύριον τὸν θεὸν ὑμῶν, κατὰ τοὺς λόγους ὑμῶν. καὶ ἔσται ὁ λόγος, ὃν ἀποκριθήσεται κύριος

κύριος ὁ θεὸς, ἀναγγελῶ ὑμῖν, οὐ μὴ
κρύψω ἀφ' ὑμῶν ῥῆμα. καὶ αὐτοὶ εἶ-
πον τῷ ἱερεμίᾳ, ἔστω κύριος ἐν ὑ-
μῖν εἰς μάρτυρα δίκαιον καὶ πιστὸν,
εἰ μὴ κατὰ πάντα τὸν λόγον, ὃν ἐὰν
ἀποστείλῃ κύριος πρὸς ἡμᾶς, οὕτως
ποιήσωμεν, καὶ ἐὰν ἀγαθὸν καὶ ἐὰν
κακὸν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡ-
μῶν, οὗ ἡμεῖς ἀποστέλλομέν σε πρὸς
αὐτὸν, ἀκουσόμεθα, ἵνα βέλτιον ἡ-
μῖν γένηται, ὅτι ἀκουσόμεθα τῆς φω-
νῆς κυρίου τοῦ θεοῦ ἡμῶν. καὶ ἐγενή-
θη μεθ' ἡμέρας δέκα, ἐγενήθη λό-
γος κυρίου πρὸς ἱερεμίαν. καὶ ἐκά-
λεσεν ἰωάναν, καὶ τοὺς ἡγεμόνας τῆς
δυνάμεως, καὶ πάντα τὸν λαὸν ἀπὸ
μικροῦ ἕως μεγάλου, καὶ εἶπεν αὐτοῖς,
οὕτως εἶπε κύριος ὁ θεὸς, ἐὰν καθί-
σαντες καθίσητε ἐν τῇ γῇ ταύτῃ, οἰ-
κοδομήσω ὑμᾶς, καὶ οὐ μὴ καθελῶ,
καὶ φυτεύσω ὑμᾶς, καὶ οὐ μὴ ἐκτί-
λω, ὅτι ἀναπέπαυμαι ἐν τοῖς κα-
κοῖς οἷς ἐποίησα ὑμῖν. μὴ φοβηθῆ-
τε ἀπὸ προσώπου βασιλέως βαβυλῶ-
νος, οὗ ὑμεῖς φοβεῖσθε. ἀπὸ προσώ-
που αὐτοῦ μὴ φοβηθῆτε, φησὶ κύριος,
ὅτι μεθ' ὑμῶν εἰμι τοῦ ἐξαιρεῖσθαι
ὑμᾶς, καὶ σώζειν ὑμᾶς ἐκ χειρὸς αὐ-
τοῦ. καὶ δώσω ὑμῖν ἔλεος, καὶ ἐ-
λεήσω ὑμᾶς, καὶ ἐπιστρέψω ὑμᾶς εἰς
τὴν γῆν ὑμῶν. καὶ εἰ λέγετε ὑμεῖς,
οὐ μὴ καθίσωμεν ἐν τῇ γῇ ταύτῃ,
πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς κυρίου.
ὅτι εἰς γῆν αἰγύπτου εἰσελευσόμεθα,
καὶ

dominus, annunciabo uo-
bis, non abſcondam à uo-
bis uerbum. Et illi dixe-
runt Hieremiæ, Sit domi-
nus in nobis teſtis iuſtus
& fidelis, niſi ſecundum
omne uerbum, quod miſe-
rit dominus ad nos, facia-
mus, ſiue bonum ſiue ma-
lum, uocem domini dei
noſtri, ad quem mittimus
te, audiemus, ut melius no
bis ſit, quia audiemus uo-
cem domini dei noſtri. Et
euenit poſt decem dies, ut
fieret uerbũ dñi ad Hiere
miã. Et uocauit Ioanan, et
duces exercitus, & om-
nem populum à paruo uſ-
que ad magnum, & ait il-
lis, Sic dixit dominus de⁹.
Si ſedentes ſederitis in ter
ra iſta, & ædificabo uos,
& non deſtruam, & plan-
tabo uos, & non euellam,
nam deſtiti à malis, quæ
dixi me facturum uobis.
Ne timeatis uultum regis
Babylonis, quem uos for-
midatis, faciem eius ne
pertimeſcatis, ait domi-
nus, quia uobiſcum ego
ſum, ut liberem uos, & ſal
uos faciam uos de manu
eius. Et tribuam uobis mi
ſericordiam, et miſerebor
ueſtri, & reducam uos in
terrã ueſtrã. Quod ſi dixe
ritis, non commorabimur
in terra iſta, ne audiamus
uocem domini. Nã in ter
rã Ægypti ingrediemur,

& nequaq̄ uideamus bellum, neque sonitum tubę audiamus, neque ob panis penuriam esuriamus, & illic habitemus. Quapropter audite uerbum domini. Sic dixit dominus. Si uos dederitis faciem uestram in Ægyptum, & ingressi fueritis illuc ut habitetis, fiet ut gladius, cuius faciē formidatis, inueniat uos in Ægypto, & fames cuius facies uos sollicitus reddit, apprehendet uos in Ægypto, & ibi moriemini. Et fiet ut omnes homines, omnesque exteri, qui instituerunt firmiter proficisci in Ægyptum, habitatum illic, ferro pereant, & fame, nec ullus ex illis saluabitur à malis, quæ ego induco sup eos. Quia sic dixit dominus, Sicut stillauit furor meus super habitantes Hierusalē, sic stillabit furor meus super uos, intrantibus uobis in Ægyptum. Et eritis uastationi & subiecti, & execrationi & opprobrio, nec unquam uidebitis locum istum, quæ loquutus est dominus super uos reliquos Iuda, ne ingrediamini in Ægyptum. Et nunc scientes scietis, uos male fecisse in animis uestris, q̄d misistis me ad dn̄m deū uestrum, dicentes, Ora pro nobis ad dominum, &

καὶ οὐ μὴ ἴδωμεν πόλεμον, καὶ φωνὴν σάλπιγγος οὐ μὴ ἀκούσωμεν, καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν, καὶ ἐκεῖ οἰκήσωμεν. διὰ τοῦτο ἀκούσατε λόγον κυρίου. οὕτως εἶπε κύριος. ἐὰν ὑμεῖς δῶτε τὸ πρόσωπον ὑμῶν εἰς αἴγυπτον, καὶ εἰσέλθητε ἐκεῖ κατοικεῖν, καὶ ἔσται ἡ ῥομφαία ἣν ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐτῆς, εὑρήσει ὑμᾶς ἐν γῇ αἰγύπτου. καὶ ὁ λιμὸς οὗ ὑμεῖς λόγον ἔχετε, ἀπὸ προσώπου αὐτοῦ καταλήψεται ὑμᾶς ὀπίσω ὑμῶν ἐν αἰγύπτῳ, καὶ ἐκεῖ ἀποθανεῖσθε. καὶ ἔσονται πάντες οἱ ἄνθρωποι, καὶ πάντες οἱ ἀλλογενεῖς, οἱ θέντες τὸ πρόσωπον αὐτῶν εἰς γῆν αἰγύπτου ἐνοικεῖν ἐκεῖ, ἐκλείψουσιν ἐν τῇ ῥομφαίᾳ καὶ ἐν τῷ λιμῷ, καὶ οὐκ ἔσται αὐτῶν οὐδεὶς σωζόμενος ἀπὸ τῶν κακῶν, ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτούς. ὅτι οὕτως εἶπε κύριος, καθὼς ἔσταξεν ὁ θυμός μου ἐπὶ τοὺς κατοικοῦντας ἱερουσαλὴμ, οὕτως στάξει ὁ θυμός μου ἐφ' ὑμᾶς, εἰσελθόντων ὑμῶν εἰς αἴγυπτον. καὶ ἔσεσθε εἰς ἄβατον, καὶ ὑποχείριοι, καὶ εἰς ἀρὰν καὶ εἰς ὀνειδισμὸν, καὶ οὐ μὴ ἴδητε οὐκέτι τὸν τόπον τοῦτον, ἃ ἐλάλησε κύριος ὁ θεὸς ἐφ' ὑμᾶς τοὺς καταλοίπους ἰούδα, μὴ εἰσέλθητε εἰς αἴγυπτον. καὶ νῦν γνόντες γνώσεσθε, ὅτι ἐπονηρεύσασθε ἐν ψυχαῖς ὑμῶν ἀποστείλαντές με, λέγοντες, πρόσευξαι περὶ ἡμῶν πρὸς κύριον.

καὶ κατὰ πάντα ὅσα ἂν λαλήσει σοὶ κύριος, ποιήσομεν. καὶ οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου, ἣν ἀπέστειλε πρὸς ὑμᾶς. καὶ νῦν ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐκλείψετε ἐν τῷ τόπῳ, ᾧ ὑμεῖς βούλεσθε εἰσελθεῖν κατοικεῖν ἐκεῖ.

Καὶ ἐγενήθη, ὡς ἐπαύσατο ἱερεμίας λέγων πρὸς τὸν λαὸν πάντας τοὺς λόγους κυρίου, οὓς ἀπέστειλεν κύριος πρὸς αὐτοὺς πάντας τοὺς λόγους τούτους, καὶ εἶπεν ἀζαρίας υἱὸς μαασαίου, καὶ ἰωάναν υἱὸς καρήθ, καὶ πάντες οἱ ἄνδρες ὑπερήφανοι, οἱ εἰπόντες τῷ ἱερεμίᾳ, λέγοντες, ψεῦδος, οὐκ ἀπέστειλέ σε κύριος πρὸς ἡμᾶς λέγων, μὴ εἰσέλθητε εἰς αἴγυπτον οἰκεῖν ἐκεῖ, ἀλλ' ἢ βαρούχ υἱὸς νηρίου συμβάλλει σε πρὸς ἡμᾶς, ἵνα δῷς ἡμᾶς εἰς χεῖρας τῶν χαλδαίων, τοῦ θανατῶσαι ἡμᾶς, καὶ τοῦ ἀποικισθῆναι ἡμᾶς εἰς βαβυλῶνα. καὶ οὐκ ἤκουσεν ἰωάναν, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετὰ αὐτοῦ, καὶ πᾶς ὁ λαὸς τῆς φωνῆς κυρίου, κατοικῆσαι ἐν γῇ ἰούδα. καὶ ἔλαβεν ἰωάναν, καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως, πάντας καταλοίπους ἰούδα τοὺς ἀποστρέψαντας κατοικεῖν ἐν τῇ γῇ, τοὺς δυνατοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ τὰ νήπια τὰ λοιπὰ, καὶ τὰς θυγατέρας τοῦ βασιλέως, καὶ τὰς ψυχὰς ἃς κατέλιπε ναβουζαρδὰν μετὰ γοδολίου, υἱοῦ ἀχικὰμ,

καὶ

& secundũ omnia quæ loquetur tibi dominus, faciemus. Et non audistis uocem dñi dei uestri, quã misit ad uos. Quare nũc gladio famecꝫ peribitis in loco, quo uos uultis intrare, ut habitetis ibi.

Et factum est, ut cessaret loqui Hieremias ad populum omnes sermones domini, quos misit dñs ad eos, omnia uerba hęc. Tũ dixit Azarias filius Maasſæi, & Ioanan filius Carith, omnes uiri superbi, dicentes Hieremiæ, Mendacia, non misit te dñs deus noster ad nos dicere, Non ingrediamini in Ægyptũ ut habitetis illic, sed Baruch filius Neriæ incitat te contra nos, ut des nos in manus Chaldęorum, ut interficiãt nos, & deducãt nos Babylonem. Quare non obtemperarunt, Ioanan omnescꝫ duces exercitus, qui cum eo erant, & totus populus, uoci domini, ut habitarent in terra Iuda. Accepit ergo Ioanan, & omnes duces exercitus, omnes reliquos Iuda, qui reuersi fuerant, ut habitarent in terra, potentes uiros, & mulieres, & paruulos reliquos, & filias regis, & animas, quas reliquerat Nabuzardan princeps coquorum, cum Godolia filio Achicam, Cap.XLIII Sup.40

& Hieremiam prophetā, & Baruch filium Neriæ. Et ingressi sunt in Ægyptum, quia non audierunt uocē dñi, & ingressi sunt in Taphnas. Et factū est uerbum dñi ad Hieremiā in Taphnis, dicens, Sume tibi lapides grādes, & absconde eos in uestibulis, in porta domꝰ Pharao in Taphnis, ante oculos uirorum Iuda, & dices, Sic dixit dñs, Ecce ego mitto, & adducam Nabuchodonosor regem Babylonis, qui ponet thronum suum super lapides istos, quos abscondisti, & extollet arma sua super eos, & intrabit, et percutiet terrā Ægypti, quos in mortem, in mortē, & quos in migrationem, in migrationē, & quos in gladium, in gladium, & accendet ignem in domibus deorum eorum, illas comburet, & eos trāsferet, & ferū abitur terrā Ægypti, sicut à pediculis purgat pastor uestimentū suū. Et egredietur in pace, & conteret statuas Heliopolis, quæ in Enō sunt, & domos earū cōburet igne.

Caput XLIIII

Sermō qui factus est per Hieremiā ad omnes Iudæos, habitātes in terra Ægypti, et sedētes Magdoli, & Taphnis, et in terra Pathures, dicēte, Sic dixit dñs exercituū deus Israel. Vos uidistis oia mala, quę induxi in Hierusalem, & in

καὶ ἱερεμίαν τὸν προφήτην, καὶ βαρούχ υἱὸν νηρίου. καὶ εἰσῆλθον εἰς αἴγυπτον, ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς κυρίου, καὶ εἰσῆλθον εἰς τάφνας. Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν ἐν τάφναις, λέγων, λαβὲ σεαυτῷ λίθους μεγάλους, καὶ κατάκρυψον αὐτοὺς ἐν προθύροις, ἐν πύλῃ τῆς οἰκίας φαραὼ, ἐν τάφναις, κατ' ὀφθαλμοὺς ἀνδρῶν ἰούδα. καὶ ἐρεῖς, οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ ἀποστέλλω, καὶ ἄξω ναβουχοδονόσορ βασιλέα βαβυλῶνος, καὶ θήσει αὐτοῦ τὸν θρόνον ἐπάνω τῶν λίθων τούτων ὧν κατέκρυψας, καὶ ἀρεῖ τὰ ὅπλα ἐπ' αὐτούς, καὶ εἰσελεύσεται, καὶ πατάξει γῆν αἰγύπτου, οὓς εἰς θάνατον εἰς θάνατον, καὶ οὓς εἰς ἀποικισμὸν εἰς ἀποικισμόν, καὶ οὓς εἰς ῥομφαίαν εἰς ῥομφαίαν. καὶ καύσει πῦρ ἐν οἰκίαις τῶν θεῶν αὐτῶν, καὶ ἐμπυριεῖ αὐτάς, καὶ ἀποικιεῖ αὐτούς, καὶ φθειριεῖ γῆν αἰγύπτου, ὥσπερ φθειρίζει ποιμὴν τὸ ἱμάτιον αὐτοῦ. καὶ ἐξελεύσεται ἐν εἰρήνῃ, καὶ συντρίψει τοὺς στύλους ἡλιουπόλεως τοὺς ἐν ὤν, καὶ τὰς οἰκίας αὐτῶν κατακαύσει ἐν πυρί.

Ὁ λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν ἅπασι τοῖς ἰουδαίοις τοῖς κατοικοῦσιν ἐν γῇ αἰγύπτου, καὶ τοῖς καθημένοις ἐν μαγδώλῳ, καὶ ἐν τάφναις καὶ ἐν γῇ παθούρης λέγων, οὕτως εἶπε κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσραήλ. ὑμεῖς ἑωράκατε πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπὶ ἱερουσαλήμ, καὶ

ἐπὶ τὰς πόλεις ἰούδα. καὶ ἰδού εἰσιν ἔρημοι ἀπὸ ἐνοικούντων ἀπὸ προσώπου πονηρίας αὐτῶν, ἧς ἐποίησαν παραπικρᾶναί με, πορευθέντες θυμιᾶν θεοῖς ἑτέροις, οἷς οὐκ ἔγνωτε. καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας ὄρθρου, καὶ ἀπέστειλα πρὸς ὑμᾶς, λέγων, μὴ ποιήσητε τὸ πρᾶγμα τῆς μολύνσεως ταύτης, ἧς ἐμίσησα. καὶ οὐκ ἤκουσάν μου, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν, ἀποστρέψαι ἀπὸ τῶν κακῶν αὐτῶν, τοῦ πρὸς τὸ μὴ θύειν θεοῖς ἑτέροις, καὶ ἔσταξεν ὁ θυμός μου, καὶ ἡ ὀργή μου, καὶ ἐξεκαύθησαν ἐν πύλαις ἰούδα, καὶ ἔξωθεν ἱερουσαλήμ. καὶ ἐγενήθησαν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον, ὡς ἡ ἡμέρα αὕτη. καὶ νῦν οὕτως εἶπε κύριος παντοκράτωρ, ἵνα τί ὑμεῖς ποιεῖτε κακὰ μεγάλα ἐπὶ ψυχαῖς ὑμῶν, ἐκκόψαι ὑμῶν ἄνδρα καὶ γυναῖκα, νήπιον καὶ θηλάζοντα ἐκ μέσου ἰούδα πρὸς τὸ μὴ καταλειφθῆναι ὑμῶν μηδένα, παραπικρᾶναί με ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν, θυμιᾶν θεοῖς ἑτέροις ἐν γῇ αἰγύπτου, εἰς ἣν εἰσήλθετε κατοικεῖν ἐκεῖ, ἵνα ἐκκοπῆτε, καὶ ἵνα γένησθε εἰς κατάραν, καὶ εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς ἔθνεσι τῆς γῆς. μὴ ἐπιλέλησθε ὑμεῖς τῶν κακῶν τῶν πατέρων ὑμῶν, καὶ τῶν κακῶν τῶν βασιλέων ἰούδα, καὶ τῶν κακῶν τῶν ἀρχόντων ὑμῶν, καὶ τῶν κακῶν τῶν γυναικῶν ὑμῶν, ὧν ἐποίη-

in ciuitates Iuda. Et ecce sunt desertæ hodie ab inhabitantibus à facie malitiæ eorum, quam fecerūt, ut ad iracundiam prouocarent me, euntes ut adolerent dijs aliis. Et misi ad uos seruos meos prophetas diluculo, & misi ad uos, dicens, Ne peragatis rem inquinationis huius, quam odi, et nec audierūt me, nec præbuerunt aurē suam, ut desisterent à malis suis, ne adolerent diis alienis. Et instillauit furor meus, & ira mea succensa est in ciuitatibus Iuda & extra Hierusalē. Et euersæ sunt in solitudinem & in inuium, ut apparet die hoc. Et nunc sic dixit dominus omnipotens, Cur uos editis magna scelera animis uestris, ut succidatur ex uobis uir et mulier, paruulus & lactens de medio Iuda, ne relinquatur uestrū ullus, ut irriteris me in operibus manuum uestrarum, adolendo dijs alienis in terra Ægypti, in quam ingressi estis ad habitandum ibi, ut excidamini, & ut sitis execrationi, et opprobrio gentibus terræ. Nunquid obliti estis uos malorum patrū uestrorū, & malorū regum Iuda, & malorum principū uestrorum, & malorum uxorum uestrarum, quæ fece-

fecerunt in terra Iuda, & extra Hierusalem? Atqui non cessauerunt usque in diem hanc, neque amplexi sunt praecepta mea, quae dedi ante faciem eorum, & ante faciem patrum suorum. Ideo sic dixit dominus, En ego auerto faciẽ meam, ad perdendum reliquias in Aegypto, & cadẽt gladio & fame, et deficient tam parui quàm magni ex ijs, & exponentur conuitijs, interitui, & execrationi. Et inuisam sedentes in terra Aegypti, sicut uisitaui Hierusalem gladio, & fame, & morte. Nec saluabitur ullus ex reliquis Iuda peregrinantibus in terra Aegypti, ut reuertantur in terram Iuda, ad quam se sperant animis suis redituros, non reuertentur, nisi saluati. Et responderunt Hieremiae omnes uiri, qui sciebant adolere uxores suas dijs alienis, & omnes mulieres, congregatio magna, & omnis populus sedentes in terra Aegypti, in ter Pathures, dicentes, Sermonem quem loquutus es ad nos in nomine domini, non audiemus ex te, quia facientes faciemus omne uerbũ quod egreditur de ore nostro, ut adoleamus reginae

ἐποίησαν ἐν γῇ ἰούδα, καὶ ἔξωθεν ἱερουσαλήμ; καὶ οὐκ ἐπαύσαντο ἕως τῆς ἡμέρας ταύτης, καὶ οὐκ ἀντείχοντο τῶν προσταγμάτων μου, ὧν ἔδωκα κατὰ πρόσωπον τῶν πατέρων αὐτῶν. διὰ τοῦτο οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ ἀφίστημι τὸ πρόσωπόν μου, τοῦ ἀπολέσαι πάντας τοὺς καταλοίπους τοὺς ἐν αἰγύπτῳ, καὶ πεσοῦνται ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, καὶ ἐκλείψουσιν ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, καὶ ἔσονται εἰς ὀνειδισμὸν καὶ εἰς ἀπώλειαν, καὶ εἰς κατάραν. καὶ ἐπισκέψομαι ἐπὶ τοὺς κατοικοῦντας ἐν γῇ αἰγύπτῳ, ὡς ἐπεσκεψάμην ἐν ἱερουσαλὴμ ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ, καὶ θανάτῳ. καὶ οὐκ ἔσται σεσωσμένος οὐδεὶς τῶν ἐπιλοίπων ἰούδα τῶν παροικούντων ἐν γῇ αἰγύπτῳ, τοῦ ἐπιστρέψαι εἰς γῆν ἰούδα, ἐφ᾽ ἣν αὐτοὶ ἐλπίζουσιν ταῖς ψυχαῖς αὐτῶν τοῦ ἐπιστρέψαι ἐκεῖ. οὐ μὴ ἐπιστρέψωσιν, ἀλλ᾽ ἢ οἱ ἀνασεσωσμένοι. Καὶ ἀπεκρίθησαν τῷ ἱερεμίᾳ πάντες οἱ ἄνδρες οἱ γνόντες, ὅτι θυμιῶσιν αἱ γυναῖκες αὐτῶν θεοῖς ἑτέροις, καὶ πᾶσαι αἱ γυναῖκες, συναγωγὴ μεγάλη, καὶ πᾶς ὁ λαὸς οἱ καθήμενοι ἐν γῇ αἰγύπτῳ, ἐν γῇ παθούρης, λέγοντες, ὁ λόγος, ὃν ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι κυρίου, οὐκ ἀκουσόμεθά σου. ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ

λίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδὰς, καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, καὶ οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν ἰούδα, καὶ ἔξωθεν ἱερουσαλὴμ, καὶ ἐπλήσθημεν ἄρτων, καὶ ἐγενόμεθα χρηστοὶ, καὶ κακὰ οὐκ εἴδομεν. καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, ἠλαττώθημεν ἄρτων πάντες, καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελίπομεν. καὶ ὅτι ἡμεῖς ἐθυμιῶμεν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ ἐσπείσαμεν αὐτῇ σπονδὰς, μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποιήσαμεν αὐτῇ χαυῶνας, καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς; καὶ εἶπεν ἱερεμίας παντὶ τῷ λαῷ, τοῖς δυνατοῖς καὶ ταῖς γυναιξὶ, καὶ παντὶ τῷ λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ λόγους, λέγων, οὐχὶ τοῦ θυμιάματος οὗ ἐθυμιάσατε ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἔξωθεν ἱερουσαλὴμ, ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν, καὶ οἱ βασιλεῖς ὑμῶν, καὶ οἱ ἄρχοντες ὑμῶν, καὶ ὁ λαὸς τῆς γῆς, ἐμνήσθη κύριος, καὶ ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ; καὶ οὐκ ἠδύνατο κύριος ἔτι φέρειν ἀπὸ προσώπου πονηρίας πραγμάτων ὑμῶν, καὶ ἀπὸ τῶν βδελυγμάτων ὧν ἐποιήσατε. καὶ ἐγενήθη ἡ γῆ ὑμῶν εἰς ἐρήμωσιν καὶ εἰς ἄβατον, καὶ εἰς ἀρὰν, ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀπὸ προσώπου, ὧν ἐθυμιᾶτε, καὶ ὧν ἡμάρτετε τῷ κυρίῳ. καὶ οὐκ ἠκούσατε τῆς φωνῆς

κυρίου

ginæ cœli, & libemus illi libamina, id quod fecimus nos & patres nostri, & reges nostri, & principes nostri in ciuitatibus Iuda, & extra Hierusalem, & tum saturati sumus panibus, & facti sumus boni, & mala non uidimus. Sed posteaquam cessauimus adolere reginæ cœli, & libare ei libamina, caruimus pane omnes, & gladio & fame infirmati sumus. Et cũ adoleamus reginæ cœli, & libemus ei libamina, an ne sine uiris nostris fecimus ei placentas, & libauimus libamina ei? Et dixit Hieremias Supra 8
omni populo, potentibus, & mulieribus, & omni populo qui responderunt ei uerba, dicens, Non'ne incensi, quod adoleuistis in ciuitatibus Iuda, & extra Hierusalem, uos & patres uestri, & reges uestri, & principes uestri & populus terrę, cũ recordatus sit dominus, et ascendit in cor eius? Nec potuit dominus ultra ferre faciem malitiæ rerum uestrarum, & abominationes, quas fecistis. Et uersa est terra uestra in desolationem, & in inuium, & in execrationem, ut hic dies declarat, à conspectu eorum, quibus adolebatis, & quibus peccastis domino. Et nõ audistis uocem

 domini,

domini, & in præceptis eius, & in lege eius, & testimonijs eius non ambulastis, itaq; incidistis in tāta mala. Et dixit Hieremias populo & mulieribus, Audite uerba domini. Sic dixit dominus Israel. Vos ô mulieres ore uestro locuti estis, & manibus uestris impleuistis, dicentes, Facientes faciemus uota nostra, quæ uouimus, ut adoleamus reginæ cœli, & libemus ei libamina. Manētes mansistis in uotis uestris, & facientes fecistis. Ideo audite uerbū dñi omnis Iuda, sedentes in terra Ægypti. Ecce iuraui per nomen meū magnū, dixit dominus, non uersari amplius nomen meum in ore totius Iuda dicētis, Viuit dñs, in omni terra Ægypti. Quia ecce ego uigilaui super eos, ut malis, non bonis eos afficiam, & infirmabitur omnis Iuda, habitans in terra Ægypti, et gladio et fame, donec plane debilitentur. At liberati gladio reuertētur in terram Iuda, pauci numero, & scient omnes reliqui Iuda peregrinantes in terra Ægypti, ad habitandum ibi cuius nam oratio rata maneat. Et hoc uobis signū, dicit dñs, q̄d aduertā ego

κυρίου, καὶ ἐν τοῖς προστάγμασιν αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ, καὶ ἐν τοῖς μαρτυρίοις αὐτοῦ οὐκ ἐπορεύθητε, καὶ ἐπελάβετε ὑμῶν τὰ κακὰ ταῦτα. καὶ εἶπεν ἱερεμίας τῷ λαῷ καὶ ταῖς γυναιξὶν, Ἀκούσατε τοὺς λόγους κυρίου. οὕτως εἶπε κύριος ὁ θεὸς τοῦ ἰσραὴλ, ὑμεῖς αἱ γυναῖκες τῷ στόματι ὑμῶν ἐλαλήσατε, καὶ ταῖς χερσὶν ὑμῶν ἐπληρώσατε, λέγουσαι, ποιοῦσαι ποιήσωμεν τὰς ὁμολογίας ἃς ὡμολογήσαμεν, θυμιᾷν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, σπένδειν αὐτῇ σπονδάς. ἐμμείνασαι ἐνεμείνατε ταῖς ὁμολογίαις ὑμῶν, καὶ ποιοῦσαι ἐποιήσατε. διὰ τοῦτο ἀκούσατε λόγον κυρίου πᾶς ἰούδα, οἱ καθήμενοι ἐν γῇ αἰγύπτῳ. ἰδοὺ ὤμοσα τῷ ὀνόματί μου τῷ μεγάλῳ, εἶπε κύριος, ἐὰν γένηται ἔτι ὄνομά μου ἐν τῷ στόματι παντὸς ἰούδα εἰπεῖν, ζῇ κύριος ἐπὶ πάσῃ γῇ αἰγύπτῳ. ὅτι ἰδοὺ ἐγὼ ἐγρήγορα ἐπ' αὐτοὺς, τοῦ κακῶσαι αὐτοὺς, καὶ οὐκ ἀγαθῶσαι. καὶ ἐκλείψουσι πᾶς ἰούδα, οἱ κατοικοῦντες ἐν γῇ αἰγύπτου, ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ, ἕως ἂν ἐκλείπωσιν. καὶ οἱ σεσωσμένοι ἀπὸ ῥομφαίας ἐπιστρέψουσιν ἐν γῇ ἰούδα ὀλίγοι ἀριθμῷ, καὶ γνώσονται οἱ κατάλοιποι ἰούδα οἱ καταστάντες ἐν γῇ αἰγύπτου, κατοικῆσαι ἐκεῖ, λόγος τίνος ἐμμενεῖ. καὶ τοῦτο τὸ σημεῖον ὑμῖν, ὅτι ἐπισκέψομαι

ἐγὼ ἐφ' ὑμᾶς εἰς πονηρά. οὕτως εἶπε κύριος, ἰδοὺ ἐγὼ δίδωμι τὸν οὐαφρῆ βασιλέα αἰγύπτου εἰς χεῖρας ἐχθροῦ αὐτοῦ, καὶ εἰς χεῖρας ζητοῦντος τὴν ψυχὴν αὐτοῦ, καθὰ δέδωκα τὸν σεδεκίαν βασιλέα ἰούδα εἰς χεῖρας ναβουχοδονόσορ βασιλέως βαβυλῶνος ἐχθροῦ, καὶ ζητοῦντος τὴν ψυχὴν αὐτοῦ.

Ὁ λόγος ὃν ἐλάλησεν ἱερεμίας ὁ προφήτης πρὸς βαροὺχ υἱὸν νηρίου, ὅτι ἔγραψε τοὺς λόγους τούτους ἐν τῷ βιβλίῳ ἀπὸ στόματος ἱερεμίου, ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ ἰωακεὶμ υἱοῦ ἰωσίου βασιλέως ἰούδα. οὕτως εἶπε κύριος, ἐπὶ σοὶ βαρούχ, ὅτι εἶπας, οἴμοι οἴμοι, ὅτι προσέθηκε κύριος κόπον ἐπὶ πόνον μοι. ἐκοιμήθην ἐν στεναγμοῖς, ἀνάπαυσιν οὐχ εὗρον. εἶπον αὐτῷ, οὕτως εἶπε κύριος. ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα, ἐγὼ καθαιρῶ. καὶ οὓς ἐγὼ ἐφύτευσα, ἐγὼ ἐκτίλλω. καὶ σὺ ζητήσεις σεαυτῷ μεγάλα; μὴ ζητήσῃς, ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶσαν σάρκα, λέγει κύριος. καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρημα ἐν παντὶ τόπῳ, οὗ ἐὰν βαδίσῃς ἐκεῖ.

Ἐν ἀρχῇ βασιλεύοντος σεδεκίου τοῦ βασιλέως, ἐγένετο ὁ λόγος οὗτος περὶ αἰλὰμ καὶ αἰγύπτου ἐπὶ δύναμιν φαραὼ νεχαὼ βασιλέως αἰγύπτου, ὃς ἦν ἐπὶ τῷ ποταμῷ εὐφράτῃ ἐν χαρμεῖς, ὃν ἐπάταξε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, ἐν τῷ

ἔτει

ego in uos ad mala. Sic dixit dominus, Ecce ego trado Vaphri regem Ægypti in manus inimici eius, & in manus quærentis animam eius, perinde ut dedi Sedeciam regem Iuda in manus Nabuchodonosor regis Babylonis inimici eius, & quærentis animam eius.

Cap. XLV

Verbum quod locutus est Hieremias propheta ad Baruch filium Neriæ, tum cum scriberet uerba illa in libro, ex ore Hieremiæ, anno quarto Ioacim filii Iosiæ regis Iuda, dicēs, Sic dixit dominus deus, in te Baruch, quandoquidem dixisti, heu, heu, quia addidit dominus dolorem ad dolorem meum, Dormiui in gemitibus, requiem non inueni. Dic ei, Sic dixit dominus. Ecce quos ego ædificaui, eos destruo, & quos plantaui, eos euello. Et tu quæris tibi grandia? ne quæras, quia ecce ego induco mala super omnē carnē, ait dn̄s. Et dabo tibi animam tuam lucrum, in omni loco, quò uades.

Cap. XLVI

A principio regnantis Sedeciæ regis, factum est uerbū domini de Ælam Ægypti, contra exercitū Pharaonis Necho regis Ægypti, q erat apud flumen Euphratē in Charmis, quē percussit Nabuchodonosor rex Babylōis, in

anno

anno quarto Ioacim regis Iuda. Assumite arma & scuta, et adducite in prœliũ, sternite equos, ascendite equites, & state in galeis uestris, torquete hastas, et induite loricas uestras. Cur ipsi pauent, & recedunt retro? quia fortes eorum cædentur, fuga fugerunt, & non sunt reuersi, obsessi in circuitu, ait dominus. Ne fugiat leuis, neque saluetur fortis ad aquilonem. Quæ iuxta flumẽ Euphratem, infirmata sunt, et conciderunt. Quis est iste, qui tanquam flumen ascendet, & instar fluuiorũ, quę inundãt, aqua? Aquæ Ægypti quasi flumen ascendent, & dixit, Ascendã, et tegam terram & ciuitatem, & habitantes in ea. Conscendite equos & præparate currus, egredimini pugnatores Æthiopum et Libyę, instructi armis, & Lydi ascendite, intendite arcũ. Et dies illa domino deo exercituum, dies uindictę, ut ulciscatur inimicos suos. Et deuorabit gladius, & saturabitur, & inebriabitur sanguine eorum, quia sacrificium domino exercituum ad terram aquilonis ad flumẽ Euphratẽ. Ascẽde Galaad, et cape

resinam

ἔτει τῷ τετάρτῳ ἰωακεὶμ βασιλέως ἰούδα. ἀναλάβετε ὅπλα καὶ ἀσπίδας, καὶ προσαγάγετε εἰς πόλεμον, καὶ ἐπισάξατε τοὺς ἵππους, ἐπίβητε οἱ ἱππεῖς, καὶ κατάστητε ἐν ταῖς περικεφαλαίαις ὑμῶν, προβάλετε τὰ δόρατα, καὶ ἐνδύσασθε τοὺς θώρακας ὑμῶν. διὰ τοῦτο αὐτοὶ φοβοῦνται, καὶ ἀποχωροῦσιν εἰς τὸ ὀπίσω, διότι οἱ ἰσχυροὶ αὐτῶν κοπήσονται; φυγῇ ἔφυγον, καὶ οὐκ ἀνέστρεψαν περιεχόμενοι κύκλῳ, λέγει κύριος. μὴ φευγέτω ὁ κοῦφος, καὶ μὴ ἀνασωζέσθω ὁ ἰσχυρὸς ἐπὶ βορρᾶν. τὰ παρὰ τὸν εὐφράτην ἠσθένησε, καὶ πεπτώκασι. τίς οὗτος ὡς ποταμὸς ἀναβήσεται, καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕδωρ; ὕδατα αἰγύπτου ὡς ποταμὸς ἀναβήσεται, καὶ εἶπε, ἀναβήσομαι καὶ κατακαλύψω τὴν γῆν καὶ πόλιν, τοὺς κατοικοῦντας ἐν αὐτῇ. ἐπίβητε ἐπὶ τοὺς ἵππους, παρασκευάσατε τὰ ἅρματα, ἐξέλθετε οἱ μαχηταὶ αἰθιόπων, καὶ λίβυες καθωπλισμένοι ὅπλοις, καὶ λυδοὶ ἀνάβητε, ἐντείνατε τόξον, καὶ ἡ ἡμέρα ἐκείνη κυρίῳ τῷ θεῷ ὑμῶν ἡμέρα ἐκδικήσεως, τοῦ ἐκδικῆσαι τοὺς ἐχθροὺς αὐτοῦ. καὶ καταφάγεται ἡ μάχαιρα τοῦ κυρίου, καὶ ἐμπλησθήσεται, καὶ μεθυσθήσεται ἀπὸ τοῦ αἵματος αὐτῶν, ὅτι θυσία τῷ κυρίῳ ἀπὸ γῆς βορρᾶ ἐπὶ ποταμῷ εὐφράτῃ. ἀνάβηθι γαλαάδ, καὶ λαβὲ

ῥητίνη

ῥητίνην τῇ παρθένῳ θυγατρὶ αἰγύ-
πτου. εἰς τὸ κενὸν ἐπλήθυνας ἰάμα-
τά σου. ὠφέλεια οὐκ ἔστιν ἐν σοί. ἤκου-
σαν ἔθνη φωνήν σου, καὶ τῆς κραυγῆς
σου ἐπλήσθη ἡ γῆ, ὅτι μαχητὴς πρὸς
μαχητὴν ἠσθένησαν, ἐπὶ τὸ αὐτὸ ἔ-
πεσον ἀμφότεροι. ἃ ἐλάλησε κύ-
ριος ἐν χειρὶ ἱερεμίου, τοῦ ἐλθεῖν τὸν
βασιλέα βαβυλῶνος τοῦ κόψαι τὴν
γῆν αἰγύπτου. ἀναγγείλατε εἰς μαγ-
δωλὸν, καὶ παραγγείλατε εἰς μέμ-
φιν. εἴπατε, ἐπίστηθι, καὶ ἑτοίμα-
σον, ὅτι κατέφαγε μάχαιρα τὴν σμί-
λακά σου, διότι ἔφυγεν ὁ ἆπις ὁ μό-
σχος ὁ ἐκλεκτός σου οὐκ ἔμεινεν, ὅ-
τι κύριος παρέλυσεν αὐτόν. καὶ τὸ
πλῆθός σου ἠσθένησε, καὶ ἔπεσε. καὶ
ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἐ-
λάλει, ἀναστῶμεν, καὶ ἀποστρέψω-
μεν πρὸς τὸν λαὸν ἡμῶν, εἰς τὴν πα-
τρίδα ἡμῶν, ἀπὸ προσώπου μαχαί-
ρας ἑλληνικῆς. καλέσατε τὸ ὄνομα
φαραὼ νεχαὼ βασιλέως αἰγύπτου,
σαὼ νεσβιεμωήδ. ζῶ ἐγὼ, λέγει κύ-
ριος ὁ θεὸς, ὅτι ὡς τὸ ἰταβύριον ἐν
τοῖς ὄρεσι, καὶ ὡς ὁ κάρμηλος ὁ ἐν
τῇ θαλάσσῃ ἥξει. σκεύη ἀποικισμοῦ
ποίησον σεαυτῇ κατοικοῦσα θύγατερ
αἰγύπτου, ὅτι μέμφις εἰς ἀφανισ-
μὸν ἔσται, καὶ κληθήσεται οὐαὶ, διὰ
τὸ μὴ ὑπάρχειν κατοικοῦντας ἐν αὐ-
τῇ. δάμαλις κεκαλλωπισμένη αἴ-
γυπτος, ἀπόσπασμα ἀπὸ βοῤῥᾶ ἦλ-
θεν ἐπ' αὐτὴν, καὶ οἱ μισθωτοὶ αὐτῆς ἐν
αὐτῇ.

resinam uirgini filiæ Æ-
gypti. Frustra auxisti me-
dicamina tua, utilitas non
est tibi. Audierunt gentes
uocem tuam, & clamore
tuo repleta est terra, quia
pugnator aduersus pugna
torem infirmatus est, eodē
loco concidit uterq;. Hęc
loquutus est dn̄s in manu
Hieremiæ prophetę, ut ue
niret Nabuchodenosor
rex Babylonis, ut uexaret
terram Ægypti. Annun-
ciate in Magdolo, & an-
nunciate in Memphin, di
cite, Sta & præpara, quia
deuorauit gladius taxum
tuum. Quia fugit Apis.
uitulus electus tuus nō ex
pectauit, quia dn̄s dissoluit
eum. Et multitudo tua in-
firmata est, & cecidit. Et
unusquisq; proximo suo
loquebatur, surgamus, &
reuertamur ad populū no-
strū, & in patriā nostram
à facie gladij Græci. Vo
cate nomē Pharaonis Ne
chao regis Ægypti, Sao
Neesbiemoed. Viuo ego,
dicit dn̄s deus, illū tanquā
Itabyriū in montibus, et
ut Carmelū in mari uentu
rū. Vasa migrationis fac
tibi habitatrix filia Ægy
pti, quia Memphis in soli
tudinē uertetur, & uoca-
bitur uæ, eo quod nō sint
habitātes in ea. Vitula or
nata Ægyptus, euulsio
ab Aquilone uenit ad e-
am, & mercenarij eius in
ea

ea quasi uituli saginati, nutriti ad mactationem. quia & ipsi auersi sunt, & fugerunt una mente Nō steterunt, quia dies interitus uenit super eos, & tempus uindictæ eorum. Vox eius quasi serpentis sibilantis, quia in arena ambulabūt, securibus uenient cōtra eam quasi cædentes ligna. Vt cędētes ligna, excidēt saltus eius, dicit dn̄s. Nam nō habebit delectū de*us*, plures erūt quā locustę, numerari nō possunt. Dedecore notata est filia Ægypti, tradita est in manus populi ab Aquilone, dicit dominus. Ecce ego ulciscor Ammon filiū eius ad Ægyptum, & deos eius, & reges, & Pharaonem, eos qui confidunt ei. Tu autem ne timeas serue mi Iacob, neq; paueas Israel. quia ecce saluo te procul, & semē tuū de captiuitate eorū Et reuertetur Iacob, & requiescet & dormiet, & non erit, qui perturbet eum. Ne timeas serue mi Iacob, dicit dn̄s, quia tecū sum ego. Secura illa et delicata est tradita. Etenim faciam consummationem in omni gente, in quos expuli te, te aūt non faciā deficere. Et castigabo te iudicio, nec te innocentem exterminabo.

αὐτῇ, ὥσπερ μόσχοι σιτευτοὶ τρεφόμενοι εἰς σφαγήν. διότι καὶ αὐτοὶ ἀπεστράφησαν, καὶ ἔφυγον ὁμοθυμαδόν. οὐκ ἔστησαν, ὅτι ἡμέρα ἀπωλείας ἦλθεν ἐπ᾽ αὐτούς, καὶ καιρὸς ἐκδικήσεως αὐτῶν. φωνὴ αὐτῶν ὡς ὄφεως συρίζοντος, ὅτι ἐν ἄμμῳ πορεύσονται, ἐν ἀξίναις ἥξουσιν ἐπ᾽ αὐτήν. ὡς κόπτοντες ξύλα, ἐκκόψουσι τὸν δρυμὸν αὐτῆς, λέγει κύριος, ὅτι οὐ μὴ εἰκασθῇ ὁ θεός, ὅτι πληθύνει ὑπὲρ ἀκρίδα, καὶ οὐκ ἔστιν αὐτοῖς ἀριθμός. κατῃσχύνθη ἡ θυγάτηρ αἰγύπτου, παρεδόθη εἰς χεῖρας λαοῦ ἀπὸ βορρᾶ. ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν ἀμμὼν τὸν υἱὸν αὐτῆς ἐπ᾽ αἴγυπτον, καὶ ἐπὶ τοὺς θεοὺς αὐτῆς, καὶ ἐπὶ τοὺς βασιλεῖς αὐτῆς, καὶ ἐπὶ φαραώ, καὶ ἐπὶ τοὺς πεποιθότας ἐπ᾽ αὐτῷ. σὺ δὲ μὴ φοβηθῇς δοῦλός μου ἰακώβ, μηδὲ πτοηθῇς ἰσραήλ. διότι ἐγὼ ἰδοὺ σώζω σε μακρόθεν, καὶ τὸ σπέρμα σου ἐκ τῆς αἰχμαλωσίας αὐτῶν. καὶ ἀναστρέψει ἰακώβ, καὶ ἡσυχάσει καὶ ὑπνώσει, καὶ οὐκ ἔσται ὁ παρενοχλῶν αὐτόν. μὴ φοβοῦ παῖς μου ἰακώβ, λέγει κύριος, ὅτι μετά σου ἐγώ εἰμι. ἡ ἀπλευτος καὶ τρυφερὰ παρεδόθη, ὅτι ποιήσω ἔθνη συντέλειαν ἐν παντὶ εἰς οὓς ἐξώσά σε ἐκεῖ, σὲ δὲ οὐ μὴ ποιήσω ἐκλιπεῖν, καὶ παιδεύσω σε εἰς κρίμα, καὶ ἀθῷον οὐκ ἀθωώσω σε.

Cap. XLVII

Hęc dicit dominus, Ecce aquæ ascendunt ab Aquilone, & erunt in torren-

Τάδε λέγει κύριος, ἰδοὺ ὕδατα ἀναβαίνει ἀπὸ βορρᾶ, καὶ ἔσται εἰς χειμά-

χειμάῤῥουν κατακλύζοντα, καὶ κατακλύσει γῆν, καὶ τὸ πλήρωμα αὐτῆς, πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ κεκράξονται οἱ ἄνθρωποι, καὶ ἀλαλάξουσιν ἅπαντες οἱ κατοικοῦντες τὴν γῆν, ἀπὸ φωνῆς ὁρμῆς αὐτοῦ, τῶν ἀπὸ ὅπλων τῶν πολλῶν αὐτοῦ, καὶ ἀπὸ σεισμοῦ τῶν ἁρμάτων αὐτοῦ, καὶ ἤχου τροχῶν αὐτοῦ. οὐκ ἐπέστρεψαν πατέρες ἐφ' υἱοὺς αὐτῶν ἀπὸ ἐκλύσεως χειρῶν αὐτῶν ἐν τῇ ἡμέρᾳ τῇ ἐπερχομένῃ, τοῦ ἀπολέσαι πάντας τοὺς ἀλλοφύλους. καὶ ἀφανιῶ τὴν τύρον καὶ τὴν σιδῶνα, καὶ πάντας τοὺς καταλοίπους τῆς βοηθείας αὐτῶν, ὅτι ἐξολοθρεύσει κύριος τοὺς καταλοίπους τῶν νήσων. ἥκει φαλάκρωμα ἐπὶ γάζαν, ἀπεῤῥίφη ἀσκάλων, καὶ οἱ κατάλοιποι ἐνακίμ. ἕως τίνος κόψει ἡ μάχαιρα τοῦ κυρίου; ἕως τίνος οὐκ ἡσυχάσεις; ἀποκατάστηθι εἰς τὸν κολεόν σου, καὶ ἀνάπαυσαι, καὶ ἐπάρθητι. πῶς ἡσυχάσει; καὶ κύριος ἐνετείλατο αὐτῇ ἐπὶ τὴν ἀσκάλωνα, καὶ ἐπὶ τὰς παραθαλασσίους, καὶ ἐπὶ τὰς καταλοίπους ἐπεγερθῆναι.

Τῇ μωὰβ οὕτως εἶπε κύριος, οὐαὶ ἐπὶ ναβαύ, ὅτι ὤλετο, ἐλήφθη καριαθαίμ, ἠσχύνθη μασιγὰβ, καὶ ἡττήθη. οὐκ ἔστιν ἔτι ἰατρεία μωάβ, γαυρίαμα ἐν ἐσεβὼν, ἐλογίσαντο ἐπ' αὐτὴν κακά. δεῦτε ἐκκόψωμεν αὐτὴν ἀπὸ ἔθνους, καὶ παῦσιν παύσεται.

ἔπι

torrentem inundantem, et inundabit terram & plenitudinem eius, urbem & habitantes in ea. & clamabunt homines, & plorabunt omnes habitatores terram à uoce impetus eius, ab armis multis eorum, & à commotione curruũ eius, et à sonitu rotarũ eius. Nõ reuersi sunt patres ad filios eorum à dissolutione manuum suarum futuro die, ut perdat omnes Palestinos. Et uastabo Tyrũ & Sidonem, & omnes reliquos auxiliatores eorũ, quia exterminauit dominus Palestinos reliquos insularum. Venit caluitium ad Gazan, proiecta est Ascalon, et reliqui Enacim. Quousq; incidet gladius domini: quousq; non quiesces? Restitue in uaginã tuam, et quiesce et tollere. Quomodo quiescet? cum dominus præceperit ei aduersum Ascalonem, & aduersum maritimas, & aduersum reliquas, ut insurgat.

Caput XLVIII

Moab sic dixit dominus, Væ super Nabo, quoniam perijt, capta est Cariathiem, pudefacta est Masigath, atque uicta est, non est ultra medicamen Moab. Insolentia in Esebon, cogitauerunt de ea mala. Venite et excidamus eam de gente, & quietem quiescet.

Post

Post te uadet, quia uox clamantium de Oronaim, uastitas & contritio magna, contritio Moab. Annunciate ad Zogora, quia repleta est Alaoth fletu. Ascendet plorans in uia Oronaim, Clamorem cōtritionis audistis, fugite et saluate animas uestras, & eritis quasi asinus agrestis in deserto, quoniam confisi munitionibus tuis, ideo capieris Et egredietur Chamos in migratione, sacerdotes eius et principes eius simul, & ueniet uastitas ad omnem ciuitatem. Nequaquam conseruabitur et peribit uallis, et deuastabitur cāpestris, sicut dixit dominus. Date signa Moab, quia plaga petetur, & omnes ciuitates eius in inuium uertentur, eo quod non sit habitans in ea. Execratus est is qui fungitur opere domini negligenter, qui educit gladium suum à sanguine. Quieuit Moab à puero, et confisus est gloriæ suæ, non infudit de uase in uas, et in transmigrationem non abierunt. Idcirco durauit illi gustus eius, et odor eius non defecit. Ecce ergo dies uenient, ait dñs, quibus mittā ei stratores, et sternēt eū, et uasa eius cōminuent, et cornua eius cōterent. Et pudefiet Moab à Chamos, sicut pudore affecta est

domus

ὀπίσω σου βαδιεῖται μάχαιρα, ὅτι φωνὴ κεκραγότων ἐξ ὡρωναΐμ, ὄλεθρον, καὶ σύντριμμα μέγα συντρίβη μωάβ. ἀναγγείλατε εἰς ζογόρα, ὅτι ἐπλήσθη ἀλαὼθ ἐν κλαυθμῷ. ἀναβήσεται κλαίων ἐν ὁδῷ ὡρωναΐμ, κραυγὴν συντρίμματος ἠκούσατε, φεύγετε καὶ σώσατε τὰς ψυχὰς ὑμῶν, καὶ ἔσεσθε ὥσπερ ὄνος ἄγριος ἐν ἐρήμῳ, ἐπειδὴ ἐπεποίθεις ἐν ὀχυρώματί σου, καὶ συλληφθήσῃ. καὶ ἐξελεύσεται χαμὼς ἐν ἀποικίᾳ, καὶ οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα, καὶ ἥξει ὄλεθρος ἐπὶ πᾶσαν πόλιν. οὐ μὴ σωθῇ, καὶ ἀπολεῖται ὁ αὐλών, καὶ ἐξολοθρευθήσεται ἡ πεδινή, καθὼς εἶπε κύριος. δότε σημεῖα τῇ μωάβ, ὅτι ἀφῇ ἀναφθήσεται, καὶ πᾶσαι αἱ πόλεις αὐτῆς εἰς ἄβατον ἔσονται. πόθεν ἔνοικος αὐτῇ; ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς, ἐξαίρων μάχαιραν αὐτοῦ ἀφ' αἵματος. ἀνεπαύσατο μωὰβ ἐκ παιδαρίου, καὶ πεποιθὼς ἦν ἐπὶ τῇ δόξῃ αὐτοῦ, οὐκ ἐνέχεεν ἐξ ἀγγείου εἰς ἀγγεῖον, καὶ εἰς ἀποικισμὸν οὐκ ᾤχετο. διὰ τοῦτο ἔστη γεῦμα αὐτοῦ ἐν αὐτῷ, καὶ ὀσμὴ αὐτοῦ οὐκ ἐξέλιπε. διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ κύριος, καὶ ἀποστελῶ αὐτῷ κλίνοντας, καὶ κλινοῦσιν αὐτόν, καὶ τὰ σκεύη αὐτοῦ λεπτυνοῦσι, καὶ τὰ κεράμια αὐτοῦ συγκόψουσι, καὶ καταισχυνθήσεται μωὰβ ἀπὸ χαμώς, ὥσπερ κατῃσχύνθη

οἶκος

οἶκος ἰσραὴλ ἀπὸ βαιθὴλ, ἐλπίδος αὐτῶν πεποιθότων ἐφ' ἑαυτοῖς. πῶς ἐρεῖτε, ἰσχυροί ἐσμεν, καὶ ἄνθρωπος ἰσχύων εἰς τὰ πολεμικά; ὤλετο μωὰβ, πόλις αὐτοῦ, καὶ ἐκλεκτοὶ νεανίσκοι αὐτοῦ κατέβησαν εἰς σφαγήν. ἐγγὺς ἡμέρα μωὰβ ἐλθεῖν, καὶ πονηρία αὐτοῦ ταχεῖα σφόδρα. κινήσατε αὐτῷ πάντες κυκλόθεν αὐτοῦ, πάντες εἰδότες ὄνομα αὐτοῦ. εἴπατε, πῶς συνετρίβη βακτηρία εὐκλεὴς, ῥάβδος μεγαλόμματος; κατάβηθι ἀπὸ δόξης, καὶ κάθισον ἐν ὑγρασίᾳ καθημένη. δαιδὰν ἐκτριβήσεται, ὅτι ὤλετο μωὰβ, ἀνέβη εἰς σὲ λυμαινόμενος ὀχύρωμά σου. ἐφ' ὁδοῦ στῆθι, καὶ ἐπίδε καθημένη ἐν ἀροὴρ, καὶ ἐρώτησον φεύγοντα, καὶ σωζόμενον, καὶ εἶπον, τί ἐγένετο; κατῃσχύνθη μωὰβ, ὅτι συνετρίβη. ὀλόλυξον καὶ κέκραξον, ἀνάγγειλον ἐν ἀρνῶν, ὅτι ὤλετο μωὰβ, καὶ κρίσις ἔρχεται εἰς γῆν τοῦ μεισὼρ ἐπὶ χελὼν, καὶ ῥεφὰς, καὶ ἐπὶ μωφὰς, καὶ ἐπὶ δαιβὼν, καὶ ἐπὶ δαδαὶν, καὶ ἐπ' οἶκον δαιβλαθαὶμ, καὶ ἐπὶ καριαθαὶμ, καὶ ἐπ' οἶκον γαμὼλ, καὶ ἐπ' οἶκον μαὼν, καὶ ἐπὶ καριὼθ, καὶ ἐπὶ βοσὸρ, καὶ ἐπὶ πάσας τὰς πόλεις μωὰβ τὰς πόῤῥω καὶ τὰς ἐγγύς. κατεάχθη κέρας μωὰβ, καὶ τὸ ἐπίχειρον αὐτῶν συνετρίβη. μεθύσατε αὐτὸν, ὅτι ἐπὶ κύριον ἐμεγαλύνθη. καὶ ἐπικρούσει μωὰβ ἐν χειρὶ

domus Israel, propter Bethel, spemq́ eorũ qui confisi sunt ipsi sibi. Quomodo dicetis, fortes sumus, et homo potens in prælium? Periit Moab ciuitas eius, & electi iuuenes eius descenderũt ad occisionem. Prope dies Moab accedet, & malitia eius sane uelox. Mouete eũ omnes in circuitu eius, omnes edite nomẽ eius, dicite, quomodo confracta est uirga gloriosa baculus magnificentiæ? Descende de gloria, & sede in humiditate collocata. Dædan uastabitur, quia periit Moab, ascendit ad te deuastans munitionem tuam. In uia sta, & prospice sedens in Aroer, & interroga fugientẽ, & saluatũ. Et dic, quid factũ est? Putrefact⁹ est Moab, quoniam cõtritus est. Plora, & clama, annũcia in Arnon, quia perijt Moab, & iudicium uenit ad terram Misor ad Chelon, & Rephas, & ad Mophas, & ad Dæbon, et ad Dadan, et ad domum Deblathem, et ad Cariathem, & ad domũ Gemol, et ad domũ Maon et ad Carioth, & ad Bosor, deniq́ ad omnes ciuitates Moab, siue procul sint siue prope, Confractũ est cornu Moab, & prçmiũ eorũ contritũ ẽ. Inebriate eũ, quoniã cõtra dñm magnus ẽ effect⁹. Et applaudet Moab in manu

manu sua, ergo & ipse ri
sui exponetur. Atque con-
temptui fuit tibi Israel, in
furtis tuis inuētus est, quia
oppugnas eū. Reliquerūt
ciuitates, & habitauerunt
in petris habitātes Moab.
Facti sunt quasi colūbę ni
dū cōstruentes in petris o-
re foueæ. Audiui superbiā
Moab, planè insolēs fuit,
& superbiā eius et arrogā
tiā eius, & elato fuit ani-
mo. Ego aūt cognoui, di-
cit dñs, opa eius. Anne cō
moditas nō ita postulauit?
Quocirca propter Moab
plorate ubique. Clamate
ad uiros tonsos siccitatis.
Quasi plangorē Iazer lu-
gebo tibi uinea Aserema,
palmites tui transierūt ma
re, & super uindemias tu-
as strages cecidit. Cōgre
gatum est gaudium & læ
titia dę Moabitide, & ui-
nū erat in torcularibus tu-
is. Mane uō calcauerunt,
neque uespe fecerūt quicque.
A clamore Esebon usque
ad Eleale, & usque Iassa, us
que Etath ciuitates eorū,
ediderunt uocē suā à Zo-
gora ad Oronaim usque &
famā Salisia. Nā et aqua
Nebrimes ad exustionē
uertet. Et perdā Moab,
ait dñs, ascēdentem super
altare, & sacrificantē dijs
eius. Propterea cor Mo-
ab quasi tibiæ resonabūt,
et cor meū ad homines tō
sos quasi tibia resonabit.
Propter hoc quę acquisiuit,
peri-

χειρὶ αὐτοῦ, καὶ ἔσται εἰς γέλωτα καὶ
αὐτός. καὶ μὴν εἰς γελοιασμὸν ἦν
σοι ἰσραὴλ, καὶ ἐν κλοπαῖς σου εὑρέ-
θη, ὅτι ἐπολέμεις αὐτόν. κατέλει-
πον τὰς πόλεις, καὶ ᾤκισαν ἐν πέ-
τραις οἱ κατοικοῦντες μωάβ. ἐγενή-
θησαν ὥσπερ περιστεραὶ νεοσσεύουσαι
ἐν πέτραις στόματι βαθύνου. Καὶ ἤ-
κουσα ὕβριν μωὰβ, καὶ ὕβρισε λίαν, ὕ-
βριν αὐτοῦ καὶ ὑπερηφανίαν αὐτοῦ, ὑψώ-
θη ἡ καρδία αὐτοῦ, ἐγὼ δὲ ἔγνων ἔργα
αὐτοῦ. οὐχὶ τὸ ἱκανὸν αὐτοῦ οὐχ οὕτως ἐ-
ποίησε; διὰ τοῦτο ἐπὶ μωὰβ ὀλολύζε-
τε πάντοθεν. βοήσατε ἐπ᾽ ἄνδρας
κειράδας αὐχμοῦ. ὡς κλαυθμὸν ἰα-
ζὴρ ἀποκλαύσομαί σοι ἄμπελος ἀσε-
ρημά, κλήματά σου διῆλθε θάλασσαν.
ἐπὶ τρυγηταῖς σου ὄλεθρος ἐπέπεσε,
συνεψήσθη χαρμοσύνη, καὶ εὐφροσύ-
νη ἐκ τῆς μωαβίτιδος, καὶ οἶνος ἦν
ἐπὶ ληνοῖς σου. πρωῒ οὐκ ἐπάτησαν,
οὐδὲ δείλης οὐκ ἐποίησαν, αἱ δὲ ἀπὸ
κραυγῆς ἐσεβὼν ἕως ἐλεαλὴ, καὶ ἕως
ἰασσα, ἕως ἐτὰθ αἱ πόλεις αὐτῶν ἔδω-
καν φωνὴν αὐτῶν ἀπὸ ζογορὰ ἕως ὠ-
ρωναὶμ, καὶ ἀγγελίαν σαλισία, ὅ-
τι καὶ τὸ ὕδωρ νεβριμεῖς κατάκαυ-
μα ἔσται. καὶ ἀπολῶ τὸν μωάβ, φη-
σὶ κύριος, ἀναβαίνοντα ἐπὶ τὸν βω-
μὸν, καὶ θυμιῶντα θεοῖς αὐτοῦ. διὰ
τοῦτο καρδία τοῦ μωὰβ, ὥσπερ αὐ-
λοὶ βομβύσουσι. καρδία μου ἐπ᾽ ἀν-
θρώπους κειράδας, ὥσπερ αὐλὸς
βομβύσει. διὰ τοῦτο ἃ περιεποιήσατο,
ἀπώ-

ἀπώλετο ἀπὸ ἀνθρώπου. πᾶσαν κεφαλὴν ἐν παντὶ τόπῳ ξυρήσονται, καὶ πᾶς πώγων ξυρηθήσεται, καὶ πᾶσαι χεῖρες κόψονται, καὶ ἐπὶ πάσης ὀσφύος σάκκος, καὶ ἐπὶ πάντων τῶν δωμάτων μωάβ, καὶ ἐπὶ ταῖς πλατείαις αὐτῆς ὅλαις κοπετός, ὅτι συνέτριψα τὸν μωάβ, φησὶ κύριος, καὶ ὡς ἀγγεῖον, οὗ οὐκ ἔστιν χρεία αὐτοῦ. πῶς κατήλλαξε, πῶς ἔστρεψε νῶτον μωάβ; ᾐσχύνθη, καὶ ἐγένετο μωάβ εἰς γέλωτα, καὶ ἐγκότημα πᾶσι τοῖς κύκλῳ αὐτῆς. ὅτι οὕτως εἶπε κύριος, ἰδοὺ ὡς ἀετὸς ὁρμήσει, καὶ ἐκπετάσει χεῖρας αὐτοῦ ἐπὶ μωάβ. ἐλήφθη καριώθ, καὶ τὰ ὀχυρώματα συνελήφθη, καὶ ἔσται ἡ καρδία μωάβ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς καρδία γυναικὸς ὠδινούσης. καὶ ἀπολεῖται μωὰβ ἀπὸ ὄχλου, ὅτι ἐπὶ τὸν κύριον ἐμεγαλύνθη. παγὶς καὶ φόβος, καὶ βόθυνος ἐπί σε καθήμενον ὠδὶ μωάβ. ὁ φεύγων ἀπὸ προσώπου τοῦ φόβου, ἐμπεσεῖται εἰς τὸν βόθυνον. καὶ ὁ ἀναβαίνων ἐκ τοῦ βοθύνου, συλληφθήσεται ἐν τῇ παγίδι. ὅτι ἐπάξω ταῦτα ὠδὶ μωάβ, ὡς ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῆς.

Τοῖς υἱοῖς ἀμμὼν οὕτως εἶπε κύριος, μὴ υἱοὶ οὐκ εἰσὶν ἐν ἰσραήλ, ἢ παραληψόμενος οὐκ ἔστιν αὐτοῖς; διατί παρέλαβε μελχὸλ τὴν γαλαάδ, καὶ ὁ λαὸς αὐτῶν ἐν πόλεσιν αὐτῶν ἐνοικεῖ; διὰ τοῦτο ἰδοὺ ἡμέραι

ἔρχονται

perierũt ab homine. Omne caput in omni loco radent, & omnis barba radetur, & omnis manus incidentur, & in omni lumbo ciliciũ, & in omnibus tectis Moab, & in plateis eis omnibus plãgor. Quia contriui Moab, dicit dominus, quasi uas cuius nõ est usus. Quomodo permutauit, quomodo uertit dorsum Moab? dedecore notata est & facta est Moab ludibrio & odio omnibus, qui in circuitu eius. Quia sic dixit dominus, Ecce ut aquila impetum facit, ita ille manus suas extendet ad Moab. Capta est Carioth, & munitiones captæ sunt, & erit cor Moab die illa, sicut cor mulieris parturientis. Tum peribit Moab à turba, quia contra dominum magnificata est. Laqueus, pauor, & fouea super te habitantem Moab, dicit dominus. Qui fugerit præ timore, incidet in foueam, qui conscenderit de fouea, comprehendetur laqueo. Quia inducam hæc super Moab, ut in anno uisitationis eius. Esa.14

Cap.XLIX

Filij Ammon sic dixit dominus, Nulli'ne sunt filij in Israel, aut qui possideat, nemo est eis? Quare accepit Melchol Galaad, populus'q; illius ciuitates huius inhabitat? Propterea ecce dies

uenunt, dicit dominus, & ut audiatur faciam, in Rabbath tumultus belli, & uertentur in inuiũ, & interitũ, & altaria eius in igne succendentur, & assumet Israel principatũ suum. Plora Esebon, quia perijt Gæ. Clamate filiæ Rabath, quia Melchol abibit in migrationẽ, sacerdotes eius, & principes eius simul. Cur exultatis in cãpis Enacim, filia temeritatis, quę cõfidebat in thesauris suis, quę dicebat, Quis ueniet ad me? Ecce ego inijciam in te timorẽ, ait dñs, ab omni circuitu tuo, et dispergemini singuli in faciem uestrã & non erit, qui congreget. Idumęę haec dicit dñs, Nõ est ultra sapientia in Thęmã, perijt consiliũ à prudentibus, abijt sapientia eorũ. Conculcatus est locus eorum, demergite uos ipsi in sessionem habitantes in Dædan, quia dura fecit. adduxi ad eum in tempore, quo uisitaui eum, quoniam uindemiatores uenerunt. Non relinquent tibi reliquias. Quasi fures nocte imponent manus suas, quia ego attraxi Esau, reuelaui abscondita eius. Abscondi non poterunt, perierunt per manum fratris eius, & uicini mei, & non est relinqui pupillum tuum, ut uiuat, &

ἔρχονται, φησὶ κύριος, καὶ ἀκουτιῶ ἐπὶ ῥαββὰθ θόρυβον πολέμου, καὶ ἔσονται εἰς ἄβατον καὶ εἰς ἀπώλειαν, καὶ οἱ βωμοὶ αὐτῆς ἐν πυρὶ κατακαυθήσονται, καὶ παραλήψεται ἰσραὴλ τὴν ἀρχὴν αὐτοῦ. ὀλόλυξον ἐσεβών, ὅτι ὤλετο γαί. κεκράξατε θυγατέρες ῥαβὰθ, περιζώσασθε, ὅτι μελχὸλ βαδιεῖται ἐν ἀποικίᾳ, οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα. τί ἀγαλλιᾶσθε τοῖς πεδίοις ἐνακὶμ θυγάτηρ ἰταμίας, ἡ πεποιθυῖα ἐπὶ θησαυροῖς αὐτῆς, ἡ λέγουσα, τίς εἰσελεύσεται ἐπ' ἐμέ; ἰδοὺ ἐγὼ φέρω φόβον ἐπί σε, εἶπε κύριος, ἀπὸ πάσης τῆς περιοίκου σου, καὶ διασπαρήσεσθε ἕκαστος εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ συνάγων. τῇ ἰδουμαίᾳ τάδε λέγει κύριος, οὐκ ἔστιν ἔτι σοφία ἐν θαιμὰν, ἀπώλετο βουλὴ ἐκ συνετῶν, ᾤχετο σοφία αὐτῶν. ἠπατήθη ὁ τόπος αὐτῶν, βαθύνατε ἑαυτοὺς εἰς κάθισιν οἱ κατοικοῦντες ἐν δαιδὰν, ὅτι δύσκολα ἐποίησεν. ἤγαγον ἐπ' αὐτὸν ἐν χρόνῳ, ᾧ ἐπεσκεψάμην ἐπ' αὐτὸν, ὅτι τρυγηταὶ ἦλθον. οὐ καταλείψουσί σοι κατάλειμμα. ὥσπερ κλέπται ἐν νυκτὶ, ἐπιθήσουσι χεῖρας αὐτῶν. ὅτι ἐγὼ κατέσυρα τὸν ἡσαῦ, ἀνεκάλυψα τὰ κρυπτὰ αὐτῶν. κρυβῆναι οὐ μὴ δύνωνται, ὤλοντο διὰ χεῖρα ἀδελφοῦ αὐτοῦ, καὶ γείτονός μου, καὶ οὐκ ἔστιν ὑπολείπεσθαι ὀρφανόν σου, ἵνα ζήσηται,

καὶ ἐγὼ ζήσομαι, καὶ αἱ χῆραι ἐπ'
ἐμὲ πεποίθασιν. ὅτι τάδε εἶπε κύ-
ριος, οἷς οὐκ ἦν νόμος πιεῖν τὸ πο-
τήριον, ἔπιον. καί συ ἀθῶος μένη οὐ
μὴ ἀθωωθῇς, ὅτι πίνων πίεσαι. ὅτι
κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος,
ὅτι εἰς ἄβατον καὶ εἰς ὀνειδισμὸν,
καὶ εἰς κατάρασιν ἔσῃ ἐν μέσῳ αὐ-
τῆς. καὶ πᾶσαι αἱ πόλεις αὐτῆς ἔσον-
ται ἔρημοι εἰς τὸν αἰῶνα. ἀκοὴν ἤ-
κουσα παρὰ κυρίου, καὶ ἀγγέλους εἰς ἔθ-
νη ἀπέστειλεν, συνάχθητε, καὶ παρα-
γένεσθε εἰς αὐτὴν, ἀνάστητε εἰς πόλε-
μον. μικρὸν ἔδωκά σε ἐν ἔθνεσιν, καὶ
εὐκαταφρόνητον ἐν ἀνθρώποις. ἡ
παιγνία σου ἐνεχείρησέ σοι, ἰταμία
καρδίας σου κατέλυσε τρυμαλιὰς πε-
τρῶν, συνέλαβεν ἰσχὺν βουνοῦ ὑψη-
λοῦ. ὅτι ὕψωσας ὥσπερ ἀετὸς νοσσιὰν
αὐτοῦ, ἐκεῖθεν καθελῶ σε. καὶ ἔσται ἡ
ἰδουμαία εἰς ἄβατον, πᾶς ὁ παρα-
πορευόμενος ἐπ' αὐτὴν ἐκστήσεται,
καὶ συριεῖ ὑπὲρ πάσῃ τῇ πληγῇ αὐτῆς.
ὥσπερ κατεστράφη σόδομα καὶ γό-
μορρα, καὶ αἱ πάροικοι αὐτῆς, εἶπε
κύριος παντοκράτωρ, οὐ μὴ καθίσῃ
ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ κατοική-
σει ἐκεῖ υἱὸς ἀνθρώπου. ἰδοὺ ὥσπερ
λέων ἀναβήσεται ἐκ μέσου τοῦ ἰορδάνου
εἰς τόπον ἐμάθ. ὅτι ταχὺ ἐκδιώξω
αὐτοὺς ἀπ' αὐτῆς, καὶ τοὺς νεανίσκους
ἐπ' αὐτὴν ἐπιστήσατε. ὅτι τίς ὥσπερ
ἐγώ; καὶ τίς ἀντιστήσεταί μοι; καὶ τίς
οὗτος ποιμὴν, ὃς στήσεται κατὰ πρό-
σωπόν

&c ego uiuam, & uiduæ
tuæ in me ſperabũt. Quia
hæc dicit dominus, Ecce
quibus non eſt lex bibere
calicem, biberunt. Et tu
innocens non innocens e-
ris, quia bibens bibes. Ete
nim per memetipſum iura
ui, dicit dominus, in inui-
um te, & opprobrio et ex
ecrationi futurum in me-
dio eius. Et oẽs ciuitates
eius erũt deſertę in ęternũ.
Famã audiui à dño, & nũ
cios in gẽtes miſit. Cõgre
gamini et uenite cõtra eã,
ſurgite in prĉliũ. Ecce par
uum dedi te in gentibus,
et contemptũ hominibus.
Illuſio tua aggreſſa eſt te,
temeritas cordis tui habi-
tauit foramina petrarum,
apprehendit robur collis
excelſi. Nam etſi extule-
ris quaſi aquila nidum tu-
um, inquit dominus, inde
tamẽ detraham te. Atque
uertetur Idumæa in inuiũ,
omnis qui tranſierit per
eam, ſtupebit, & ſibilabit
propter omnem plagã e-
ius. Sicut ſubuerſa eſt So-
doma & Gomorrha, et ui
cinæ eius, ait dñs omnipo
tẽs, ſic nõ ſedebit illic ho-
mo, neq; inhabitabit illic
filius hominis. Ecce ſicut
leo aſcẽdetis de medio Ior
danis in locũ Emath. Nã
cito perſequar eos ab ea,
& iuuenes cõtra eam im-
pellite. Quis eñ ut ego?
Et qs reſiſtet mihi? Et qs
iſte paſtor, qui ſtabit in cõ
ſpectu

speculum meo? Propter hoc audite consilium domini, quod consuluit super Idumæam, & cogitationem eius, quam cogitauit super habitãtes Thæman. Si nõ tollent minimę ex ouib⁹, & deserta erit apud eos habitatio eorum. A` sonitu ruinæ eorum commota est terra, clamor maris nõ auditus est. Ecce sicut aquila aggredietur, & expandet alas super munitiones eius. Eritq; cor fortiũ Idumææ die illa, quasi cor mulieris parturientis. Damasco, pudefacta est Hemath & Arphad. Nam rumorem malũ audierunt, obstupuerũt, irati sunt, qui escere non poterunt. Dissoluta est Damascus, uersa est in fugam, tremor apprehendit eam. Quã ratione non dereliquerunt ciuitatem meã, uillamq; amauerunt. Propterea caden iuuenes in plateis tuis, & omnes uiri bellatores tui cadent die illa, ait dominus. Et succendam ignem in muro Damasci, & deuorabit biuia filij Ader. Terræ Cedar & reginæ aulæ, quam percussit Nabuchodonosor rex Babylonis, sic dixit dominus, Surgite, & ascendite ad Cedar, & percutite filios Cedem, tabernacula eorum, & oues eorum capient sibijpsis, uestimenta & omnia uasa eorum, &

σωπόν μου; διὰ τοῦτο ἀκούσατε βουλὴν κυρίου, ἣν ἐβουλεύσατο ἐπὶ τὴν ἰδουμαίαν, καὶ λογισμὸν αὐτοῦ ὃν ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας θαιμάν. ἐὰν μὴ συμψηφῶσι τὰ ἐλάχιστα τῶν προβάτων, ἐὰν μὴ ἀβατωθῇ ἐπ' αὐτοὺς κατάλυσις αὐτῶν, ὅτι ἀπὸ φωνῆς πτώσεως αὐτῶν ἐσείσθη ἡ γῆ, καὶ κραυγὴ θαλάσσης οὐκ ἠκούσθη. ἰδοὺ ὥσπερ ἀετὸς ἀφεῖται, καὶ ἐκτενεῖ τὰς πτέρυγας αὐτοῦ ἐπ' ὀχυρώματα αὐτῆς, καὶ ἔσται ἡ καρδία τῶν ἰσχυρῶν τῆς ἰδουμαίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς καρδία γυναικὸς ὠδινούσης. τῇ δαμασκῷ, κατῃσχύνθη ἡμάθ, καὶ ἀρφάθ, ὅτι ἤκουσαν ἀκοὴν πονηρὰν, ἐξέστησαν, ἐθυμώθησαν, ἀναπαύσασθαι οὐ μὴ δύνανται. ἐξελύθη δαμασκὸς, ἀπεστράφη εἰς φυγὴν, τρόμος ἐπελάβετο αὐτῆς. πῶς οὐχὶ ἐγκατέλιπον πόλιν ἐμὴν, καὶ κώμην ἠγάπησαν; διὰ τοῦτο πεσοῦνται νεανίσκοι ἐν πλατείαις σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου πεσοῦνται, φησὶ κύριος. καὶ καύσω πῦρ ἐν τείχει δαμασκοῦ, καὶ καταφάγεται ἄμφοδα υἱοῦ ἀδέρ. γῇ κηδὰρ τῇ βασιλίσσῃ τῆς αὐλῆς, ἣν ἐπάταξε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, οὕτως εἶπε κύριος, ἀνάστητε, καὶ ἀνάβητε ἐπὶ κηδὰρ, καὶ πλήσατε τοὺς υἱοὺς κεδέμ. σκηνὰς αὐτῶν, καὶ τὰ πρόβατα αὐτῶν λήψονται ἑαυτοῖς, ἱμάτια καὶ πάντα τὰ σκεύη αὐτῶν,

καὶ

καὶ καμήλους αὐτοῦ λήψονται ἑαυτοῖς. καὶ καλέσατε ἐπ' αὐτοὺς ἀπώλειαν κυκλόθεν. φεύγετε, λίαν ἐμβαθύνατε εἰς κάθισιν, καθήμενοι ἐν τῇ αὐλῇ, ὅτι ἐβουλεύσατο ἐφ' ὑμᾶς βασιλεὺς Βαβυλῶνος βουλὴν, καὶ ἐλογίσατο λογισμόν. ἀνάστηθι καὶ ἀνάβηθι ἐπ' ἔθνος εὐσταθοῦν, καθήμενον εἰς ἀναψυχὴν, οἷς οὐκ εἰσὶ θύραι, οὐ βάλανοι, οὐ μοχλοὶ, μόνοι καταλύουσι. καὶ ἔσονται κάμηλοι αὐτοῦ εἰς προνομὴν, καὶ πλῆθος κτηνῶν αὐτῶν εἰς ἀπώλειαν, καὶ λικμήσω αὐτοὺς παντὶ ἀνέμῳ κεκαρμένους πρὸ προσώπου αὐτῶν. ἐκ παντὸς πέραν αὐτῶν οἴσω τὴν τροπὴν αὐτοῦ, εἶπε κύριος. καὶ ἔσται ἡ αὐλὴ διατριβὴ στρουθῶν, καὶ ἄβατος ἕως αἰῶνος. οὐ μὴ κατοικήσει ἐκεῖ ἄνθρωπος. καὶ οὐ μὴ καθίσῃ ἐκεῖ υἱὸς γηγενοῦς.

Λόγος κυρίου ὃν ἐλάλησεν ἐπὶ Βαβυλῶνα. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι, καὶ ἀκουστὰ ποιήσατε, καὶ μὴ κρύψητε. εἴπατε, ἑάλωκε Βαβυλῶνα, κατῃσχύνθη Βῆλος ὁ ἀπτόητος, ἡ τρυφερὰ παρεδόθη Μαιωδάχ. ὅτι ἀνέβη ἐπ' αὐτὴν ἔθνος ἀπὸ βορρᾶ, οὗτος θήσει τὴν γῆν αὐτῆς εἰς ἀφανισμὸν, καὶ οὐκ ἔσται ὁ κατοικῶν ἐν αὐτῇ ἀπὸ ἀνθρώπου ἕως κτήνους. ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ Ἰσραὴλ αὐτοὶ καὶ οἱ υἱοὶ Ἰούδα ἐπὶ τὸ αὐτὸ βαδίζοντες, καὶ κλαίοντες πορεύονται, τὸν κύριον

& camelos eorum capiet sibi. Et uocate super eos interitum in circuitu. Fugite, ualde profunde habitastis in sessionem sedentes in aula, dicit dominus. Nā consuluit contra uos Nabuchodonosor rex Babylonis consilium, & cogitauit cōtra uos cogitationē. Cōsurge, ascende ad gentem quietam, sedentem in refrigerio, quibus nō sunt portæ, non seræ, non uectes, soli habitāt. Et erunt cameli eorum prædæ, & multitudo pecorum eorū exitio, & uentilabo eos omni uento, attonsos ante faciem eorū ex omni parte afferam interitum eis, ait dominus. Et erit aula cōmoratio struthionū, & inuia usq; in æternum, nō sedebit ibi homo, et nō habitabit ibi filius eius, qui è terra natus est.

Cap. L.

Sermo domini, quē habuit de Babylone. Annūciate in gentibus, & nota facite, nec abscōdatis. Dicite, Cepit Babylonē, pudefactus est Belus ille imperterritus, mollis tradita est Merodach. Ascēdit enī cōtra eā gens ab Aquilone. Hic rediget terrā eius in solitudinem, & nō erit habitans in eā ab homine usque ad iumentum. Diebus illis, & tempore illo uenient filij Israel, ipsi & filij Iuda, unà ambulantes, & flentes ibunt, domi-

dñm deum suũ quærentes, usq; ad Sion interrogabũt uiam. Huc enim uultũ suũ dabunt, & uenient, & fugient ad dñm deũ suũ. Testamentũ enim æternũ nõ obliuioni dabitur. Oues quæ perierunt, factus est populus meus, pastores eorũ expulerunt eos, in montibus errare fecerunt eos, de monte in collem abierũt, obliti sunt cubilis sui. Pascua iustitiæ ei, qui congregauit patres eorũ. Abalienamini de medio Babylonis, & de terra Chaldæorum, & egredimini, & estote quasi dracones ante faciem ouium. Quoniam ecce ego suscito super Babylonẽ congregationes gentiũ de terra Aquilonis, & stabũt in acie contra eã. Inde capietẽ, quasi iaculũ pugnatoris prudentis, nõ reuerteẽ uacuũ. Et erit Chaldæa prædæ, oẽs uastãtes eam replebuntur, quoniam exultatis et gloriamini diripientes hæreditatem meam. Nam lasciuitis sicut uituli in herba, et cornu petijstis sicut tauri. Ignominia affecta est mater uestra uehementer, erubuit ea, quæ peperit uos, mater ad bona, nouissima gentium, deserta, ab ira dñi, non habitabitur, et redigetur in uastitatẽ tota. Et oĩs transiens Babylonem, seuero uultu erit, & sibilabunt ad omnem

plagam

κύριον θεὸν αὐτῶν ζητοῦντες, ἕως σιὼν ἐρωτήσουσι τὴν ὁδόν. ὧδε γὰρ τὸ πρόσωπον αὐτῶν δώσουσι, καὶ ἥξουσι, καὶ καταφεύξονται πρὸς κύριον τὸν θεὸν αὐτῶν. διαθήκη γὰρ αἰώνιος οὐκ ἐπιλησθήσεται. πρόβατα ἀπολωλότα ἐγενήθη ὁ λαός μου, οἱ ποιμένες αὐτῶν ἐξῶσαν αὐτοὺς, ἐπὶ τὰ ὄρη ἀπεπλάνησαν αὐτοὺς, ἐξ ὄρους ἐπὶ βουνὸν ᾤχοντο, ἐπελάθοντο κοίτης αὐτῶν. νομὴ δικαιοσύνης τῷ συναγαγόντι τοὺς πατέρας αὐτῶν. ἀλλοτριώθητε ἐκ μέσου βαβυλῶνος, καὶ ἀπὸ γῆς χαλδαίων, καὶ ἐξέλθετε, καὶ γένεσθε ὥσπερ δράκοντες κατὰ πρόσωπον προβάτων. ὅτι ἰδοὺ ἐγὼ ἐγείρω ἐπὶ βαβυλῶνα συναγωγὰς ἐθνῶν, ἐκ γῆς βορρᾶ, καὶ παρατάξονται αὐτῇ. ἐκεῖθεν ἁλώσονται, ὡς βολὶς μαχητοῦ συνετοῦ, οὐκ ἐπιστρέψει κενή. καὶ ἔσται ἡ χαλδαία εἰς προνομὴν, πάντες οἱ προνομεύοντες αὐτὴν ἐμπλησθήσονται, ὅτι ηὐφραίνεσθε, καὶ κατεκαυχᾶσθε, διαρπάζοντες τὴν κληρονομίαν μου, διότι ἐσκιρτήσατε, ὡς βοίδια ἐν βοτάνῃ, καὶ ἐκερατίζετε ὡς ταῦροι. ᾐσχύνθη ἡ μήτηρ ὑμῶν σφόδρα, ἐνετράπη ἡ τεκοῦσα ὑμᾶς μήτηρ ἐπ᾽ ἀγαθὰ, ἐσχάτη ἐθνῶν, ἔρημος ἀπὸ ὀργῆς κυρίου οὐ κατοικηθήσεται, καὶ ἔσται εἰς ἀφανισμὸν πᾶσα, καὶ πᾶς ὁ διοδεύων διὰ βαβυλῶνος σκυθρωπάσει, καὶ συριοῦσιν ἐπὶ πᾶσαν τὴν

πληγὴν

πληγὴν αὐτῆς. παρατάξασθε ἐπὶ βαβυλῶνα κύκλῳ. πάντες τείνοντες τόξον, τοξεύσατε ἐπ' αὐτήν, μὴ φείσησθε ἐπὶ τοῖς τοξεύμασιν ὑμῶν τῶν ἔμπροσθεν. καὶ κατακρατήσατε αὐτήν. παρελύθησαν αἱ χεῖρες αὐτῆς, ἔπεσαν αἱ ἐπάλξεις αὐτῆς, καὶ κατεσκάφη τὸ τεῖχος αὐτῆς. ὅτι ἐκδίκησις παρὰ θεοῦ ἐστιν. ἐκδικεῖτε ἐπ' αὐτήν, καθὼς ἐποίησε ποιήσατε αὐτῇ, ἐξολοθρεύσατε σπέρμα ἐκ βαβυλῶνος. πάντες οἱ εὑρίσκοντες αὐτούς, κατανήλισκον αὐτούς. οἱ ἐχθροὶ αὐτῶν εἶπον, οὐ μὴ ἀνῶμεν αὐτούς, ἀνθ' ὧν ἥμαρτον τῷ κυρίῳ. κατέχοντες δρέπανον ἐν καιρῷ θερισμοῦ ἀπὸ προσώπου μαχαίρας ἑλληνικῆς, ἕκαστος εἰς τὸν λαὸν αὐτοῦ ἐπιστρέψουσι, καὶ ἕκαστος εἰς τὴν γῆν αὐτῶν φεύξονται. πρόβατον πλανώμενον ἰσραήλ, λέοντες ἐξῶσαν αὐτόν. ὁ πρῶτος ἔφαγεν αὐτὸν βασιλεὺς ἀσσούρ, καὶ οὗτος ὕστερον τὰ ὀστᾶ αὐτοῦ βασιλεὺς βαβυλῶνος. διὰ τοῦτο τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν βασιλέα βαβυλῶνος, καὶ ἐπὶ τὴν γῆν αὐτοῦ, καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα ἀσσούρ, καὶ ἀποκαταστήσω τὸν ἰσραὴλ εἰς τὴν νομὴν αὐτοῦ, καὶ νεμήσεται ἐν τῷ καρμήλῳ, καὶ ἐν ὄρει ἐφραίμ, καὶ ἐν τῷ γαλαάδ, καὶ πλησθήσεται ἡ ψυχὴ αὐτοῦ. ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, φησὶ κύριος, ζητήσουσι

τὴν

plagam eius. Instruite aciem contra Babylonem in circuitu. Omnes tendentes arcum tela emittite in eã, ne parcatis iaculis uestris, quæ corãm sunt, & uincite eam. Dissolutæ sunt manus eius, ceciderunt propugnacula eius, destructus est murus eius, quoniam ultio à deo est. Vlciscimini eam, sicut fecit, facite illi, dispergite semen ex Babylone, omnes qui inuenerũt eos, cõsumpserunt eos. Inimici eorum dixerũt, nequaquam dimittemus eos, q̃d peccarint domino. Tenentes falcem in tempore messis à facie gladij Græci, unusquisque in populũ suum reuertetur, & unusquisque ad terram suam fugiet. Ouis errans Israel, leones eiecerunt eum. Primus comedit eum rex Assur, alter deinde ossa eius rex Babylonis. Propterea hæc dicit dominus, Ecce ego ulciscor in regẽ Babylonis, & in teram eius, sicut ultus sum in regem Assur, & restituam Israel in pascua sua, & pascetur in Carmelo, & in monte Ephraim, & in Galaad, & replebitur anima eius. Diebus illis, & tempore illo, ait dominus, quærent

iniquitatem Israel, at nulla erit, & peccata Iuda, at nulla inuenientur. Quoniam propitius ero relictis super terram. Amarè ascende super eam, & ad habitantes in ea. Vlciscere gladio, & uasta, dicit dominus, & fac ordine omnia quæcunque præcipio tibi. Vox belli, & contritio magna in terra Chaldæorũ. Quomodo confractus est & cõtritus est malleus uniuersæ terræ? Quomodo redacta est ad uastitatem Babylon in gentibus? Insidiabũtur tibi, nec cognosces, ut & capieris Babylon. Inuẽta es, et capta es, quia domino restitisti. Aperuit domin[us] thesaurum suum, & protulit uasa iræ suæ, quia opus domino deo in terra Chaldæorũ, quoniam uenerũt tempora eius. Aperite apothecas eius, scrutamini eam quasi speluncam, & exterminate eam. Non sit eius reliquum, exiccate omnes fructus eius, & descendant in occisionem. Væ eis, quia uenit dies eorum, & tempus ultionis eorum. Vox fugientiũ, et eorũ qui saluant de terra Babylonis, ut annũciẽt in Sion ultionẽ a dño deo nostro. Annũciate sup Babylonẽ q̃ plurimis arcũ tendentibus, castrametamini cõtra eam in circuitu. Nõ sit

τὴν ἀδικίαν ἰσραὴλ, καὶ οὐχ ὑπάρξει, καὶ τὰς ἁμαρτίας ἰούδα, καὶ οὐ μὴ εὑρεθῶσιν, ὅτι ἵλεως ἔσομαι τοῖς καταλελειμμένοις ἐπὶ τῆς γῆς, λέγει κύριος. πικρῶς ἐπίβηθι ἐπ᾽ αὐτὴν, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐπ᾽ αὐτήν. ἐκδίκησον μαχαίρᾳ, καὶ ἀφάνισον, λέγει κύριος, καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί σοι. φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ χαλδαίων. πῶς συνεκλάσθη καὶ συνετρίβη ἡ σφυρὰ πάσης τῆς γῆς; πῶς ἐγενήθη εἰς ἀφανισμὸν βαβυλὼν ἐν ἔθνεσιν; ἐπιθήσονταί σοι, καὶ οὐ γνώσῃ, ὡς καὶ ἁλώσῃ βαβυλών. εὑρέθης, καὶ ἐλήφθης, ὅτι τῷ κυρίῳ ἀντέστης. ἤνοιξε κύριος τὸν θησαυρὸν αὐτοῦ, καὶ ἐξήνεγκε τὰ σκεύη ὀργῆς αὐτοῦ, ὅτι ἔργον τῷ κυρίῳ θεῷ ἐν γῇ χαλδαίων, ὅτι ἐληλύθασιν οἱ καιροὶ αὐτῆς. ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς, ἐρευνήσατε αὐτὴν ὡς σπήλαιον, καὶ ἐξολοθρεύσατε αὐτήν. μὴ γενέσθω αὐτῆς κατάλειμμα, ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρποὺς, καὶ καταβήτωσαν εἰς σφαγήν. οὐαὶ αὐτοῖς, ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν, καὶ καιρὸς ἐκδικήσεως αὐτῶν. φωνὴ φευγόντων, καὶ ἀνασωζομένων ἐκ γῆς βαβυλῶνος, τοῦ ἀναγγεῖλαι ἐν σιὼν τὴν ἐκδίκησιν παρὰ κυρίου θεοῦ ἡμῶν. παραγγείλατε ἐπὶ βαβυλῶνα πολλοῖς παντὶ ἐντείνοντι τόξον, παρεμβάλλετε ἐπ᾽ αὐτὴν κυκλόθεν. μὴ

ἔστω

ἔσω αὐτῆς ἀνασωζόμενος, ἀνταπόδοτε αὐτῇ κατὰ τὰ ἔργα αὐτῆς. καὶ τὰ πάντα ὅσα ἐποίησε, ποιήσατε αὐτῇ, ὅτι πρὸς κύριον ἀντέστη θεὸν ἅγιον τοῦ ἰσραήλ. διὰ τοῦτο πεσοῦνται οἱ νεανίσκοι αὐτῆς ἐν ταῖς πλατείαις αὐτῆς, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ αὐτῆς ῥιφήσονται, εἶπε κύριος. ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν, λέγει κύριος. ὅτι ἥκει ἡ ἡμέρα σου, καὶ ὁ καιρὸς ἐκδικήσεώς σου, καὶ ἀσθενήσει ἡ ὕβρις σου, καὶ πεσεῖται, καὶ οὐδεὶς ἔσται ὁ ἀνιστῶν αὐτήν. καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς. Τάδε λέγει κύριος τῶν δυνάμεων, καταδεδυνάστευνται οἱ υἱοὶ ἰσραὴλ, καὶ οἱ υἱοὶ ἰούδα, ἅμα πάντες οἱ αἰχμαλωτεύσαντες αὐτοὺς, καὶ ἐδυνάστευσαν αὐτοὺς, ὅτι οὐκ ἠθέλησαν ἐξαποστεῖλαι αὐτούς. καὶ ὁ λυτρούμενος αὐτοὺς ἰσχυρὸς, κύριος παντοκράτωρ ὄνομα αὐτῷ. κρίσιν κρινεῖ πρὸς τοὺς ἀντιδίκους αὐτοῦ, ὅπως ἐξάρῃ τὴν γῆν. καὶ παροξυνεῖ τοῖς κατοικοῦσι βαβυλῶνα, μάχαιραν ἐπὶ τοὺς χαλδαίους, καὶ ἐπὶ τοὺς κατοικοῦντας βαβυλῶνα, καὶ ἐπὶ τοὺς μεγιστᾶνας αὐτῆς, καὶ ἐπὶ τοὺς συνετοὺς αὐτῆς. μάχαιρα ἐπὶ τοὺς μαχητὰς αὐτῆς, καὶ παραλυθήσονται. μάχαιρα ἐπὶ τοὺς ἵππους αὐτῶν, καὶ ἐπὶ τὰ ἅρματα αὐτῶν. μάχαιρα ἐπὶ τοὺς μαχητὰς αὐτῶν, καὶ ἐπὶ τὸν σύμμικτον τὸν ἐν μέσῳ αὐτῆς, καὶ ἔσονται ὡσεὶ γυναῖκες.

sit in ea saluatus, reddite ei secundum opera sua. secundum omnia quæcunque fecit, facite illi, quia contra dominũ restitit deum sanctum Israel. Quocirca cadent iuuenes eius in plateis eius, et omnes uiri bellatores eius proijcientur, dicit dominus. Ecce ego ad te superbiam, dicit dominus, quia uenit dies tuus, & tempus ultionis tuę, & infirmabitur superbia tua, & cadet, & non erit suscitans eam. Et incendam ignem in sylua eius. Hæc dicit dominus exercituum, Vim passi sunt filij Israel et filij Iuda, quot quot ad seruitutem adduxerunt eos, ui tenuerunt, quandoquidem noluerunt dimittere eos. Verũ is, qui redemit eos, fortis est, Dominus omnipotẽs, nomen ei. Iudicium iudicabit contra aduersarios eius, ut liberet terram, & commoueat eos qui habitant Babylonem. Gladius ad Chaldæos, dicit dominus, & ad habitantes Babylonem, & ad optimates eius, & ad sapientes eius. Gladius ad pugnatores eius, & dissoluentur. Gladius ad equos eorum, & ad currus eorum, & ad pugnatores eorum & ad uulgus quod est in medio eius, & erunt tanquam fœminæ,

næ. Gladius ad thesauros eius, ut diripiantur. Aquæ eius confisus est, & pudefient, quia terra sculptiliũ. et in insulis gloriabantur, propterea habitabũt phãtasmata in insulis, & habitabunt in illa filiæ Sirenũ. Non habitabitur ultra in sempiternũ. Sicut subuertit deus Sodomam & Gomorrham, & uicinas eis, ait dominus, nõ habitabit illic homo, & non incolet illic filius hominis. Ecce populus uenit ab Aquilone, & gens magna, & reges multi consurgent ab extremo terræ, arcum & iaculum habentes, crudelis est, igitur nullius miserebitur. Vox eorum quasi mare sonabit, super equos equitabunt, parati quasi ignis ad præliũ, contra te, filia Babylonis. Audiuit rex Babylonis famã eorum, & dissolutæ sunt manus eius. Afflictiones obtinuerunt eos, dolores quasi parturientis. Ecce quasi leo ascendet à Iordane in Gaimath. Quia citò eijciam eos ab illa, & omnem iuuenem contra eam excitabo. Quis enim ut ego? & quis resistet mihi? & quis iste pastor, qui stabit contra faciem meam? Quamobrem audite cõsiliũ domini, quod cõsuluit

in

κόν. μάχαιρα ἐπὶ τοὺς θησαυροὺς αὐτῆς, καὶ διασκορπισθήσονται. ἐπὶ τῷ ὕδατι αὐτῆς ᾧ ἐπεποίθει, καὶ καταισχυνθήσονται, ὅτι γῆ τῶν γλυπτῶν ἐστι. καὶ ἐν ταῖς νήσοις κατεκαυχῶντο, διὰ τοῦτο κατοικήσουσιν ἰνδάλματα ἐν ταῖς νήσοις, καὶ κατοικήσουσιν ἐν αὐτῇ θυγατέρες σειρήνων. οὐ μὴ κατοικηθῇ οὐκέτι εἰς τὸν αἰῶνα. καθὼς κατέστρεψεν ὁ θεὸς σόδομα καὶ γόμοῤῥα, καὶ τὰς ὁμοροῦσας αὐταῖς, εἶπε κύριος, οὐ μὴ κατοικήσει ἐκεῖ ἄνθρωπος, καὶ οὐ μὴ παροικήσει ἐκεῖ υἱὸς ἀνθρώπου. ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βοῤῥᾶ, καὶ ἔθνος μέγα, καὶ βασιλεῖς πολλοὶ ἐξεγερθήσονται ἀπ᾽ ἐσχάτου τῆς γῆς, τόξον καὶ ἐγχειρίδιον ἔχοντες. ἰταμός ἐστι, καὶ οὐ μὴ ἐλεήσῃ. ἡ φωνὴ αὐτοῦ ὡς θάλασσα ἠχήσει, ἐφ᾽ ἵπποις ἱππάσονται παρεσκευασμένοι, ὥσπερ πῦρ, εἰς πόλεμον πρός σε θύγατερ βαβυλῶνος. ἤκουσε βασιλεὺς βαβυλῶνος τὴν ἀκοὴν αὐτῶν, καὶ παρελύθησαν αἱ χεῖρες αὐτοῦ. θλίψις κατεκράτησεν αὐτοῦ, ὠδῖνες ὡς τικτούσης. ἰδοὺ ὥσπερ λέων ἀναβήσεται ἀπὸ τοῦ ἰορδάνου εἰς γαιμάθ. ὅτι ταχέως ἐκδιώξω αὐτοὺς ἀπ᾽ αὐτῆς, καὶ πάντα νεανίσκον ἐπ᾽ αὐτὴν ἐπιστήσω. ὅτι τίς ὥσπερ ἐγώ; καὶ τίς ἀντιστήσεταί μοι; καὶ τίς οὗτος ποιμὴν ὃς στήσεται κατὰ πρόσωπόν μου; διὰ τοῦτο ἀκούσατε τὴν βουλὴν κυρίου ἣν βεβούλευται

ἐπὶ

ἐπὶ Βαβυλῶνα, καὶ λογισμοὺς αὐτοῦ οὓς ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους. ἐὰν μὴ διαφθαρῇ τὰ ἀρνία τῶν προβάτων αὐτῶν, ἐὰν μὴ ἀφανισθῇ νομὴ ἀπ᾽ αὐτῶν. ὅτι ἀπὸ φωνῆς ἁλώσεως Βαβυλῶνος σεισθήσεται ἡ γῆ, καὶ κραυγὴ ἐν ἔθνεσιν ἀκουσθήσεται.

Τάδε λέγει κύριος, ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ Βαβυλῶνα, καὶ ἐπὶ τοὺς κατοικοῦντας Χαλδαίους ἄνεμον, καύσωνα διαφθείροντα. καὶ ἐξαποστελῶ εἰς Βαβυλῶνα ὑβριστάς, καὶ καθυβρίσουσιν αὐτὴν, καὶ λυμανοῦνται τὴν γῆν αὐτῆς. οὐαὶ ἐπὶ Βαβυλῶνα κυκλόθεν ἐν ἡμέρᾳ κακώσεως αὐτῆς. ἐπ᾽ αὐτὴν τεινέτω ὁ τείνων τὸ τόξον αὐτοῦ, καὶ ἐπ᾽ αὐτὴν περιτιθέσθω ἃ ἐστιν ὅπλα αὐτῷ. καὶ μὴ φείσησθε ἐπὶ τοὺς νεανίσκους αὐτῆς, καὶ ἀφανίσατε πᾶσαν τὴν δύναμιν αὐτῆς. καὶ πεσοῦνται τραυματίαι ἐν γῇ Χαλδαίων, καὶ κατακεκεντημένοι ἔξωθεν αὐτῆς, διότι οὐκ ἐχήρευσαν Ἰσραὴλ καὶ Ἰούδας ἀπὸ κυρίου θεοῦ αὐτῶν, ἀπὸ κυρίου παντοκράτορος, ὅτι ἡ γῆ αὐτῶν ἐπλήσθη ἀδικίας ἀπὸ τῶν ἁγίων Ἰσραήλ. Φεύγετε ἐκ μέσου Βαβυλῶνος, καὶ ἀνασῴζετε ἕκαστος τὴν ψυχὴν αὐτοῦ. καὶ μὴ ἀπορριφῆτε ἐν τῇ ἀδικίᾳ αὐτῆς, ὅτι καιρὸς ἐκδικήσεως αὐτῆς ἐστι παρὰ κυρίου, ἀνταπόδομα αὐτὸς ἀνταποδίδωσιν αὐτῇ. ποτήριον χρυσοῦν Βαβυλὼν ἐν

χειρὶ

in Babylonem, & cogitationes eius, quas excogitauit contra habitantes terram Chaldæorum. Corrumpentur agni ouium eorum, uastabitur locus pascuus eorum. Nam uoce captionis Babylonis cõmouebitur terra, & clamor eius in gentibus audietur.

Cap. LI. Hæc dicit dominus, Ecce ego suscitabo super Babylonẽ, & super habitantes Chaldæos uentũ, & ęstũ corrumpentẽ, & mittã in Babylonem superbos, & iniuria afficient eam, & deuastabunt terram eius. Væ Babyloni in circuitu die afflictionis eius, super eam extendat extendens arcum suum, & contra eam se instruat is, cui sunt arma. Ne parcatis iuuenibus eius, & demolimini omnem potentiã eius. Et cadent uulnerati in terra Chaldæorum, & confossi extra eam. Quare uidua non est effecta Israel nec Iudas à deo suo à domino omnipotẽte, etsi terra repleta sit iniquitate à sanctis Israel. Fugite de medio Babylonis, & liberet unusquisque animam suam. Ne proijciamini in iniquitate eius, quia tempus ultiõis eius est à dño, ipse eñ gratiã referet ei. Poculũ aureũ Babylõ in

manu

manu domini, inebrians omnem terram. De uino eius biberunt gentes, ideo commotæ sunt, & subitò cecidit Babylon, & contrita est. Deplorate eã, adhibete resinam corruptioni eius, ut sanetur. Curauimus Babylonem, at non est sanata. Derelinquamus eam, & eat quisq; in terram suam, quia appropinquauit ad cœlũ iudicium eius, elatum est usq; ad astra. Protulit dominus iudicium eius. Venite & annunciemus in Sion opera domini dei nostri, parate arcus, implete pharetras. Suscitauit dominus spiritum regis Medorum, quia contra Babylonem ira eius, ut perdat eã, quandoquidem ultio à domino est, ultio populi eius.
Amos 9 In muris Babylonis extollite signum, instate cũ pharetris, excitate custodes, parate arma. Nam quod egressus est, id faciet dominus, quæcunq; locutus est super habitantes Babylonem, habitãtes apud aquas multas, et apud multitudinem thesaurorũ suorum. Venit finis tuus uere in uiscera tua, quia iurauit dominus per brachium suum, expleturũ te hominibus quasi locustis, & loquentur de te descendentes. Dñs qui terram fecit robore suo, q parauit terrarũ orbẽ sapientia sua, in intel-

χειρὶ κυρίου, μεθύσκον πᾶσαν τὴν γῆν. ἀπὸ τοῦ οἴνου αὐτῆς καὶ ἐπίοσαν ἔθνη. διὰ τοῦτο ἐσαλεύθησαν, καὶ ἄφνω ἔπεσε Βαβυλὼν, καὶ συνετρίβη. θρηνεῖτε αὐτὴν, λάβετε ῥητίνην τῇ διαφθορᾷ αὐτῆς, ὅπως ἰαθήσεται. ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη. ἐγκαταλίπωμεν αὐτὴν, καὶ ἀπέλθωμεν ἕκαστος εἰς τὴν γῆν αὐτοῦ, ὅτι ἤγγισεν εἰς οὐρανὸν τὸ κρίμα αὐτῆς, ἐξῆρεν ἕως τῶν ἄστρων. ἐξήνεγκε κύριος τὸ κρίμα αὐτοῦ. δεῦτε καὶ ἀναγγείλωμεν εἰς Σιὼν τὰ ἔργα κυρίου τοῦ θεοῦ ἡμῶν, παρασκευάζετε τὰ τοξεύματα, πληροῦτε τὰς φαρέτρας. ἤγειρε κύριος τὸ πνεῦμα βασιλέως Μήδων, ὅτι εἰς Βαβυλῶνα ἡ ὀργὴ αὐτοῦ τοῦ ἐξολοθρεῦσαι αὐτὴν, ὅτι ἐκδίκησις κυρίου ἐστὶν, ἐκδίκησις λαοῦ αὐτοῦ ἐστιν. ἐπὶ τειχέων Βαβυλῶνος ἄρατε σημεῖον, ἐπιστήσατε φαρέτρας, ἐγείρατε φύλακας, ἑτοιμάσατε ὅπλα, ὅτι ἐνεχείρησε, καὶ ποιήσει κύριος ἃ ἐλάλησεν ἐπὶ τοὺς κατοικοῦντας Βαβυλῶνα, κατασκηνοῦντας ἐφ᾽ ὕδασι πολλοῖς, καὶ ἐπὶ πλήθει θησαυρῶν αὐτῆς. ἥκει τὸ πέρας σου ἀληθῶς εἰς τὰ σπλάγχνα σου, ὅτι ὤμοσε κύριος κατὰ τοῦ βραχίονος αὐτοῦ. διότι πληρώσω σε ἀνθρώπων ὡσεὶ ἀκρίδων, καὶ φθέγξονται ἐπὶ σὲ οἱ καταβαίνοντες. κύριος ποιῶν γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ἑτοιμάζων οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, ἐν τῇ

συνέσει

φρονήσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανόν, εἰς φωνὴν ἔθετο πλῆθος ἤχους ὕδατος ἐν οὐρανῷ, καὶ ἀνήγαγε νεφέλας ἀπ' ἐσχάτου τῆς γῆς. ἀστραπὰς εἰς ὑετὸν ἐποίησε, καὶ ἐξήγαγε φῶς ἐκ τῶν θησαυρῶν αὐτοῦ. ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως. κατῃσχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν γλυπτῶν αὐτοῦ, ὅτι ψευδῆ ἐχώνευσαν, καὶ οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς, μάταιά ἐστιν ἔργα μεμωκημένα, ἐν καιρῷ ἐπισκέψεως αὐτῶν ἀπολοῦνται. οὐ τοιαύτη μερὶς τοῦ ἰακώβ, ὅτι ὁ πλάσας τὰ πάντα, αὐτός ἐστι κληρονομία αὐτοῦ, κύριος, ὄνομα αὐτῷ. διασκορπίζεις σύ μοι σκεύη πολέμου, καὶ διασκορπιῶ ἐν σοὶ ἔθνη. καὶ ἐξαρῶ ἐκ σοῦ βασιλεῖς, καὶ διασκορπιῶ ἐν σοὶ ἵππον καὶ ἀναβάτην αὐτοῦ. καὶ διασκορπιῶ ἐν σοὶ ἅρματα καὶ ἀναβάτας αὐτοῦ. καὶ διασκορπιῶ ἐν σοὶ νεανίσκον καὶ παρθένον. καὶ διασκορπιῶ ἐν σοὶ ποιμένας καὶ τὸ ποίμνιον αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ γεωργὸν καὶ τὸ γεώργιον αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ ἡγεμόνας καὶ στρατηγούς σου. καὶ ἀνταποδώσω τῇ βαβυλῶνι, καὶ πᾶσι τοῖς κατοικοῦσι χαλδαίοις, καὶ πάσας τὰς κακίας αὐτῶν, ἃς ἐποίησαν ἐπὶ σιών, κατ' ὀφθαλμοὺς ὑμῶν, λέγει κύριος, ἰδοὺ ἐγὼ πρός σε τὸ ὄρος τὸ διεφθαρμένον τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπί σε, καὶ κατα-

κυλί-

intelligentia sua extendit coelum. Verbo adduxit copiam sonantium aquarū in coelo, & coegit nubes ab extremo terræ, fulgura in pluuiam fecit, & eduxit lumen de thesauris suis. Stultus factus est omnis homo à scientia. pudefactus est omnis aurifex ab sculptilibus suis, quia mendacia conflauerunt, non est spiritus in eis, uana sunt opera, risu digna, eo tempore, quo inuisentur, peribunt. Non est eiusmodi pars Iacob. Nam is, qui fecit omnia, ipse est hæreditas eius Dominus, nomē illi. Dispergis tu mihi uasa belli, & dispergā per te gentes. Et tollam ex te reges, & dispergam in te equum & ascensorem eius, & dispergam in te currus & ascensores eorum, & dispergam in te iuuenem & uirginem, & dispergam in te pastores & gregem, & dispergam in te agricolam & agriculturam eius, & dispergam in te duces & imperatores tuos, & retribuam Babyloni, & habitātibus Chaldæis omnia mala, quæ fecerunt in Sion, in oculis uestris, dicit dominus. Ecce ego ad te, mons corrupte, corrumpens omnem terram, & extendam manum in te, & deuoluā

te

te à petris, & reddam te quasi montem combustũ, & non tollent de te lapidem in angulum, & lapidem in fundamentũ, quia ad uastitatẽ æternam redigeris, ait dominus. Erigite signum in terra, canite inter gentes tuba, destinate contra eam gentes, annunciate contra illam regnis Ararat à me, et Achanazeis. Cõstituite contra eã iaculationes, ducite cõtra eam equorum, quasi locustarum multitudinẽ, traducite contra eam gentes, regem Medorum, & omnis terræ, duces eius, & omnes magistratus eius. Commota est terra, et laborauit, quia surrexit cõtra Babylonem cogitatio domini, ut Babylonis terræ uastitatem inferat, ne ea habitetur. Defecit pugnator Babylonis à prælio, sedebũt illic in munitione, confracta est potentia eorũ, facti sunt quasi mulieres. Incensa sunt tabernacula eius, contriti sunt uectes eius, persequẽs obuiam persequenti ueniet, & annuncians obuiam annuncianti, ut annunciet regi Babylonis, captã esse ciuitatem eius, ab extremo transituũ eius captos esse, & paludes eius incensas esse igne, et uiros eius bellatores egredi. Quia

hæc

κυλίσω σε ἀπὸ τῶν πετρῶν, καὶ δώσω σε ὡς ὄρος ἐμπεπυρισμένον, καὶ οὐ μὴ λάβωσιν ἀπὸ σοῦ λίθον εἰς γωνίαν, καὶ λίθον εἰς θεμέλιον, ὅτι εἰς ἀφανισμὸν ἔσῃ εἰς τὸν αἰῶνα, λέγει κύριος. Ἄρατε σημεῖον ἐπὶ τῆς γῆς, σαλπίσατε ἐν ἔθνεσι σάλπιγγι, ἁγιάσατε ἐπ᾽ αὐτὴν ἔθνη, παραγγείλατε ἐπ᾽ αὐτὴν βασιλείας Ἀραρὰτ παρ᾽ ἐμοῦ, καὶ τοῖς Ἀχαναζαίοις. ἐπιστήσατε ἐπ᾽ αὐτὴν βελοστάσεις, ἀναβιβάσατε ἐπ᾽ αὐτὴν ἵππον, ὡς ἀκρίδων πλῆθος, ἀναβιβάσατε ἐπ᾽ αὐτὴν ἔθνη, τὸν βασιλέα τῶν Μήδων, καὶ πάσης τῆς γῆς, τοὺς ἡγουμένους αὐτοῦ, καὶ πάντας τοὺς στρατηγοὺς αὐτοῦ. ἐσείσθη ἡ γῆ, καὶ ἐπόνεσε, διότι ἐξανέστη ἐπὶ Βαβυλῶνα λογισμὸς κυρίου, τοῦ θεῖναι τὴν γῆν Βαβυλῶνος εἰς ἀφανισμόν, καὶ μὴ κατοικεῖσθαι αὐτήν. ἐξέλιπε μαχητὴς Βαβυλῶνος τοῦ πολεμεῖν, καθήσονται ἐκεῖ ἐν περιοχῇ, ἐθραύσθη ἡ δυναστεία αὐτῶν, ἐγενήθησαν ὡς αἱ γυναῖκες. ἐνεπυρίσθη τὰ σκηνώματα αὐτῆς, συνετρίβησαν οἱ μοχλοὶ αὐτῆς. διώκων εἰς ἀπάντησιν διώκοντος διώξεται, καὶ ἀναγγέλλων εἰς ἀπάντησιν ἀναγγέλλοντος, τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ Βαβυλῶνος, ὅτι ἑάλωκεν ἡ πόλις αὐτοῦ, ἐπ᾽ ἐσχάτου τῶν διαβάσεων αὐτοῦ ἐλήφθησαν, καὶ τὰ συστήματα αὐτοῦ ἐνέπρησαν ἐν πυρί, καὶ ἄνδρες αὐτοῦ οἱ πολεμισταὶ ἐξέρχονται. διότι

τάδε

τάδε λέγει κύριος, οἶκον βασιλέως
βαβυλῶνος, ὡς ἅλω ὥριμος ἀλοη-
θήσεται. ἔτι μικρὸν, καὶ ἥξει ὁ ἀμη-
τὸς αὐτῆς, κατέφαγέ με, ἐμερίσα-
τό με, κατέλαβέ με σκότος λεπτὸν,
ναβουχοδονόσορ βασιλεὺς βαβυλῶ-
νος κατέπιέ με, ὡς δράκων ἔπλη-
σε τὴν κοιλίαν αὐτῆς ἀπὸ τῆς τρυφῆς
μου, ἐξῶσαί με οἱ μόχθοι μου, καὶ αἱ
ταλαιπωρίαι μου εἰς βαβυλῶνα, ἐρεῖ
κατοικοῦσα σιών. καὶ τὸ αἷμά μου ἐπὶ
τοὺς κατοικοῦντας χαλδαίους, ἐρεῖ
ἱερουσαλήμ. διὰ τοῦτο τάδε λέγει
κύριος, ἰδοὺ ἐγὼ κρινῶ τὴν ἀντιδι-
κόν σου, καὶ ἐκδικήσω τὴν ἐκδική-
σίν σου, καὶ ἐρημώσω τὴν θάλασσαν
αὐτῆς, καὶ ξηρανῶ τὴν πηγὴν αὐτῆς,
καὶ ἔσται βαβυλὼν εἰς ἀφανισμὸν, καὶ
οὐ κατοικηθήσεται, ὅτι ὡς λέοντες
ἐξηγέρθησαν ἅμα, καὶ ὡς σκύμνοι
λεόντων ἐν τῇ θερμασίᾳ αὐτῶν, δώ-
σω πότημα αὐτοῖς, καὶ μεθύσω αὐ-
τοὺς, ὅπως καρωθῶσι, καὶ ὑπνώσωσιν
ὕπνον αἰώνιον, καὶ οὐ μὴ ἐξεγερθῶσι,
λέγει κύριος. καὶ καταβιβάσω αὐ-
τοὺς ὡς ἄρνας εἰς σφαγὴν, καὶ ὡς
κριοὺς μετ' ἐρίφων. πῶς ἑάλω καὶ ἐ-
θηρεύθη τὸ καύχημα πάσης τῆς γῆς;
πῶς ἐγένετο βαβυλὼν εἰς ἀφανισ-
μὸν ἐν τοῖς ἔθνεσιν; ἀνέβη ἐπὶ βα-
βυλῶνα ἡ θάλασσα, ἐν ἤχῳ κυμάτων
αὐτῆς, καὶ κατελήφθη. ἐγενήθησαν αἱ
πόλεις αὐτῆς, ὡς γῆ ἄνυδρος καὶ ἄ-
βατος, οὐ κατοικήσει ἐν αὐτῇ οὐδὲ
ἄνθρω

hæc dicit dñs. Domus re-
gis Babylonis quasi area
matura triturabitur, breui
iam tẽpore ueniet messis
eius. Comedit me, diuisit
me, offenderunt me tene-
bræ tenues. Nabuchodo
nosor rex Babylonis ab
sorbuit me quasi draco, im
pleuit uentrẽ suum delicijs
meis, expulerunt me labo
res mei & miseriæ meę in
Babylonẽ, dicet habitãti-
bus Siõ: Et sanguis meus
ad habitãtes Chaldęos, di
cet Hierusalẽ. Propter hęc
dicit dñs, Ecce ego iudi-
cabo aduersariam tuam, et
ulciscar ultionem tuam, et
desertum faciã mare eius,
& siccabo fontẽ eius, &
inferetur Babylon uasti-
tas, nõ habitabitur. Nam
ut leones excitati sunt si-
mul, & quasi catuli leonũ
in calore suo dabo po-
tum eis, et inebriabo eos,
ut perturbentur & dormi
ant somnũ sempiternũ, &
non consurgent, dicit dñs.
Deduc eos quasi agnos ad
uictimã, q̃si arietes cũ hœ
dis. Quomodo capta est
Sesac, & uenãdo arrepta
est gloria oĩs terræ? Quo-
modo redacta est Baby-
lon ad uastitatem in om-
nibus gentibus? Ascen-
dit in Babylonẽ mare, so-
nitu fluctuum eius capta
est. Facta sunt oppida eius
tanq̃ terra sine aqua et in
uia nõ habitabit in ea filius

n homi-

hominis, neque unus, nec unquam diuertet in ea filius hominis. Et ulciscar Babylonem, & eijciam, quae absorbuit, de ore eius, & non congregabuntur ultra ad eam gentes. Atque in Babylone cadent uulnerati totius terrae. Vos qui conseruati estis, è terra exite, ne stetis. Vos qui procul abestis, memores estote domini, & Hierusalem in mentem uobis ueniat. Pudefacti sumus, quoniam audiuimus probrum nostrum. Tegit ignominia faciem nostrã, ingressi sunt alienigenae in sancta nostra, in domũ domini. Ecce igitur dies ueniunt, dicit dominus, quibus ulciscar sculptilia eius, & in omni terra eius cadẽt uulnerati. Nam si ascenderit Babylon quasi coelum, et si munierit altitudinẽ fortitudinis eius, à me uenient uastantes eam, dicit dominus. Vox clamoris in Babylone, et cõtritio magna in terra Chaldaeorũ, quia uastauit dominus Babylonem, & sustulit ex ea uocem magnam, sonantem quasi aquae multę. Ad perniciem uocabo uocem eius, quia incidit Babylon in miserias. Capti sunt pugnatores eius, pertimuit arcus eorum, quia deus retribuit eis. Dominus reddit ei retributionem & inebriabit ebrietate duces eius,

ἀνθρώπου οὐδὲ εἷς, οὐδὲ μὴ καταλύσει ἐν αὐτῇ υἱὸς ἀνθρώπου. καὶ ἐκδικήσω ἐπὶ Βαβυλῶνα, καὶ ἐξοίσω ἃ κατέπιεν ἐκ τοῦ στόματος αὐτῆς, καὶ οὐ μὴ συναχθῶσι πρὸς αὐτὴν ἔτι τὰ ἔθνη. καὶ ἐν Βαβυλῶνι πεσοῦνται τραυματίαι πάσης τῆς γῆς. ἀνασωζόμενοι ἐκ γῆς πορεύεσθε, καὶ μὴ ἵστασθε. οἱ μακρόθεν μνήσθητε τοῦ κυρίου, καὶ Ἱερουσαλὴμ ἀναβήτω ἐπὶ τὴν καρδίαν ὑμῶν. ᾐσχύνθημεν ὅτι ἠκούσαμεν ὀνειδισμὸν ἡμῶν, κατεκάλυψεν ἀτιμία τὸ πρόσωπον ἡμῶν, εἰσῆλθον ἀλλογενεῖς εἰς τὰ ἅγια ἡμῶν, εἰς οἶκον κυρίου. διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς, καὶ ἐν πάσῃ τῇ γῇ αὐτῆς πεσοῦνται τραυματίαι. ὅτι ἐὰν ἀναβῇ βαβυλὼν ὡς ὁ οὐρανός, καὶ ὅτι ἐὰν ὀχυρώσῃ ὕψος ἰσχύος αὐτῆς, παρ' ἐμοῦ ἥξουσιν ἐξολοθρεύοντες αὐτήν, λέγει κύριος. φωνὴ κραυγῆς ἐν Βαβυλῶνι, καὶ συντριβὴ μεγάλη ἐν γῇ Χαλδαίων, ὅτι ἐξωλόθρευσε κύριος τὴν Βαβυλῶνα, καὶ ἀπώλεσεν ἀπ' αὐτῆς φωνὴν μεγάλην ὡς ἠχοῦσαν ὡς ὕδατα πολλά. ἔδωκα εἰς ὄλεθρον φωνὴν αὐτῆς, ὅτι ἦλθεν ἐπὶ Βαβυλῶνα ταλαιπωρία. ἑάλωσαν οἱ μαχηταὶ αὐτῆς, ἐπτόηνται τὸ τόξον αὐτῶν. ὅτι ὁ θεὸς ἀνταποδιδοὺς αὐτοῖς. κύριος ἀνταποδίδωσιν αὐτῇ τὴν ἀνταπόδοσιν, καὶ μεθύσει μέθῃ τοὺς ἡγεμόνας αὐτοῦ.

αὐτῆς, καὶ τοὺς σοφοὺς αὐτῆς, καὶ τοὺς
στρατηγοὺς αὐτῆς, λέγει ὁ βασιλεύς,
κύριος παντοκράτωρ, ὄνομα αὐτῷ.
τάδε λέγει κύριος, τεῖχος βασιλεί-
ας βαβυλῶνος ἐπλατύνθη, κατα-
σκαπτόμενον κατασκαφήσεται, καὶ
αἱ πύλαι αὐτῆς αἱ ὑψηλαὶ ἐμπυρι-
σθήσονται. κοπιάσουσι λαοὶ εἰς κενόν,
καὶ ἔθνη ἐν ἀρχῇ ἐκλείψουσιν. Ὁ λό-
γος ὃν ἐνετείλατο κύριος ἱερεμίᾳ
τῷ προφήτῃ, εἰπεῖν τῷ σαραίᾳ υἱῷ
νηρείου, υἱοῦ μαασαίου, ὅτε ἐπορεύετο
παρὰ σεδεκίου βασιλέως ἰούδα εἰς
βαβυλῶνα ἐν τῷ ἔτει τῷ τετάρτῳ
τῆς βασιλείας αὐτοῦ. καὶ σαραίας
ἄρχων δώρων. καὶ ἔγραψεν ἱερεμί-
ας ἅπαντα τὰ κακὰ ἃ ἥξει ἐπὶ βα-
βυλῶνα, ἐν βιβλίῳ πάντας τοὺς λό-
γους τοὺς γεγραμμένους ἐπὶ βαβυ-
λῶνα. καὶ εἶπεν ἱερεμίας πρὸς σα-
ραίαν, ὅταν ἔλθῃς εἰς βαβυλῶνα, καὶ
ὄψῃ, καὶ ἀναγνώσῃ πάντας τοὺς λό-
γους τούτους, καὶ ἐρεῖς, κύριε κύριε,
σὺ ἐλάλησας ἐπὶ τὸν τόπον τοῦτον
τοῦ ἐξολοθρεῦσαι αὐτὸν, καὶ τοῦ μὴ
εἶναι ἐν αὐτῷ κατοικοῦντας, ἀπὸ
ἀνθρώπου ἕως κτήνους, ὅτι ἀφα-
νισμὸς εἰς τὸν αἰῶνα ἔσται. καὶ ἔ-
σται ὅταν παύσῃ τοῦ ἀναγινώσκειν
τὸ βιβλίον τοῦτο, καὶ ἐπιδήσεις ἐπ'
αὐτὸ λίθον, καὶ ῥίψεις αὐτὸ εἰς μέ-
σον τοῦ εὐφράτου, καὶ ἐρεῖς, οὕτως
καταλύσεται βαβυλὼν, καὶ οὐ μὴ ἀν-
αστῇ ἀπὸ προσώπου τῶν χαλδαίων

ὧν

eius, & sapientes eius, &
imperatores eius, dicit rex,
Dñs omnipotens, nomen
est. Hæc dicit Dñs, Murus
regis Babylonis dilatatus
est, effossus effodietur, &
portæ eius excelsæ igne
comburentur: & labora-
bunt populi in uanum, &
gentes in principio defici-
ent. Sermo, quē mandauit
dñs Hieremiæ prophetæ,
ut diceret Saraiæ filio Ne
riæ filii Massææ, cum iter
faceret à Sedechia rege
Iuda in Babylonē, anno
quarto regni eius. Erat au
tem Saraias princeps do-
norū. Et retulit Hieremi-
as omnia mala, quæ ueni-
ent super Babylonem in
librum unum, omnia uer-
ba ista quę scripta sunt cō
tra Babylonem. Dixitq;
Hieremias ad Saraiam:
Cum ueneris Babylonē,
& uideris, & legeris om-
nia uerba hæc, dices, Do
mine, domine, tu loquutus
es contra locum istum ut
depopulareris eum, quo
neq; homines in ea habi-
tent, neq; pecora, quia ua
stitas in sempiternum erit.
Et cum cessaueris legere
hunc librum, ligabis in eo
lapidē, & proiicies in me
dium Euphratis, & dices:
sic submergetur Baby-
lon, & non consurget à
conspectu Chaldæorum,

H 2 quos

quos adduco ad eam, ad alienigenas.

Cap. LII Filius uiginti & unius anni erat Sedecias, cum regnare cœpisset, & undecim annis regnauit in Hierusalem, & nomen matri eius Amitaal, filia Hieremiæ de Lobna.
Sup. 39
4. Reg. 25
Et factũ est anno nono regni eius, mẽse decimo, decimo die mensis, uenit Nabuchodonosor rex Babylonis & omnis exercitus eius aduersus Hierusalem. Et uallo circumdederunt eam, & sepsit eam magnis lapidibus per circuitum. Atq; durauit urbis obsidio, ad undecimum usque annum regis Sedeciæ, in mense quarto, in nona mensis, & firmata est fames in ciuitate, & non erant panes populo terræ. Et dirupta est ciuitas, & omnes uiri bellatores fugerunt, & egressi sunt nocte per uiam portæ inter murum et propugnaculũ, quod erat uersus hortum regis, Chaldæi uero circunsidebant ciuitatem, abierunt'que per uiam, quæ ducit ad Araba. Tum persequutus est exercitus Chaldæorum regem. Et comprehenderũt eum trans Hiericho, cum omnes serui eius dissipati essent. Et ceperunt regẽ, ac adduxerunt eum ad regem

ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτὴν ἐπὶ τοὺς ἀλλοφύλους.

Υἱὸς εἰκοσιοῦ καὶ ἑνὸς ἔτους ἦν σεδεκίας, ἐν τῷ βασιλεύειν αὐτόν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱερουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ ἀμιτάαλ, θυγάτηρ ἱερεμίου ἐκ λοβνά. καὶ ἐγένετο τῷ ἔτει τῷ ἐνάτῳ τῆς βασιλείας αὐτοῦ ἐν μηνὶ τῷ ἐνάτῳ, δεκάτῃ τοῦ μηνός, ἦλθε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ ἱερουσαλήμ, καὶ περιεχαράκωσαν αὐτήν, καὶ περιῳκοδόμησαν αὐτὴν τετραπόδοις λίθοις κύκλῳ. καὶ ἦλθον ἡ πόλις εἰς συνοχήν, ἕως ἑνδεκάτου ἔτους τῷ βασιλεῖ σεδεκίᾳ, ἐν μηνὶ τῷ τετάρτῳ, ἐν τῇ ἐνάτῃ τοῦ μηνός, καὶ ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἐξῆλθον νυκτὸς κατὰ τὴν ὁδὸν τῆς πύλης, ἀνὰ μέσον τοῦ τείχους, καὶ τοῦ προτειχίσματος, ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως, καὶ οἱ χαλδαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ, καὶ ᾤχοντο εἰς ὁδὸν τὴν εἰς ἄραβα. καὶ κατεδίωξεν ἡ δύναμις τῶν χαλδαίων ὀπίσω τοῦ βασιλέως. καὶ κατέλαβον αὐτὸν ἐν τῷ πέραν ἱεριχώ, καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ' αὐτοῦ. καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν πρὸς τὸν

τὸν βασιλέα βαβυλῶνος εἰς δεβλαθὰ, καὶ ἐλάλησεν αὐτῷ μετὰ κρίσεως. καὶ ἔσφαξε βασιλεὺς βαβυλῶνος τοὺς υἱοὺς σεδεκίου κατ' ὀφθαλμοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἄρχοντας ἰούδα ἔσφαξεν ἐν δεβλαθᾶ. καὶ τοὺς ὀφθαλμοὺς σεδεκίου ἐξετύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέδαις. καὶ ἤγαγεν αὐτὸν βασιλεὺς βαβυλῶνος εἰς βαβυλῶνα, καὶ ἔδωκεν αὐτὸν εἰς οἰκίαν μύλωνος, ἕως ἡμέρας ἧς ἀπέθανε. Καὶ ἐν μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς, ἦλθε ναβουζαρδὰν ὁ ἀρχιμάγειρος, ἑστηκὼς κατὰ πρόσωπον τοῦ βασιλέως βαβυλῶνος εἰς ἱερουσαλὴμ, καὶ ἐνέπρησε τὸν οἶκον κυρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως βαβυλῶνος, καὶ πάσας τὰς οἰκίας πόλεως, καὶ πᾶσαν οἰκίαν μεγάλην ἐνέπρησεν ἐν πυρὶ, καὶ πᾶν τεῖχος ἱερουσαλὴμ κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν χαλδαίων, ἡ μετὰ τοῦ ἀρχιμαγείρου. καὶ τοὺς καταλοίπους τοῦ λαοῦ κατέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς, καὶ εἰς γεωργούς. καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ κυρίου συνέτριψαν. καὶ τὰς βάσεις, καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν οἴκῳ κυρίου, συνέτριψαν οἱ χαλδαῖοι, καὶ ἔλαβον τὸν χαλκὸν αὐτῶν, καὶ ἀπήνεγκαν εἰς βαβυλῶνα. καὶ τὴν στεφάνην, καὶ τὰς φιάλας, καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούργουν ἐν αὐτοῖς, καὶ τὰς

regem Babylonis in Deblatha, qui loquutus est ei cum iudicio. Et iugulauit rex Babylonis filios Sedeciæ ante oculos eius, et omnes principes Iuda iugulauit in Deblatha. Et oculos Sedeciæ excæcauit. Et uinxit eum compedibus, & adduxit eũ rex Babylonis in Babylonẽ, & dedit illum in domum pistrini, ad eum usq; diem quo mortuus est. Porro mensis quinti decimo die uenit Nabuzardan princeps coquorum, qui stabat ante faciem regis Babylonis in Hierusalẽ, et incendit domum domini et domum regis, & quanq; domum urbis, & omnem domum magnã combussit igne, & totum murum Hierusalem in circuitu destruxit exercitus Chaldæorum, qui erat cum principe coquorum. Et relictos ex populo reliquit princeps coquorum, ut essent uinitores & agricolę. Tũ columnas æreas quæ erãt in domo domini contriuerunt, & bases, & mare æneum, quod erat in domo domini contriuerũt Chaldæi. Et accepto ære illorum, attulerunt Babylonem, & coronam & phialas, & omnia uasa ænea, qbus ministrabãt in eis, et

Amphoth et Masmaroth, & pelues, & candelabra, et mortariola, et cyathos, quæ erant aurea aurea, & quæ erant argentea argentea, accepit princeps coquorū. Et columnæ duæ, & mare unū, & uituli duodecim æenei sub mare, quæ fecit rex Solomon in domū dñi, cuius nō erat pondus æris eius, & columnæ, quarum unius altitudo erat octo & decem cubitorum, & funiculus duodecim cubitorum circuibat eam, & crassitudo eius digitorum quatuor in circuitu, & epistylium super eas æreum, quinq; cubitorum longitudinis erat præstantia epistylij unius cuiusq;. Et rete, & mala punica, & quæ super epistylia in ambitu erant, omnia ærea. Ad hanc rationem columnæ alteræ erāt octo mala punica cubito duodecim cubitis. Erant autem mala punica nonaginta sex, ex una parte. Erantq; omnia mala punica cētū supra rete, p ambitū. Et accepit princeps coquorū sacerdotē summum Sophoniā, & sacerdotē secundū, & tres custodiētes uiā. Et de ciuitate accepit eunuchū unū, qui erat præfectus uirorum bellatorū, & septem uiros nominatos, qui in facie regis, qui inuenti sunt in ciuitate, & scribam exercituū,

con-

ἀμφὼθ καὶ τὰς μασμαρὼθ, καὶ τοὺς ὑποχυτῆρας, καὶ τὰς λυχνίας, καὶ τὰς θυΐσκας, καὶ τοὺς κυάθους, ἃ ἦν χρυσᾶ χρυσᾶ, καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ, ἔλαβον ὁ ἀρχιμάγειρος. καὶ οἱ στύλοι δύο, καὶ ἡ θάλασσα μία, καὶ οἱ μόσχοι δώδεκα χαλκοῖ ὑποκάτω τῆς θαλάσσης, ἃ ἐποίησεν ὁ βασιλεὺς σαλωμὼν εἰς οἶκον κυρίου, ὃ οὐκ ἦν σταθμὸς τοῦ χαλκοῦ αὐτοῦ. καὶ οἱ στύλοι τριακονταπέντε πηχῶν ὕψος τοῦ στύλου τοῦ ἑνὸς, καὶ σπαρτίον δωδεκάπηχυ ἐκύκλου αὐτοῦ, καὶ τὸ πάχος αὐτοῦ δακτύλων τεσσάρων κύκλῳ. καὶ γεῖσος ἐπ' αὐτοῖς χαλκοῦν, καὶ πέντε πηχῶν τὸ μῆκος, ὑπεροχὴ τοῦ γείσους τοῦ ἑνὸς, καὶ δίκτυον καὶ ῥοαὶ, καὶ ἐπὶ τοῦ γείσους κύκλῳ πάντα χαλκᾶ. καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευτέρῳ, ὀκτὼ ῥοαὶ τῷ πήχει τοῖς δώδεκα πήχεσι. καὶ ἦσαν αἱ ῥοαὶ ἐνενηκονταὲξ τὸ ἓν μέρος. καὶ ἦσαν αἱ πᾶσαι ῥοαὶ ἑκατὸν ἐπὶ τοῦ δικτύου κύκλῳ. καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος τὸν ἱερέα τὸν πρῶτον τὸν σαφονίαν, καὶ τὸν ἱερέα τὸν δεύτερον, καὶ τοὺς τρεῖς τοὺς φυλάττοντας τὴν ὁδόν. καὶ ἐκ τῆς πόλεως ἔλαβον εὐνοῦχον ἕνα, ὃς ἦν ἐπιστάτης τῶν ἀνδρῶν τῶν πολεμιστῶν, καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς, τοὺς ἐν προσώπῳ τοῦ βασιλέως, τοὺς εὑρεθέντας ἐν τῇ πόλει, καὶ τὸν γραμματέα τῶν δυνάμεων,

τὸν

τὸν γραμματεύοντα τῷ λαῷ, πάντας τῆς γῆς, καὶ ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς, τοὺς εὑρεθέντας ἐν μέσῳ τῆς πόλεως. καὶ ἔλαβεν αὐτοὺς ναβουζαρδὰν τοῦ βασιλέως ὁ ἀρχιμάγειρος, καὶ ἤγαγεν αὐτοὺς πρὸς βασιλέα βαβυλῶνος εἰς δεβλαθὰ, ἐν γῇ αἰμάθ. καὶ ἐπάταξεν αὐτοὺς βασιλεὺς βαβυλῶνος ἐν δεβλαθὰ ἐν γῇ αἰμάθ. καὶ ἐγένετο ἐν τῷ τριακοστῷ καὶ ἑβδόμῳ ἔτει, ἀποικισθέντος τοῦ ἰωακεὶμ βασιλέως ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ, ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς, ἔλαβεν οὐαλιβαράδαχ βασιλεὺς βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ, ᾧ ἐβασίλευσε τὴν κεφαλὴν ἰωακεὶμ βασιλέως ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ, ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνός. καὶ ἐξήγαγεν αὐτὸν ἐκ οἰκίας ἧς ἐφυλάττετο, καὶ ἐλάλησεν αὐτῷ χρηστὰ, καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν βαβυλῶνι, καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διὰ παντὸς, κατὰ πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας, ἃς ἔζησε. καὶ ἡ σύνταξις αὐτῷ ἐδίδοτο διὰ παντὸς παρὰ τοῦ βασιλέως βαβυλῶνος, ἐξ ἡμέρας εἰς ἡμέραν, ἕως ἡμέρας ἧς ἀπέθανεν.

conſcribentem p̄pulo, & ſexaginta homines de populo terrę qui inuenti ſunt in medio ciuitatis. Et accepit eos Nabuzardan princeps coquorū. & adduxit eos ad regē Babylonis in Deblatha, in terrā Æmath, et trucidauit eos rex Babylonis in Deblatha in terra Æmath. Et factum eſt trigeſimo & ſeptimo anno deducti Ioacim regis Iuda, duodecimo menſe, quarto & uiceſimo die menſis, ut erigeret Valebardach rex Babylonis, eo anno, quo regnabat caput Ioacim regis Iuda, in duodecimo mēſe, in quarta et uiceſima mēſis. Et eduxit eū de domo qua cuſtodiebatur, & loquutus eſt ei bona. & extulit illius ſolium ſupra reges, qui erant cū eo in Babylone. Et mutauit ueſtimentū carceris eius. & comedebat panem ſemper ante faciem illius, omnibus diebus, quibus uixit. Et cōſtitutus cibus ei dabatur ſemper à rege Babylonis de die in diem, ad eum uſque diem, quo mortuus eſt.

Caput I

EVENIT autem, posteaquam captiuus ductus fuit Israel, & Hierosolyma deserta fuerunt, ut sederet Hieremias in luctu, faceretque lamentationem hanc pro Hierosolymis, ac diceret.

Aleph. Quomodo sedit sola ciuitas referta populis? facta est, quasi uidua multiplicata in gentibus, princeps in prouincijs facta in tributum?

Bed. Plorans plorauit in nocte, & lachrymae eius in maxillis eius, & nõ fuit consolans eam ex omnibus amatoribus suis. Omnes amantes eam spreuerunt eam, facti sunt ei inimici.

Gimel. Migrauit Iudęa prae humilitate sua, & prę multitudine seruitutum suarum. Sedit in gentibus, non inuenit requiem, omnes persequentes eam apprehenderunt eam inter affligentes.

Daleth. Vię Sion lugẽt, quod non sint uenientes in solennitate, omnes portae eius destructae, sacerdotes eius gemunt. Virgines eius captiuae ductę, & ipsa amaritudine oppressa est per se.

He. Fecerũt sedẽtes eã in caput, & hostes eius in dirigen-

ΚΑὶ ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι τὸν ἰσραὴλ, καὶ ἱερουσαλὴμ ἐρημωθῆναι, ἐκάθισεν ἱερεμίας κλαίων, καὶ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ ἱερουσαλὴμ, καὶ εἶπεν.

Ἀλέφ. Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμμένη λαῶν; ἐγενήθη ὡς χήρα, πεπληθυμμένη ἐν ἔθνεσιν, ἄρχουσα ἐν χώραις ἐγενήθη εἰς φόρον;

Βηθ. Κλαίουσα ἔκλαυσεν ἐν νυκτὶ, καὶ τὰ δάκρυα αὐτῆς ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπάρχει ὁ παρακαλῶν αὐτὴν, ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν. πάντες οἱ φιλοῦντες αὐτὴν ἠθέτησαν αὐτὴν, ἐγένοντο αὐτῇ εἰς ἐχθρούς.

Γιμέλ. Μετῳκίσθη ἰουδαία ἀπὸ ταπεινώσεως αὐτῆς, καὶ ἀπὸ πλήθους δουλείας αὐτῆς. ἐκάθισεν ἐν ἔθνεσιν, οὐχ εὗρεν ἀνάπαυσιν. πάντες οἱ καταδιώκοντες αὐτὴν, κατέλαβον αὐτὴν ἀνὰ μέσον τῶν θλιβόντων.

Δαλέθ. Ὁδοὶ σιὼν πενθοῦσι, παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ, πᾶσαι αἱ πύλαι αὐτῆς ἠφανισμέναι, ἱερεῖς αὐτῆς ἀναστενάζουσι. παρθένοι αὐτῆς ἀγόμεναι, καὶ αὐτὴ ἡ πικραινομένη ἐν ἑαυτῇ.

Ἠ. Ἐγένοντο οἱ θλίβοντες αὐτὴν εἰς κεφαλὴν, καὶ οἱ ἐχθροὶ αὐτῆς εὐ-

θηνοῦ

θηνοῦσαν, ὅτι κύριος ἐταπείνωσεν αὐτὴν ἐπὶ τὸ πλῆθος τῶν ἀσεβιῶν αὐτῆς. τὰ νήπια αὐτῆς ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ, κατὰ πρόσωπον θλίβοντος.

Οὐαῦ. Καὶ ἐξῆρθη ἐκ θυγατρὸς σιὼν πᾶσα ἡ εὐπρέπεια αὐτῆς, ἐγένοντο οἱ ἄρχοντες αὐτῆς ὡς κριοὶ οὐχ εὑρίσκοντες νομὴν καὶ ἐπορεύοντο ἐν οὐκ ἰσχύϊ κατὰ πρόσωπον διώκοντος.

Ζαΐ. Ἐμνήσθη ἱερουσαλὴμ ἡμερῶν ταπεινώσεως αὐτῆς, καὶ ἀπωσμῶν αὐτῆς. πάντα τὰ ἐπιθυμήματα αὐτῆς, ὅσα ἦν ἐξ ἡμερῶν ἀρχαίων, ἐν τῷ πεσεῖν τὸν λαὸν αὐτῆς εἰς χεῖρας θλίβοντος, καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ. ἰδόντες οἱ ἐχθροὶ αὐτῆς, ἐγέλασαν ἐπὶ τῇ μετοικεσίᾳ αὐτῆς.

Ἡθ. Ἁμαρτίαν ἥμαρτεν ἱερουσαλήμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο. πάντες οἱ δοξάζοντες αὐτήν, ἐταπείνωσαν αὐτήν. εἶδον γὰρ τὴν ἀσχημοσύνην αὐτῆς. καί γε αὐτὴ στενάζουσα, καὶ ἀπεστράφη εἰς τὰ ὀπίσω.

Τήθ. Ἀκαθαρσία αὐτῆς πρὸς ποδῶν αὐτῆς, οὐκ ἐμνήσθη ἔσχατα αὐτῆς. κατεβίβασεν ὑπέρογκα, οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. ἴδε κύριε τὴν ταπείνωσίν μου, ὅτι ἐμεγαλύνθη ὁ ἐχθρός.

Ἰώθ. Χεῖρα αὐτοῦ ἐξεπέτασεν ὁ θλίβων ἐπὶ πάντα τὰ ἐπιθυμήματα αὐτῆς. εἶδε γὰρ ἔθνη εἰσελθόντα εἰς τὸ

ἁγίασμα

rigentem. Quia dominus humiliauit eam ob multitudinem impietatum eius. Paruuli eius abierunt captiui in cõspectu lędentis.

Vau. Et ablatus est à filia Sion omnis decor, & facti sunt principes eius quasi arietes, non inuenientes pastum, & abierunt non cum fortitudine ante faciem persequentis.

Zai. Recordata est Hierusalem dierũ humilitatis eius, et expulsionum eius. Omnia desiderabilia eius, quæcunque fuerunt à diebus antiquis, cum caderet populus eius in manus uexantis, nec fuit, qui adiuuaret eam. Quod cum inimici uidissent, riserunt propter migrationem eius.

Heth. Scelera commisit Hierusalem, propterea ad commotionem est redacta. Omẽs qui gloria afficerunt, oppresserunt eam, uiderunt enim ignominiam eius. Et ipsa gemens et conuersa est retrorsum.

Teth. Sordes eius ad eius ianuas, non recordata est nouissimorum eius, & uehementer sanè oppressa est, nec est qui consoletur eam. Vide domine humilitatem meã, quia magnus effectus est inimicus.

Ioth. Manum suam extendit is, qui affligit, ad omnia desideria eius. Vidit enim gentes ingressas in

sacrarium eius, de quibus præcepisti ne intrent in ecclesiam tuam.

Caph. Omnis populus eius gemēs quærit panem, dederunt desiderium eius pro cibo, ad reducendum animam. Vide domine & respice eam ignominia affectam esse.

Lamed. Ad uos omnes qui transitis uiam, conuertimini & uidete, num sit dolor sicut dolor meus, qui obtigit locutus in me. Humilem me reddit dominus die iræ furoris eius.

Mem. De excelso suo misit ignē, in ossibus meis deduxit illum, expandit rete pedibus meis, conuertit me retro, dedit me desolatam, tota die dolentem.

Nun. Vigilauit sceleribus meis, in manibus meis conuoluta sunt. Ascenderunt in collum meum, infirmata est uirtus mea, quia dedit dominus in manibus meis dolores, non potero stare.

Samech. Abstulit omnes fortes meos dominus de medio mei, uocauit cō[n]tra me tempus, ut conterat electum meum. Torcular calcauit dominus uirgini filiæ Iuda, hæc deploro.

Ain. Oculus meus produxit aquam, propter remotus est à me conso-

ἁγίασμα αὐτῆς, ἃ ἐνετείλω αὐτὰ, μὴ εἰσελθεῖν αὐτὰ εἰς ἐκκλησίαν σου.

Χάφ. Πᾶς ὁ λαὸς αὐτῆς καταστενάζοντες, ζητοῦντες ἄρτον, ἔδωκαν τὰ ἐπιθυμήματα αὐτῆς ἐν βρώσει, τοῦ ἐπιστρέψαι ψυχήν. ἰδὲ κύριε, καὶ ἐπίβλεψον, ὅτι ἐγενήθη ἠτιμωμένη.

Λαμέδ. Οἱ πρὸς ὑμᾶς πάντες παραπορευόμενοι ὁδὸν, ἐπιστρέψατε καὶ ἴδετε, εἰ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου, ὃ ἐγενήθη φθεγξάμενος ἐν ἐμοί. ἐταπείνωσέ με κύριος ἐν ἡμέρᾳ ὀργῆς θυμοῦ αὐτοῦ.

Μέμ. Ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ, ἐν τοῖς ὀστέοις μου κατήγαγον αὐτὸ, διεπέτασε δίκτυον τοῖς ποσί μου, ἀπέστρεψέ με εἰς τὰ ὀπίσω. ἔδωκέ με κύριος ἠφανισμένην, ὅλην τὴν ἡμέραν ὀδυνωμένην.

Νούν. Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβήματά μου, ἐν χερσί μου συνεπλάκησαν. ἀνέβησαν ἐπὶ τὸν τράχηλόν μου, ἠσθένησεν ἡ ἰσχύς μου, ὅτι ἔδωκε κύριος ἐν χερσί μου ὀδύνας, οὐ δυνήσομαι στῆναι.

Σαμέχ. Ἐξῆρε πάντας τοὺς ἰσχυρούς μου ὁ κύριος ἐκ μέσου μου, ἐκάλεσεν ἐπ' ἐμὲ καιρὸν τοῦ συντρίψαι ἐκλεκτούς μου. ληνὸν ἐπάτησε κύριος παρθένῳ θυγατρὶ ἰούδα, ἐπὶ τούτοις ἐγὼ κλαίω.

Αἴν. Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ, ὅτι ἐμακρύνθη ἀπ' ἐμοῦ ὁ

παρακ

παρακαλῶν με, ὁ ἐπιστρέφων ψυ-
χήν μου. ἐγένοντο οἱ υἱοί μου ἠφανισ-
μένοι, ὅτι ἐκραταιώθη ὁ ἐχθρός.
Φῆ. Διεπέτασε σιὼν χεῖρας αὐτῆς,
οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. ἐνετεί-
λατο κύριος τῷ ἰακώβ, κύκλῳ αὐ-
τοῦ οἱ θλίβοντες αὐτόν. ἐγενήθη ἱε-
ρουσαλὴμ εἰς ἀποκαθημένην, ἀνὰ
μέσον αὐτῶν.
Σαδῆ. Δίκαιός ἐστι κύριος, καὶ τὸ
στόμα αὐτοῦ παρεπίκρανα. ἀκούσατε
δὴ πάντες οἱ λαοί, καὶ ἴδετε τὸ ἄλ-
γος μου. παρθένοι μου, καὶ νεανίσκοι μου
ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ.
Κώφ. Ἐκάλεσα γὰρ τοὺς ἐραστάς
μου, αὐτοὶ δὲ παρελογίσαντό με. οἱ
ἱερεῖς μου, καὶ οἱ πρεσβύτεροί μου,
ἐν τῇ πόλει ἐξέλιπον, ὅτι ἐζήτησαν
βρῶσιν αὐτοῖς, ἵνα ἐπιστρέψωσι ψυ-
χὰς αὐτῶν, καὶ οὐχ εὗρον.
Ῥῆς. Ἴδε κύριε, ὅτι θλίβομαι, ἡ
κοιλία μου ἐταράχθη, καὶ ἡ καρδία
μου ἐστράφη ἐν ἐμοί, ὅτι παραπι-
κραίνουσα παρεπίκρανα, ἔξωθεν ἠ-
τέκνωσέ με μάχαιρα, ὥσπερ θάνα-
τος ἐν οἴκῳ.
Σὶν. Ἀκούσατε δή, ὅτι στενάζω ἐ-
γώ, οὐκ ἔστιν ὁ παρακαλῶν με. πάν-
τες οἱ ἐχθροί μου ἤκουσαν τὰ κακά
μου, καὶ ἐχάρησαν, ὅτι σὺ ἐποίησας, ἐ-
πήγαγες ἡμέραν, ἐκάλεσας καιρόν,
ἐγένοντό μοι, οἴμοι, οἴμοι.
Θαῦ. Εἰσέλθοι πᾶσα ἡ καρδία αὐ-
τῶν, κατὰ πρόσωπόν σου, καὶ ἐπιφύλ-

λισ-

consolans me, conuertens
animam meam. Redacti
sunt filij mei ad interitum,
quoniã prę stitit inimicus.
Phe. Expãdit Sion ma
nus suas, non est qui con-
soletur eam. Mandauit
dominus Iacob in circui-
tu eius uexantes eum. Fa-
cta est Hierusalem men-
struata inter eos.
Sade. Iustus est dominus,
quia os eius exacerbaui.
Audite iam uniuersi po-
puli, & uidete dolorem
meũ. Virgines meę et iuue
nes mei abierunt captiui.
Caph. Vocaui amato-
res meos, ipsi autem dece-
perũt me. Sacerdotes mei
& seniores mei in ciuita-
te defecerunt, quia quæsi-
erunt cibum sibi ut con-
uerterent animas suas, et
non inuenerunt.
Res. Vide domine, quo
niam affligor, & uenter
meus conturbatus est, &
cor meum subuersum est
in me, exacerbans irritaui.
Foris filiis orbauit me gla
dius, mortis instar in do-
mo est.
Sin. Audite iam, quia in
gemisco ego, non est qui
consoletur me. Omnes ini
mici mei audierunt mala
mea, & lætati sunt, quia
tu fecisti; adduxisti diem,
uocasti tempus, obtigerũt
mihi, heu, heu.
Thau. Ingrediatur om-
ne cor eorum, ante con-
spectum tuum. Et uinde-

miã

mia eos, quo modo fecerunt uindemiam, pro omnibus peccatis meis, quia multi gemitus mei, et cor meum contristatur.

Cap.II Aleph. Quomodo obscurauit ira sua dominus filiā Sion, proiecit de cœlo in terram gloriam Israel, & non est recordatus scabelli pedum suorum.

Beth. Die iræ furoris sui præcipitauit dominus, nō parcens. Omnia speciosa Iacob, destruxit furore suo, munitiones filię Iudę. Agglutinauit in terram, polluit regem eius & principem eius.

Gimel. Confregit per iram furoris sui omne cornu Israel, auertit retrorsum dextram suam à facie inimici, & succendit Iacob quasi ignis flammam, & deuorauit omnia eius in ambitu.

Daleth. Tetendit arcū suum quasi inimicus, firmauit dexteram suam quasi aduersarius, & occidit omnia desideria oculorum meorum in tabernaculis filiæ Sion, effudit quasi ignem furorem eius.

He. Factus est dominus quasi inimicus, præcipitauit Israel, præcipitauit omnes turres eius, dissipauit munitiones eius, & repleuit filiæ Iuda oppressā & oppressam.

Vau.

λισον αὐτοῖς, ὃν τρόπον ἐποίησας ἐπιφυλλίδα περὶ πάντων τῶν ἁμαρτημάτων μου, ὅτι πολλοὶ οἱ στεναγμοί μου, καὶ καρδία μου λυπεῖται.

Ἀλέφ. Πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ κύριος τὴν θυγατέρα σιών, κατέρριψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα ἰσραήλ, καὶ οὐκ ἐμνήσθη ὑποποδίου ποδῶν αὐτοῦ.

Βήθ. Ἐν ἡμέρᾳ ὀργῆς θυμοῦ αὐτοῦ κατεπόντισε κύριος, οὐ φεισάμενος. πάντα τὰ ὡραῖα ἰακὼβ καθεῖλεν ἐν θυμῷ αὐτοῦ, τὰ ὀχυρώματα τῆς θυγατρὸς ἰούδα. ἐκόλλησεν εἰς τὴν γῆν, ἐβεβήλωσε βασιλέα αὐτῆς, καὶ ἄρχοντα αὐτῆς.

Γιμέλ. Συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας ἰσραήλ, ἀπέστρεψεν εἰς τὰ ὀπίσω δεξιὰν αὐτοῦ ἀπὸ προσώπου ἐχθροῦ, καὶ ἀνῆψεν ἐν ἰακὼβ ὡς πῦρ φλόγα, καὶ κατέφαγε πάντα αὐτῆς τὰ κύκλῳ.

Δάλεθ. Ἐνέτεινε τόξον αὐτοῦ ὡς ἐχθρός, ἐστερέωσε δεξιὰν αὐτοῦ ὡς ὑπεναντίος, καὶ ἀπέκτεινε πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν μου, ἐν σκηνῇ θυγατρὸς σιών, ἐξέχεεν ὡς πῦρ τὸν θυμὸν αὐτοῦ.

Ἢ. Ἐγενήθη κύριος ὡς ἐχθρός, κατεπόντισεν ἰσραήλ, κατεπόντισε πάσας τὰς βάρεις αὐτοῦ, διέφθειρε τὰ ὀχυρώματα αὐτοῦ, καὶ ἐπλήθυνε τῇ θυγατρὶ ἰούδα ταπεινουμένην καὶ τεταπεινωμένην.

Οὐαῦ.

Οὐαῦ. Καὶ διεπέτασεν ὡς ἄμπε-
λον τὸ σκήνωμα αὐτοῦ, διέφθειρεν
ἑορτὴν αὐτοῦ. ἐπελάθετο κύριος, ἃ
ἐποίησεν ἐν σιὼν ἑορτῆς καὶ σαββά-
του, καὶ παρώξυνεν ἐμβριμήματι ὀρ-
γῆς αὐτοῦ βασιλέα καὶ ἱερέα καὶ
ἄρχοντα.

Ζαΐ. Ἀπώσατο κύριος θυσιαστή-
ριον αὐτοῦ, ἀπετίναξεν ἁγίασμα
αὐτοῦ, συνέτριψεν ἐν χειρὶ ἐχθροῦ τεῖ-
χος βάρεων αὐτῆς, φωνὴν ἔδωκαν
πολέμου ἐν οἴκῳ κυρίου ὡς ἐν ἡμέ-
ρᾳ ἑορτῆς.

Ηθ. Ἐλογίσατο κύριος τοῦ δια-
φθεῖραι τεῖχος θυγατρὸς σιών. τεῖ-
χος θυγατρὸς σιὼν ἐξέτεινε μέτρον,
οὐκ ἀπέστρεψε χεῖρα αὐτοῦ ἀπὸ κα-
ταπατήματος, καὶ ἐπένθησε τὸ προ-
τείχισμα, καὶ τὸ τεῖχος ὁμοθυμα-
δὸν ἠσθένησε.

Τήθ. Ἐνεπάγησαν εἰς τὴν γῆν πύ-
λαι αὐτῆς, ἀπώλεσε καὶ συνέτριψε
αὐτῆς μοχλοὺς, βασιλέα αὐτῆς καὶ ἄρ-
χοντα αὐτῆς ἐν τοῖς ἔθνεσιν. οὐκ ἔστι
νόμος, καίγε προφῆται οὐκ εἶδον ὅ-
ρασιν παρὰ κυρίου.

Ἰώδ. Ἐκάθισαν εἰς τὴν γῆν, ἐσιώ-
πησαν πρεσβύτεροι θυγατρὸς σιών,
ἀνεβίβασαν χοῦν ἐπὶ τὴν κεφαλὴν
αὐτῶν, περιεζώσαντο σάκκους, κατή-
γαγον εἰς γῆν ἀρχηγοὺς παρθένους
ἐν ἱερουσαλήμ.

Χάφ. Ἐξέλιπον ἐν δάκρυσιν οἱ
ὀφθαλμοί μου, ἐταράχθη ἡ καρδία
μου,

Vau. Et distendit qua-
si uineam tabernaculum
suum, dissipatæ sunt feriæ,
oblitus est dominus eius
quem instituit festi, sabba
tique, & irritauit indigna-
tione iræ suæ regem, & sa
cerdotem & principem.

Zai. Repulit dominus
altare suum, eiecit sacrari-
um suum per manum ini-
mici, murũ turrium eius,
uocem edidit in domo do
mini tanquam die festo.

Heth. Cogitauit domi-
nus dissipare murum fi-
liæ Sion! Murum filiæ
Sion extendit mensuram,
non auertit manum su-
am à conculcatione, &
luxit propugnaculum,
& murus unà infirmatus
est.

Teth. Infixæ sunt in ter
ram portæ eius, perdidit
& contriuit uectes eius,
& principes eius in gen-
tibus, non est lex, & pro-
phetæ eius non uiderunt
uisionem à domino.

Ioth. Sederunt in ter-
ram, conticuerunt senio-
res filiæ Sion, iniecerunt
puluerem in caput suum,
accincti sunt cilicijs, de
duxerunt in terrãm prin-
cipes, uirgines in Hieru-
salem.

Caph. Defecerũt p lacry
mas oculi mei, territũ ẽ cor
meum,

meum, effusa est in terra gloria mea prae contritione filiae populi mei, cum deficiat paruulus & lactẽs in plateis ciuitatis.

Lamed. Matribus suis dixerunt, Vbi triticum et uinum, cum deficerent ipsi quasi uulneratus in plateis ciuitatis, cum efflarẽt animas suas in sinum matrum suarum.

Mem. Quid testificabor tibi, aut quid conferam tibi filia Hierusalem? Quis conseruabit te? quis consolabitur te, uirgo filia Sion. Quia magnum effectum est poculum contritionis tuae, quis medebitur tibi?

Nun. Prophetae tui uiderunt tibi falsa & imprudentiam, neque retexerunt iniquitatem tuam ut auerterent captiuitatem tuam, & uiderunt asumptiones uanas & eiectiones.

Samech. Plauserunt ad te manibus omnes qui praeterierũt uiam, sibilauerũt, & mouerunt caput suum super filiam Hierusalem. Est'ne haec ciuitas, dicũt, corona gloriae, laetitia omnis terrae?

Ain. Aperuerunt super te os suum omnes inimici tui, sibilauerunt, & fremuerũt dẽtibus. Et dixerũt, Deuoremus eam, ueruntamẽ hic est is dies, quem expectabamus, inuenimus eum, uidimus.

Leu. 26
Deut. 28

Phe.

μου, ἐξεχύθη εἰς τὴν γῆν ἡ δόξα μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου, ἐν τῷ ἐκλείπειν νήπιον καὶ θηλάζοντα ἐν πλατείαις πόλεως.

Λαμέδ. Ταῖς μητράσιν αὐτῶν εἶπον, ποῦ σῖτος καὶ οἶνος; ἐν τῷ ἐκλύεσθαι αὐτοὺς, ὡς τραυματίας ἐν πλατείαις πόλεως, ἐν τῷ ἐκχεῖσθαι τὰς ψυχὰς αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.

Μήμ. Τί μαρτυρήσω σοὶ, ἢ τί ὁμοιώσω σοι θύγατερ ἱερουσαλήμ; τίς σώσει σε, καὶ τίς παρακαλέσει σε παρθένος θύγατερ σιών; ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου, τίς ἰάσεταί σε;

Νούν. Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ ἀφροσύνην, καὶ οὐκ ἀπεκάλυψαν ἐπὶ τὴν ἀδικίαν σου, τοῦ ἐπιστρέψαι αἰχμαλωσίαν σου, καὶ εἴδοσάν σοι λήμματα μάταια, καὶ ἐξώσματα.

Σαμέχ. Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδὸν, ἐσύρισαν, καὶ ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν, ἐπὶ τὴν θυγατέρα ἱερουσαλήμ. εἰ αὕτη ἡ πόλις, ἐροῦσι, στέφανος δόξης, εὐφροσύνη πάσης τῆς γῆς;

Αἴν. Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου, ἐσύρισαν, καὶ ἔβρυξαν ὀδόντας, καὶ εἶπον, καταπίωμεν αὐτὴν, πλὴν αὕτη ἡ ἡμέρα ἣν προσεδοκῶμεν, εὕρομεν αὐτὴν, εἴδομεν.

Φῆ.

Φῆ. Ἐποίησε κύριος, ἃ ἐνθυμήθη. συνετέλεσε ῥῆμα αὐτοῦ, ὃ ἐνετείλατο ἐξ ἡμερῶν ἀρχαίων. καθεῖλε, καὶ οὐκ ἐφείσατο. καὶ ηὔφρανεν ἐπί σε ἐχθρὸν, ὕψωσε κέρας θλίβοντόν σε.

Phe. Fecit dominus ea, quæ cogitauit, compleuit uerba sua, quæ præcepit à diebus antiquis, destruxit, & non pepercit, & lætificauit super te inimicum, prouexit cornu uexantis te.

Σαδή. Ἐβόησε καρδία αὐτῶν πρὸς κύριον τείχη σιὼν, καταγαγέτω ὡς χειμάῤῥους δάκρυα ἡμέρας καὶ νυκτός. καὶ δῶς ἔκνηψιν σεαυτῇ, μηδὲ σιωπησάτω κόρη ὀφθαλμῶν σου.

Sade. Clamauit cor eorum ad dominum, muri filiæ Sion, effundunt torrentis instar lacrymas die & nocte. Et des lotionem tibi, neq; taceat pupilla oculi tui.

Κώφ. Ἀνάστηθι, ἀδολέσχησαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου, ἔκχεον ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου κυρίου, ἆρον πρὸς αὐτὸν χεῖράς σου περὶ ψυχῶν νηπίων σου, τῶν ἐκλυομένων λιμῷ ἀπ' ἀρχῆς πασῶν ἐξόδων.

Caph. Surge, meditare in nocte in principiis custodiæ, effunde quasi aquam cor tuum ante faciem domini, extolle ad eum manus tuas pro animabus paruulorum tuorum, qui exanimantur fame à principio omnium compitorum.

Ῥῶς. Ἴδε κύριε καὶ ἐπίβλεψον, τίνι ἐπεφύλλισας οὕτως, εἰ φάγωνται γυναῖκες καρπὸν κοιλίας αὐτῶν, ἐπιφυλλίδα ἐποίησε μάγειρος. φονευθήσονται νήπια θηλάζοντα μαστοὺς, εἰ ἀποκτενεῖς ἐν ἁγιάσματι κυρίου ἱερέα καὶ προφήτην.

Res. Vide domine & respice, cui uindemiasti ita, ut comederent mulieres fructum uentris sui, uindemiam constituit coquus. Occidentur paruuli lactentes mammas, si occides in sacrario domini sacerdotem & prophetam.

Σχίν. Ἐκοιμήθησαν εἰς γῆν ἐξόδων, παιδάριον καὶ πρεσβύτης. παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ. ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἀπέκτεινας, ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας, οὐκ ἐφείσω.

Sin. Dormierunt in terra uiarum puellus & senex, uirgines meæ, & iuuenes mei abierunt captiui. In gladio et fame interfecisti, die iræ tuæ coxisti, non pepercisti.

Θαῦ. Ἐκάλεσας ὡς εἰς ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν, καὶ οὐκ

Tau. Vocasti ad diem festum coloniæ meæ in circuitu, & non

ἐγένοντ fuerunt

fuerunt in die iræ domini saluatus & relictus, sicut obtinui, & multiplicaui inimicos meos omnes.

Cap. III Aleph. Ego uir uidēs paupertatem, cum uirga furoris eius in me. Aleph. Assumpsit me, et abduxit in tenebras et non lucem. Aleph. Veruntamen in me uertit manum suam totum diem.

Bed. Ad uetustatem redegit carnē meam, ac pellem meam, ossa mea contriuit. Bed. Ædificauit contra me, & circumdedit caput meum, & laboraui in tenebrosis. Bed. Collocauit me, quasi mortuos in sempiternum.

Gimel. Ædificauit contra me, & non egrediar, aggrauauit æs meum. Gimel. Ac tametsi uociferer clamēq;, obstruit ad orationem meam. Gimel. Sepiuit uias meas, oppilauit semitas, terruit.

Daleth. Vrsus insidians, ipse mihi quasi leo in absconditis. Daleth. Persequutus est recedentem, & fœdauit me, reddidit me uastatam. Daleth. Tetēdit arcum suum, & firmauit me quasi signū ad sagittā.

He. Induxit renibus meis pharetras suas. He. Factus sum sermo populo toto, eiusq; carmē toto die. He. Saturauit me amaritudine, inebriauit me felle.

Vau.

ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς κυρίου ἀνασωζόμενος καὶ καταλελειμμένος, ὡς ἐπεκράτησα, καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.

Ἀλέφ. ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν τῇ ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ' ἐμέ. Ἀλέφ. Παρέλαβέ με, καὶ ἀπήγαγέ με εἰς σκότος, καὶ οὐ φῶς. Ἀλέφ. Πλὴν ἐν ἐμοὶ ἐπέστρεψε χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν.

Βήθ. Ἐπαλαίωσε σάρκα μου, καὶ δέρμα μου, ὀστᾶ μου συνέτριψεν. Βήθ. Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ ἐκύκλωσε κεφαλήν μου, καὶ ἐμόχθησεν ἐν σκοτεινοῖς. Βήθ. Ἐκάθισέ με ἐν νεκροῖς αἰῶνος.

Γιμέλ. Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ οὐκ ἐξελεύσομαι, ἐβάρυνε χαλκόν μου. Γιμέλ. Καί γε ὅτι κεκράξομαι, καὶ βοήσω, ἀπέφραξε προσευχήν μου. Γιμέλ. Ἀνῳκοδόμησεν ὁδούς μου, ἐνέφραξε τρίβους μου, ἐτάραξεν.

Δαλέθ. Ἄρκος ἐνεδρεύουσα, αὐτός μοι ὡς λέων ἐν κρυφαίοις. Δαλέθ. Κατεδίωξεν ἀφεστηκότα, καὶ κατέπαυσέ με, ἔθετό με ἠφανισμένην. Δαλέθ. Ἐνέτεινε τόξον αὐτοῦ, καὶ ἐστήλωσέ με ὡς σκοπὸν εἰς βέλος.

Ἤ. Εἰσήγαγεν ἐν τοῖς νεφροῖς μου τοὺς φαρέτρας αὐτοῦ. Ἤ. Ἐγενήθην λόγος παντὶ λαῷ μου, ψαλμὸς αὐτῶν ὅλην τὴν ἡμέραν. Ἤ. Ἐχόρτασέ με πικρίας, ἐμέθυσέ με χολῆς.

Οὐαῦ

Οὐαῦ. Καὶ ἐξέβαλε ψήφῳ ὀδόντας μου, ἐψώμισέ με σποδόν. Οὐαῦ. Καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου, ἐπελαθόμην ἀγαθά. Οὐαῦ. Καὶ εἶπα, ἀπώλετο νῖκός μου, καὶ ἡ ἐλπὶς μου ἀπὸ κυρίου.

Ζαΐ. Ἐμνήσθην ἀπὸ πτωχείας μου, καὶ ἐκ διωγμοῦ πικρίας μου καὶ χολῆς. Ζαΐ. Μνείᾳ μνησθήσομαι, καὶ καταδολεσχήσει ἐπ᾽ ἐμὲ ἡ ψυχή μου. Ζαΐ. Ταύτην τάξω εἰς τὴν καρδίαν μου, διὰ τοῦτο ὑπομενῶ.

Ἠθ. Τὰ ἐλέη κυρίου, ὅτι οὐκ ἐξέλιπέ με, ὅτι οὐ συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ. Ἠθ. Μῆνας εἰς τὰς πρωΐας ἐλέησον κύριε, ὅτι συνετελέσθημεν, ὅτι συνετελέσθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ καινὰ εἰς τὰς πρωΐας, πολλὴ ἡ πίστις σου. Ἠθ. Μερίς μου κύριος, εἶπεν ἡ ψυχή μου, διὰ τοῦτο ὑπομενῶ αὐτῷ.

Τὴθ. Ἀγαθὸς κύριος τοῖς ὑπομένουσιν αὐτὸν, ψυχὴ ἣ ζητήσει αὐτὸν ἀγαθόν. Τὴθ. Καὶ ὑπομενεῖ καὶ ἡσυχάσει εἰς τὸ σωτήριον τοῦ θεοῦ. Τὴθ. Ἀγαθὸν ἀνδρὶ, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ.

Ἰὼθ. Καθήσεται κατὰ μόνας, καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ᾽ ἑαυτῷ. Ἰὼθ. Δώσει τῷ παίοντι αὐτὸν σιαγόνα, χορτασθήσεται ὀνειδισμῶν. ὅτι οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται κύριος.

Χάφ. Ὅτι ὁ ταπεινώσας οἰκτειρήσει, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.

Vau. Et eiecit lapillo dẽtes meos, aluit me cinere. Vau. Et expulit ex pace animam meã, oblitus sum bonorum. Vau. Tum dixi, Periit uictoria mea, & spes mea à domino.

Zai. Recordatus sum egestatis meæ, & persecutionis amaritudinis meæ & fellis. Zai. Memoria repetam, & meditabitur in me anima mea. Zai. Hanc ponam in cor meũ, propterea sustineo.

Heth. Misericordię dñi, quia à me non defecerũt, nam nondum finem habuerunt miserationes eius. Heth. Mẽses in diluculũ, miserere domine, nam cõsumpti sumus, quandoquidẽ consumptæ sunt miserationes eius uanę in mane, magna est fides tua. Heth. Pars mea dominus, dixit anima mea, propterea expectabo eum.

Teth. Bonus dominus expectãtibus eum, anima quæ quęret illum, bonum. Teth. Igitur sustinebit & gescet in salutẽ dñi. Teth. Bonum est uiro cum ferat iugum ab adolescẽtia sua.

Ioth. Sedebit sol⁹, et tacebit, nã ipse sibi imposuit. Ioth. Præbebit pcutienti maxillã, satiabit̃ cõuitiis. Caph. Quia non in ęternũ remotus erit dominus. Caph. Quia cum deprimit, miserebitur pro magnitudine miserationis eius.

eius. Chaph. Et nõ respõdit ex corde suo, & humiles reddidit filios uiros.

Lamed. Ad deprimendum sub pedibus eius omnes uinctos terrę. Lamed. Ad declinandũ iudicium uiri ante faciem altissimi. Lamed. Ad condemnandum hominem in iudicando ipsum, dominus non dixit.

Mem. Quis ita dixit, et factum est, dñs nõ mandauit. Mem. Ex ore altissimi non egredientur mala & bonũ? Mem. An murmurabit homo uiuus uir de peccato suo?

Nun. Scrutata est uia nostra, & inuestigata est, & reuertamur usq; ad dominũ. Nun. Extollamus corda nostra manibus nostris in coelum. Nun. Peccauimus, impiè egimus, et non es placatus.

Samech. Retexisti furore, & persequutus es nos. Occidisti, & non pepercisti. Samech. Obduxisti nubem tibi propter oratiõnẽ, claudere oculos me, & erectum esse. Samech. Collocasti nos in medio populorum.

Ain. Aperuerũt in nos os suum omnes inimici nostri. Ain. Timor et stupor euenit nobis, elatio & cõtritio. Ain. Emissiones aquarum deducet oculus meus super contritione filiae populi mei.

Phe.

αὐτοῦ. Χάφ. Καὶ οὐκ ἀπεκρίθη ἀπὸ καρδίας αὐτοῦ, καὶ ἐταπείνωσεν υἱὸς ἄνδρας.

Λαμέδ. Τοῦ ταπεινῶσαι ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας δεσμίους γῆς. Λαμέδ. Τοῦ ἐκκλῖναι κρίσιν ἀνδρὸς, κατέναντι προσώπου ὑψίστου. Λαμέδ. Καταδικάσαι ἄνθρωπον ἐν τῷ κρίνεσθαι αὐτὸν, κύριος οὐκ εἶπε.

Μέμ. Τίς οὕτως εἶπε, καὶ ἐγενήθη, κύριος οὐκ ἐνετείλατο. Μέμ. Ἐκ στόματος ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακὰ, καὶ τὸ ἀγαθόν. Μέμ. Εἰ γογγύσει ἄνθρωπος ζῶν ἀνὴρ περὶ τῆς ἁμαρτίας αὐτοῦ.

Νούν. Ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν, καὶ ἠτάσθη, καὶ ἐπιστρέψομεν ἕως κυρίου. Νούν. Ἀναλάβωμεν καρδίας ἡμῶν ἐπὶ χειρῶν ἡμῶν ἐν οὐρανῷ. Νούν. Ἡμαρτήσαμεν, ἠσεβήσαμεν, καὶ οὐχ ἱλάσθης.

Σαμέχ. Ἀπεσκέπασας ἐν θυμῷ, καὶ ἀπεδίωξας ἡμᾶς, ἀπέκτεινας, καὶ οὐκ ἐφείσω. Σαμέχ. Ἀπεσκέπασας νεφέλην ἐν σεαυτῷ εἵνεκεν προσευχῆς, καμμύσαι με, καὶ ἀποστῆναι. Σαμέχ. Ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λαῶν.

Αἴν. Διήνοιξαν ἐφ' ἡμᾶς τὸ στόμα αὐτῶν πάντες οἱ ἐχθροὶ ἡμῶν. Αἴν. Φόβος καὶ θάμβος ἐγενήθη ἡμῖν, ἔπαρσις καὶ συντριβή. Αἴν. Ἀφέσεις ὑδάτων κατ' ὀφθαλμούς μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου.

Φῆ.

Φῦ. Ὁ ὀφθαλμός μου κατεπόθη, καὶ οὐ σιγήσομαι τοῦ μὴ εἶναι ἔκνηψιν. Φῦ. Ἕως οὗ διακύψει, καὶ ἴδῃ κύριος ἐξ οὐρανοῦ; Φῦ. Ὁ ὀφθαλμός μου ἐπιφυλλιεῖ ἐπὶ τὴν ψυχήν μου, παρὰ πάσας θυγατέρας πόλεως.

Σαδή. Θηρεύοντες ἐθήρευσάν με, ὡς στρουθίον, πάντες οἱ ἐχθροί μου δωρεάν. Σαδή. Ἐθανάτωσαν ἐν λάκκῳ ζωήν μου, καὶ ἐπέθηκαν λίθον ἐπ' ἐμοί. Σαδή. Ὑπερεχύθη ὕδωρ ἐπὶ τὴν κεφαλήν μου. εἶπα, ἀπῶσμαι.

Κώφ. Ἐπεκαλεσάμην τὸ ὄνομά σου κύριε ἐκ λάκκου κατωτάτου. Κώφ. Φωνῆς μου εἰσήκουσας, μὴ κρύψῃς τὰ ὦτά σου εἰς τὴν δέησίν μου. Κώφ. Εἰς τὴν βοήθειάν μου ἤγγισας, ἐν ἡμέρᾳ ᾗ ἐπεκαλεσάμην σε. εἶπάς μοι, μὴ φοβοῦ.

Ῥῦς. Ἐδίκασας κύριε τὰς δίκας τῆς ψυχῆς μου, ἐλυτρώσω τὴν ζωήν μου. Ῥῦς. Ἴδες κύριε τὰς ταραχάς μου, ἔκρινας τὴν κρίσιν μου. Ῥῦς. Εἶδες πᾶσαν τὴν ἐκδίκησιν αὐτῶν, καὶ πάντας διαλογισμοὺς ἐν ἐμοί.

Σιν. Ἤκουσας τὸν ὀνειδισμὸν αὐτῶν, πάντας τοὺς διαλογισμοὺς αὐτῶν κατ' ἐμοῦ. Σιν. Χείλη ἐπανισταμένων μοι, καὶ μελέτας αὐτῶν κατ' ἐμοῦ ὅλην τὴν ἡμέραν. Σιν. Καθέδραν αὐτῶν, καὶ ἀνάστασιν αὐτῶν, ἐπίβλεψον ἐπὶ ὀφθαλμοὺς αὐτῶν.

Phe. Oculus meus absorptus est, et non tacebo, eo quod nulla sit abstersio. Phe. Donec respiciat, & uideat dominus de coelo. Phe. Oculus meus uindemiat in animam meam supra omnes filias urbis.

Sade. Venantes uenati sunt me, quasi auem, inimici mei gratis. Sade. Oppresserunt in lacu uitam meam, & imposuerunt lapidem super me. Sade. Fusa est aqua in caput meum. dixi, repulsus sum.

Coph. Inuocaui nomen tuum domine de lacu infimo. Coph. Vocem meam audisti, ne abscondas aures tuas ad deprecationem meam. Coph. Ad auxilium meum appropinquasti, eo die quo inuocaui te. Dixisti mihi, ne timeas.

Res. Iudicasti domine causas animæ meæ, redemisti uitam meam. Res. Vidisti domine terrores meos, iudicasti iudicium meum. Res. Vidisti omnem ultionem eorum, & omnes cogitationes eorū aduersum me.

Sin. Audisti opprobriū eorum, omnes cogitationes eorum contra me. Sin. Labia insurgētium mihi, & meditationes eorū contra me totum diem. Sin. Sessionem eorum et resurrectionem eorum respice, aspice ad oculos eorum.

Tau. Reddes eis retributionem domine, secundũ opera manuum earũ. Tau. Reddes eis protectionẽ, cordis mei laborem. Tau. Eos persequeris in ira, & consumes eos sub cœlo domine.

Cap.IIII

Aleph. Quomodo obscurabitur aurum, mutabitur argentum bonum? effusi sunt lapides sancti ab initio omnium viarum.

Bed. Filij Sion inclyti elati auro, quomodo æstimati sunt vt vasa testea, opera manuum figuli?

Gimel. Et dracones nudauerũt mammas, lactauerunt catulos suos, filias populi mei ad id quod est insanabile, quasi struthio in deserto.

Daleth. Adhæsit lingua lactentis ad guttur eius præ siti, paruuli petierunt panem, qui administret eis nullus est.

He. Comedentes delicias interierunt in vijs, nutriti in cocco amplexati sunt stercora.

Vau. Et magna est effecta iniquitas filiæ populi mei super iniquitates Sodomorum, quæ subuersa est quasi sollicitudo, & non laborauerunt in ea manus.

Zai. Mundati sunt Nazaræi eius, supra niuem fulserunt, supra lac

Θαῦ. Ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα κύριε, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν. Θαῦ. Ἀποδώσεις αὐτοῖς ὑπερασπισμὸν, καρδίας μου μόχθον. Θαῦ. Σὺ αὐτοὺς καταδιώξεις ἐν ὀργῇ, καὶ ἐξαναλώσεις αὐτοὺς ὑποκάτωθεν τοῦ οὐρανοῦ κύριε.

Ἀλέφ. Πῶς ἀμαυρωθήσεται τὸ χρυσίον, ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ ἀγαθόν; ἐξεχύθησαν λίθοι ἅγιοι, ἐπ᾽ ἀρχῆς πασῶν ἐξόδων.

Βήθ. Οἱ υἱοὶ Σιὼν οἱ τίμιοι, οἱ ἐπηρμένοι ἐν χρυσίῳ, πῶς ἐλογίσθησαν εἰς ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως;

Γιμέλ. Καίγε δράκοντες ἐξέδυσαν μαστοὺς, ἐθήλασαν σκύμνους αὐτῶν, θυγατέρας λαοῦ μου εἰς ἀνίατον, ὡς στρουθίον ἐν ἐρήμῳ.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, καί σύ υἱὲ ἀνθρώπου, τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου, ἐκ πάντων τῶν ξύλων τῶν κλημάτων τῶν ὄντων ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ; εἰ λήψονται ἐξ αὐτοῦ ξύλον τοῦ ποιῆσαι εἰς ἐργασίαν, εἰ λήψονται ἐξ αὐτῆς πάσσαλον τοῦ κρεμάσαι ἐπ᾽ αὐτοῦ σκεῦος, πάρεξ ὃ πυρὶ δέδοται εἰς ἀνάλωσιν, τὴν κατ᾽ ἐνιαυτὸν κάθαρσιν αὐτῆς. ἀναλίσκει τὸ πῦρ, καὶ ἐκλείπει εἰς τέλος. μὴ χρήσιμον ἔσται εἰς ἐργασίαν; οὐδὲ ἔτι αὐτοῦ ὄντος ὁλοκλήρου οὐκ ἔσται εἰς ἐργασίαν, μὴ ὅτι καὶ ἐὰν πῦρ αὐτὸ ἀναλώσῃ εἰς τέλος, εἰ ἔτι ἔσται εἰς ἐργασίαν; διὰ τοῦτο εἶπον, τάδε λέγει κύριος, ὃν τρόπον τὸ ξύλον τῆς ἀμπέλου ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, ὃ δέδωκα αὐτὸ τῷ πυρὶ εἰς ἀνάλωσιν, οὕτως δέδωκα τοὺς κατοικοῦντας ἱερουσαλήμ. καὶ στηριῶ τὸ πρόσωπόν μου ἐπ᾽ αὐτούς. ἐκ τοῦ πυρὸς ἐξελεύσονται, καὶ πῦρ αὐτοὺς καταφάγεται, καὶ γνώσονται ὅτι ἐγὼ κύριος ἐν τῷ στηρίσαι τὸ πρόσωπόν μου ἐπ᾽ αὐτούς, καὶ δώσω τὴν γῆν εἰς ἀφανισμὸν, ἀνθ᾽ ὧν παρέπεσον παραπτώματι, λέγει κύριος.

Cap. XVI. Et factus est sermo domini ad me, dicens, Fili hominis, testificare Hierusalem iniquitates suas, & dices, Hæc dicit dominus Hierusalem. Radix tua, & generatio tua ę ter.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, υἱὲ ἀνθρώπου, διαμάρτυραι τῇ ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς, καὶ ἐρεῖς, τάδε λέγει κύριος τῇ ἱερουσαλήμ. ἡ ῥίζα σου καὶ ἡ γένεσίς σου

ἐκ

ἐκ γῆς χαναάν. ὁ πατήρ σου ἀμοῤῥαῖος, καὶ ἡ μήτηρ σου χετταία. καὶ ἡ γένεσίς σου, ἐν ᾗ ἡμέρᾳ ἐτέχθης, καὶ οὐκ ἔδησαν τοὺς μαστούς σου, ὁ ὀμφαλός σου οὐ περιετμήθη, καὶ ἐν ὕδατι οὐκ ἐλούσθης, οὐδὲ ἁλὶ ἡλίσθης, καὶ ἐν σπαργάνοις οὐκ ἐσπαργανώθης, οὐδὲ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπί σοι, τοῦ ποιῆσαί σοι ἓν ἐκ πάντων τούτων, τοῦ παθεῖν τί ἐπί σοι. καὶ ἀπεῤῥίφης ἐπὶ πρόσωπον τοῦ πεδίου, τῇ σκολιότητι τῆς ψυχῆς σου, ἐν ἡμέρᾳ ᾗ ἐτέχθης. καὶ διῆλθον ἐπί σε, καὶ εἶδόν σε πεφυρμένην τῷ αἵματί σου. καὶ εἶπά σοι, ἐκ τοῦ αἵματός σου ζώση, πληθύνου. καθὼς ἡ ἀνατολὴ τοῦ ἀγροῦ δέδωκά σε, καὶ ἐπληθύνθης, καὶ εἰσῆλθες εἰς πόλεις πόλεων. οἱ μαστοί σου ἀνωρθώθησαν, καὶ ἡ θρίξ σου ἀνέτειλε. σὺ δὲ ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα. καὶ διῆλθον διά σου, καὶ εἶδόν σε. καὶ ἰδοὺ καιρός σου, καὶ καιρὸς καταλυόντων. καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπί σε, καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου, καὶ ὤμοσά σοι. καὶ εἰσῆλθον ἐν διαθήκῃ μετά σου, λέγει ἀδωναῒ κύριος. καὶ ἐγένου μοι, καὶ ἔλουσά σε ἐν ὕδατι, καὶ ἔπλυνα τὸ αἷμά σου ἀπό σου, καὶ ἔχρισά σε ἐν ἐλαίῳ, καὶ ἐνέδυσά σε ποικίλα, καὶ ὑπέδυσά σε ὑάκινθον, καὶ ἔζωσά σε βύσσῳ, καὶ περιέβαλόν σε τριχάπτῳ, καὶ ἐκόσμησά σε κόσμῳ, καὶ περιέθηκα ψέλλια

περὶ

è terra Chanaan. Pater tuus Amorrhæus, & mater tua Chetæa. Et hic ortus tuus. Eo die quo nata es, non ligauerunt mamillas tuas, nec est præcisus umbilicus tuus, & in aqua non es lota ad salutē, neque sale salita es, & fascijs non es inuoluta, neq; pepercit tibi oculus meus, ut facerem in te unum de omnibus istis, ut pateretur quid super te. Et proiecta es super faciem campi prauitate animæ tuæ, eo die, quo nata es. Et transiui te, & uidi te mixtā sanguine tuo, & dixi tibi, de sanguine tuo uiue, multiplicare. Tanq̄ ortum agri constitui te, & multiplicata es, & magna es effecta, & ingressa es in ciuitates ciuitatum, ubera tua recta facta sunt, & capillus tuus emersit. Tu aūt eras nuda, & plena ignominia, et trāsiui per te, et uidi te. Et ecce tempus tuū, & tempus diuertentium. Et expandi alas meas super te, & texi ignominiā tuam, & iuraui tibi. Et cōstitui tecū testamentū, dicit Adonai dn̄s. Et facta es mea, & laui te aqua, & laui sanguinem tuum à te, & unxi te oleo, & indui te uarijs, & calceaui te hyacintho, & præcinxi te bysso, & circumdedi te serico, & ornaui te ornamento, & circundedi armillas

circum

circum manus tuas, et torquem circũ collum tuum, et dedi inaurẽ circum nasum tuum, et rotulas super aures tuas, et coronã gloriationis super caput tuum. & ornata es decore, auro, et argento. Et amictus tui byssini et subtiles, et uersicolores, similam, oleum et mel comedisti, et facta es decora ualde. Et exiuit tibi nomẽ in gẽtibꝰ de pulchritudine tua, nã perfecta erat in decore, in uenustate, quã tribuerã tibi, inquit Adonai dominus. Atq; confisus es pulchritudini tuæ, et scortata es in nomine tuo, et effudisti fornicationem tuam in quouis introitu, ubi non decet. Et tulisti de uestibus tuis, et fecisti tibi idola consuta, ijsq; scortata es, neq; ingrederis, neq; fiat. Deinde tulisti uasa gloriationis tuæ ex argento meo, et ex auro meo, quæ dedi tibi, et fecisti tibi imagines uiriles, ijsq; scortata es. Et tulisti uestimentum tuum uarium, et texisti ea, et oleum meum et thymiama meum posuisti ante faciem eorum, et panes meos quos dedi tibi, similam et mel, et oleũ, quibus te nutriui, & collocasti ante faciẽ eorũ in odorẽ suauitatis. Factũ est post

περὶ τὰς χεῖράς σου, καὶ κάθεμα περὶ τὸν τράχηλόν σου, καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου, καὶ τροχίσκους περὶ τὰ ὦτά σου, καὶ στέφανον καυχήσεως περὶ τὴν κεφαλήν σου, καὶ ἐκοσμήθης κόσμῳ, χρυσῷ καὶ ἀργυρῷ. καὶ τὰ περιβόλαιά σου βύσσινα, καὶ τρίχαπτα καὶ ποικίλα, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφαγες, καὶ ἐγένου καλὴ σφόδρα. καὶ ἐξῆλθέ σου ὄνομα ἐν τοῖς ἔθνεσιν, ἐν τῷ κάλλει σου, διότι συντετελεσμένον ἦν ἐν εὐπρεπείᾳ, ἐν τῇ ὡραιότητι, ᾗ ἔταξα ἐπὶ σέ, λέγει ἀδωναῒ κύριος. καὶ ἐπεποίθεις ἐπὶ τῷ κάλλει σου, καὶ ἐπόρνευσας ἐπὶ τῷ ὀνόματί σου, καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα πάροδον οὗ οὐκ ἔσται. καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου, καὶ ἐποίησας σεαυτῇ εἴδωλα ῥαπτά, καὶ ἐξεπόρνευσας ἐπ᾽ αὐτά, καὶ οὐ μὴ εἰσέλθῃς, καὶ οὐ μὴ γένηται. καὶ ἔλαβες τὰ σκεύη τῆς καυχήσεώς σου, καὶ ἐκ τοῦ χρυσίου μου καὶ ἐκ τοῦ ἀργυρίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας σεαυτῇ εἰκόνας ἀρσενικάς, καὶ ἐξεπόρνευσας ἐν αὐταῖς. καὶ ἔλαβες τὸν ἱματισμὸν τὸν ποικίλον σου, καὶ περιέβαλες αὐτά, καὶ τὸ ἔλαιόν μου, καὶ τὸ θυμίαμά μου ἔθηκας πρὸ προσώπου αὐτῶν, καὶ τοὺς ἄρτους μου οὓς ἔδωκά σοι, σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἐψώμισά σε. καὶ ἔθηκας κατὰ πρόσωπον αὐτῶν εἰς ὀσμὴν εὐωδίας. ἐγένετο

μετὰ

μετὰ ταῦτα, λέγει κύριος, καὶ ἐλάβες τοὺς υἱούς σου καὶ τὰς θυγατέρας σου ἃς ἐγέννησας, καὶ ἔθυσας αὐτὰ αὐτοῖς, ὡς μικρὰ ἐξεπόρνευσας, καὶ ἔσφαξας τὰ τέκνα σου, καὶ ἔδωκας αὐτὰ ἐν τῷ ἀποτροπιάζεσθαι ἐν αὐτοῖς. τοῦτο παρὰ πᾶσαν τὴν πορνείαν σου, καὶ τὰ βδελύγματά σου, καὶ οὐκ ἐμνήσθης τὰς ἡμέρας τῆς νηπιότητός σου, ὅτι ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα, πεφυρμένη ἐν τῷ αἵματί σου ἔζησας. καὶ ἐγένετο μετὰ πάσας τὰς κακίας σου, οὐαὶ οὐαί σοι, λέγει κύριος. καὶ ᾠκοδόμησας σεαυτῇ οἴκημα πορνικὸν, καὶ ἐποίησας σεαυτῇ ἔκθεμα ἐν πάσῃ πλατείᾳ, καὶ ἐν ἀρχῇ πάσης ὁδοῦ ᾠκοδόμησας τὰ πορνεῖά σου, καὶ ἐλυμήνω τὸ κάλλος σου. καὶ διήγαγες τὰ σκέλη σου παντὶ παρόδῳ. καὶ ἐπλήθυνας τὴν πορνείαν σου, καὶ ἐξεπόρνευσας ἐπὶ τοὺς υἱοὺς αἰγύπτου τοὺς ὁμοροῦντάς σοι τοὺς μεγαλοσάρκους, καὶ πολλαχῶς ἐξεπόρνευσας τοῦ παροργίσαι με. ἐὰν δὲ ἐκτείνω τὴν χεῖρά μου ἐπί σε, καὶ ἐξαρῶ τὰ νόμιμά σου, καὶ παραδώσω σε εἰς ψυχὰς μισούντων σε, θυγατέρας ἀλλοφύλων τὰς ἐκκλινούσας σε ἀπὸ τῆς ὁδοῦ σου, ἧς ἠσέβησας. καὶ ἐξεπόρνευσας ἐπὶ τὰς θυγατέρας ἀσσοὺρ, καὶ οὐδ᾽ οὕτως ἐνεπλήσθης, καὶ ἐξεπόρνευσας καὶ οὐκ ἐνεπιμπλῶ. καὶ ἐπλήθυνας τὰς πορνείας σου πρὸς γῆν χαναὰν καὶ χαλδαίων, καὶ οὐδ᾽ ἐν τούτοις

ἐνεπ

post hæc, dicit dominus, & accepisti filios tuos & filias tuas, quas genuisti, hosq́ꝫ illis immolasti, qua si parum fornicata sis, & iugulasti filios tuos, & de disti eos ut hisce illos expi ares. Atqꝫ præter omnem scortationem tuam, & abominationes tuas, non es recordata diei infantię tuę quãdo eras nuda, & igno miniosa, & mixta in sanguine tuo uixisti. Accidítqꝫ tibi post flagitia tua omnia, uæ, uæ, ait dñs. Et ædificasti tibi habitationem meretritiam, et collo casti te palàm in meretriciam uitã in qualibet platea, & in aditu cuiusuis uiæ ædificasti tibi lustra, et destruxisti decorẽ tuũ, diuisisti crura tua in quolibet aditu. Et multiplicasti scortationem tuam, & scortata es ad filios Ægypti, uicinos tibi, qui magni sunt carne, & multipliciter fornicata es, ut ad iracundiam prouocares me. Et ecce extendo manum meam super te, & auferã legitima tua, & tradam te in animas odio te prosequentiũ filias alienigenarum, quæ declinauerunt à uia tua, in qua impie egisti. Ac scortata es ad filias Assur, sed nec tum satieta es. Scortata es, nec repleta. Multiplicasti fornicationes tuas ad terrã Chanaã, & Chaldæos, & neqꝫ his

A imple

impleta es. Quid faciam filiabus tuis, dicit dñs, cum feceris hæc omnia opera mulieris meretricis, & scortata es tripliciter in filiabus tuis. Atq; lupanar tuũ extruxisti ad quoduis principium uiæ, & basim tuam fecisti in omni platea. Nec fuisti quasi meretrix congregans mercedes, neq; mulier adultera similis tibi, à uiro suo accipiens mercedes, at tum cuiuis scortanti tecum dedisti mercedes. Ergo dedisti mercedes cũctis amatoribus tuis, & onerabas illos, ut uenirent ad te ex omnibus locis quæ circũ te sunt, in fornicatiõe tua. Et accidit tibi præposterũ, præter mulieres in scortatione tua, & post te non fornicabunt, in eo quod das tu mercedes, & mercedes non sunt datæ tibi, factum est in te peruersum. Propterea meretrix audi uerbum dñi, hæc dicit Adonai dñs. Quia effudisti æs tuũ, & patefit ignominia tua in fornicatiõe tua, ad amatores tuos, & in omnes cogitationes iniquitatum tuarum, et in sanguinibus filiorum tuorũ, quos dedisti eis, ideo ecce ego super te congrego omnes amatores tuos, in quibus mixta es, & omnes quos dilexisti cũ uniuersis, q̃s oderas. Et cõgregabo eos sup te in circuitu, et retegã mali-

ἐνεπλήσθης. τί διαθῶ τὰς θυγατέρας σου, λέγει κύριος, ἐν τῷ ποιῆσαι ταῦτα ἔργα γυναικὸς πόρνης. καὶ ἐξεπόρνευσας τρισσῶς ἐν ταῖς θυγατράσι σου. καὶ τὸ πορνεῖόν σου ᾠκοδόμησας ἐπὶ πάσης ἀρχῆς ὁδοῦ, καὶ τὴν βάσιν σου ἐποίησας ἐν πάσῃ πλατείᾳ. καὶ οὐκ ἐγένου ὡς πόρνη συνάγουσα μισθώματα, ἡ γυνὴ ἡ μοιχωμένη ὁμοία σου, παρὰ τοῦ ἀνδρὸς αὐτῆς λαμβάνουσα μισθώματα, καὶ πᾶσι τοῖς ἐκπορνεύσασιν προσεδίδου μισθώματα. καί σὺ δέδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου, καὶ ἐφόρτιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρός σε κυκλόθεν ἐν τῇ πορνείᾳ σου. καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυναῖκας ἐν τῇ πορνείᾳ σου, καὶ μετὰ σοῦ οὐ πεπορνεύκασιν, ἐν τῷ προσδιδόναι σε μισθώματα, καί σοι μισθώματα οὐκ ἐδόθη, καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον. διὰ τοῦτο πόρνη ἄκουε λόγον κυρίου. τάδε λέγει ἀδωναῒ κύριος, ἀνθ᾽ ὧν ἐξέχεας τὸν χαλκόν σου, καὶ ἀποκαλυφθήσεται ἡ αἰσχυμοσύνη σου ἐν τῇ πορνείᾳ σου, πρὸς τοὺς ἐραστάς σου εἰς πάντα τὰ ἐνθυμήματα τῶν ἀνομιῶν σου, καὶ ἐν τοῖς αἵμασι τῶν τέκνων σου, ὧν δέδωκας αὐτοῖς. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπί σε συνάγω πάντας τοὺς ἐραστάς σου, ἐν οἷς ἐπεμίγης ἐπ᾽ αὐτοῖς, καὶ πάντας οὓς ἠγάπησας σὺν πᾶσιν οἷς ἐμίσεις. καὶ συνάξω αὐτοὺς ἐπί σε κυκλόθεν, καὶ ἀποκαλύψω τὰς

τὰς κακίας σου πρὸς αὐτούς, καὶ ὄ-
ψονται πᾶσαν τὴν αἰσχημοσύνην
σου. καὶ ἐκδικήσω σε ἐκδίκησιν μοι-
χαλίδος, καὶ ἐκχεούσης αἷμα, καὶ
θήσομαί σε ἐν τῷ αἵματι, ἐν αἵμα-
τι θυμοῦ καὶ ζήλου, καὶ παραδώσω σε
εἰς χεῖρας αὐτῶν, καὶ κατασκάψουσι
τὸ πορνεῖόν σου, καὶ καθελοῦσι τὴν βά-
σιν σου, καὶ ἐκδύσουσί σε τὸν ἱματισ-
μόν σου, καὶ λήψονται τὰ σκεύη τῆς καυ-
χήσεώς σου, καὶ ἀφήσουσί σε γυμνήν,
καὶ ἀσχημονοῦσαν. καὶ ἄξουσιν ἐπί
σε ὄχλους, καὶ λιθοβολήσουσί σε ἐν
λίθοις, καὶ κατασφάξουσί σε ἐν τοῖς
ξίφεσιν αὐτῶν, καὶ ἐμπρήσουσι τοὺς
οἴκους ἐν πυρί, καὶ ποιήσουσιν ἐν
σοὶ ἐκδικήσεις ἐνώπιον γυναικῶν
πολλῶν. καὶ ἀποστρέψω ἐκ τῆς πορ-
νείας σου, καὶ μισθώματα οὐ μὴ
δώσεις οὐκέτι, καὶ ἐπαφήσω τὸν θυ-
μόν μου ἐπί σε, καὶ ἐξαρθήσεται ὁ ζῆ-
λός μου ἐκ σοῦ. καὶ ἀναπαύσομαι,
καὶ οὐ μὴ μεριμνήσω οὐκέτι, ἀνθ'
ὧν οὐκ ἐμνήσθης τὴν ἡμέραν τῆς νη-
πιότητός σου, καὶ ἐλύπεις με ἐν
πᾶσι τούτοις. καὶ ἰδοὺ ἐγὼ τὰς ὁ-
δούς σου εἰς κεφαλήν σου δέδωκα,
λέγει ἀδωναῒ κύριος, καὶ οὕτως ἐ-
ποίησας τὴν ἀσέβειαν ἐν πάσαις
ταῖς ἀνομίαις σου. ταῦτά ἐστι πάν-
τα, ὅσα εἶπαν κατά σου ἐν πα-
ραβολῇ, λέγοντες, καθὼς ἡ μή-
τηρ, καὶ ἡ θυγάτηρ τῆς μητρός σου.
καί σὺ εἶ ἡ ἀπωσαμένη τὸν ἄνδρα
αὐτῆς,

malitias tuas ad eos, & ui-
debunt omnem ignomi-
niam tuam. Et ulciscar te
ultione adulterę, & effun-
dentis sanguinem, & po-
nam te in sanguine furo-
ris & æmulationis. & tra
dam te in manus eorum.
& suffodient lupanar tuū,
& destruent basim tuam,
& nudabunt te uestimen-
tis tuis, & tollent uasa glo
riationis tuæ, & dimittēt
te nudam, & plenam ig-
nominia, & adducent su-
per te turbas, & obruent
te in lapidibus, & iugula
bunt te gladijs suis, & suc
cendent domus tuas in ig- 4.Reg.25
ne, & facient in te ultio-
nes coram mulieribus mul
tis. Et auertam te à scorta
tione, & mercedes nō da-
bis ultra. Et dimittam fu-
rorem meum super te, &
auferetur æmulatio mea
à te, & requiescam, & nō
solicitus ero ultra, eo q̃d
non es recordata diei in-
fantiæ tuæ, & concitasti
me in omnibus his. Et ec
ce ego uias tuas in caput
tuum dedi, dicit Adonai
dominus, & ita reddidi-
sti pietatem tuam in omni
bus iniquitatibus tuis.
Hæc sunt omnia quæcun-
que dixerunt te per pro-
uerbium, dicentes, Ut ma
ter, sic & filia matris tuæ.
At tu depellens uirum

 suum,

suum, & filios suos, & so-
rores sororũ tuarum, quæ
expulerunt uiros suos, &
filios suos. Mater uestra
Chettæa, & pater uester
Amorrhæus, soror tua se-
nior, Samaria hæc, & fi-
liæ eius quæ habitant à
sinistris tuis, & soror tua
iunior quæ habitat à de-
xtris tuis, Sodoma, & filię
eius. Sed neque sic in uijs
eorum ambulasti, neque
secundum iniquitates eo-
rum egisti, aliquantum su-
perasti eas omnibus uijs
tuis. Viuo ego, dicit Ado
nai dominus, non fecisse
Sodomam sororem tuam
filias'ue eius, id quod feci-
sti tu, & filiæ tuæ. Verun
tamen hæc iniquitas So-
Gen. 19 domorum, sororis tuæ, su-
perbia in saturitate pa-
num, & in abundantijs
uino affluebant ipsa &
filiæ eius, hoc fuit in ipsa,
& filiabus eius, & ma-
num pauperis & egeni
non assumebant. & glo-
riabantur, & fecerunt ini
quitates in conspectu
meo, quare abstuli eas, ut
uiderunt. Iam Samaria ne
dimidiam quidem partem
peccatorum tuorum com
misit, & multiplicasti ini-
quitates tuas super eas, &
iustas effecisti sorores tu-
as omnibus iniquitatibus
tuis, quas fecisti. Sustine
ergo tormentum tuum, in
quo

αὐτῆς, καὶ τέκνα αὐτῆς, καὶ ἀδελφαὶ
τῶν ἀδελφῶν σου, καὶ ἀπωσάμεναι
τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐ-
τῶν. ἡ μήτηρ ὑμῶν χετταία, καὶ ὁ πα-
τὴρ ἀμορραῖος, ἡ ἀδελφὴ ὑμῶν ἡ
πρεσβυτέρα σαμάρεια αὐτή, καὶ αἱ
θυγατέρες αὐτῆς, ἡ κατοικοῦσα ἐξ εὐ-
ωνύμων σου. καὶ ἡ ἀδελφή σου ἡ νεω-
τέρα σου, κατοικοῦσα ἐκ δεξιῶν σου,
σόδομα καὶ αἱ θυγατέρες αὐτῆς, καὶ
οὐδ᾽ ὡς ἐν ταῖς ὁδοῖς αὐτῆς ἐπορεύ-
θης, οὐδὲ κατὰ τὰς ἀνομίας αὐτῶν
ἐποίησας, κατὰ μικρὸν ὑπέρκεισαι
αὐτὰς ἐν πάσαις ταῖς ὁδοῖς σου.
ζῶ ἐγώ, λέγει ἀδωναὶ κύριος, εἰ πε-
ποίηκε σόδομα ἡ ἀδελφή σου αὐτή,
καὶ αἱ θυγατέρες αὐτῆς, ὃν τρόπον
ἐποίησας σὺ καὶ αἱ θυγατέρες σου.
πλὴν τοῦτο ἀνόμημα σοδόμων τῆς ἀ-
δελφῆς σου, ὑπερηφανία ἐν πλησ-
μονῇ ἄρτων, καὶ ἐν εὐθηνίᾳ οἴνου
ἐσπατάλων αὐτὴ καὶ αἱ θυγατέ-
ρες αὐτῆς, τοῦτο ὑπῆρχεν αὐτῇ, καὶ
ταῖς θυγατράσιν αὐτῆς, καὶ χεῖρα
πτωχοῦ καὶ πένητος οὐκ ἀντελαμ-
βάνοντο. καὶ ἐμεγαλαύχουν, καὶ ἐ-
ποίησαν ἀνομήματα ἐνώπιον ἐμοῦ,
καὶ ἐξῆρα αὐτάς, καθὼς εἶδον. καὶ
σαμάρεια κατὰ τὰς ἡμίσεις τῶν ἁ-
μαρτιῶν σου οὐχ ἥμαρτε, ἐπλήθυ-
νας τὰς ἀνομίας σου ὑπὲρ αὐτάς,
καὶ ἐδικαίωσας τὰς ἀδελφάς σου
ἐν πάσαις ταῖς ἀνομίαις σου αἷς ἐ-
ποίησας. καὶ σὺ κόμισαι βάσανον, ἐν
ᾗ διώ

ᾗ διέφθειρας τὰς ἀδελφάς σου ἐν ταῖς ἁμαρτίαις σου, καὶ ἐν πάσαις ταῖς ἀνομίαις σου, αἷς ἠνόμησας ὑπὲρ αὐτὰς, καὶ ἐδικαίωσας αὐτὰς ὑπὸ σεαυτὴν. καί συ αἰσχύνθητι, καὶ λαβὲ τὴν ἀνομίαν σου ἐν τῷ δικαιῶσαί σε τὰς ἀδελφάς σου, καὶ ἀποστρέψω τὰς ἀποστροφὰς αὐτῶν, τὴν ἀποστροφὴν σοδόμων, καὶ τῶν θυγατέρων αὐτῆς. καὶ ἀποστρέψω τὴν ἀποστροφὴν σαμαρείας καὶ τῶν θυγατέρων αὐτῆς. καὶ ἀποστρέψω τὴν ἀποστροφήν σου ἐν μέσῳ αὐτῶν, ὅπως κομίσῃ τὴν βάσανόν σου, καὶ ἀτιμωθήσῃ ἐκ πάντων ὧν ἐποίησας, ἐν τῷ σε παροργίσαι με. καὶ ἡ ἀδελφή σου σόδομα, καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθήσονται, καθὼς ἦσαν ἀπ' ἀρχῆς. καὶ σαμάρεια καὶ αἱ θυγατέρες αὐτῆς ἀποκατασταθήσονται, καθὼς ἦσαν τὸ ἀπ' ἀρχῆς. καί συ καὶ αἱ θυγατέρες σου ἀποκατασταθήσεσθε, καθὼς ἀπ' ἀρχῆς ἦτε. καὶ εἰ μὴ ἦν σόδομα ἡ ἀδελφή σου εἰς ἀκοὴν, ἐν τῷ στόματί σου, ἐν ταῖς ἡμέραις ὑπερηφανίας σου, πρὸ τοῦ ἀποκαλυφθῆναι τὰς κακίας σου, ὃν τρόπον νῦν ὄνειδος εἶ θυγατέρων συρίας, καὶ πάντων τῶν κύκλῳ αὐτῆς, θυγατέρων ἀλλοφύλων, τῶν περιεχουσῶν σε κύκλῳ. ἐν ταῖς ἀσεβείαις σου, καὶ ἐν ταῖς ἀνομίαις σου, σὺ κεκόμισαι αὐτάς, λέγει κύριος. Τάδε λέγει ἀδωναῒ κύριος· καὶ

quo destruxisti sorores tuas peccatis tuis, quib^9 inique egisti supra eas, & iustiores effecisti eas supra te. Ergo & tu dedecore notare, & suscipe ignominiam tuam, eo quod iustificaueris tu sorores tuas, & auertam auersiones earum, auersionem Sodomorum, & filiarum eius, & auertam auersionem Samariæ & filiarũ suarum. Et auertam auersionem tuam in medio earum, ut portes tormentum tuum, & afficieris ignominia propter omnia quæ fecisti, cum ut ad iracundiam prouocaueris me. Et soror tua Sodoma, & filiæ eius restituentur, sicut fuerunt à principio. Et Samaria, & filiæ eius restituentur, sicut erant à principio. & tu & filiæ tuæ restituemini, sicut fuistis à principio. Ac non fuit Sodoma soror tua celebris in ore tuo diebus superbiæ tuæ, antequam patefierent malitiæ tuæ, ut nunc opprobrio es in filiabus Syriæ, & in omnibus, quæ circum te sunt, & in filiabus alienigenis, uersantibus circum te. Impietates tuas, & iniquitates tuas tu porta, dicit dominus. Hęc dicit Adonai dñs. Et

faciã in te, ut tu fecisti. ut
despexisti execrationem,
ut prǽterires testamentum
meum, et recordabor ego
testamenti mei, quod te-
cum in diebus adolescen-
tiæ tuæ, constituamq́ ip-
se mihi testamentum sem-
piternum. Et recordabe-
ris uiarum tuarum, & de-
spicieris, cum receperis tu
sorores tuas seniores te cũ
iunioribus te, & dabo eas
tibi in probationem, &
non ex testamento tuo.
Et suscitabo ego testamẽ-
tũ meũ tecum, & cogno-
sces me dominum esse, ut
recorderis & pudefias, ne
quę audeas ultra aperire
os præ facie ignominiæ
tuæ, cum propitius fuero
tibi iuxta omnia quęcũq́
fecisti, dicit Adonai dñs.

Cap.XVII Et factus est sermo
domini ad me, dicens, Fi-
li hominis recense narra-
tionem, & dic parabo-
lam ad domum Israel. &
dices, Hæc dicit Adonai
dominus. Aquila magna,
magnis alis prædita, lon-
go membrorũ ductu, plę-
na unguium, cui uoluntas
fuit intrãdi in Libanum,
& tulit electas cedri, sum-
mitates mollitiæ amputa-
uit, attulit eas in terrã Cha-
naan, in ciuitatẽ mœnijs
cinctam posuit illas. Et tu-
lit de semine terræ, & trã-
stulit id in campum ad se-
men concipiendum ap-
tum, in aqua multa. &
radices

ποιήσω ἐν σοί, καθὼς ἐποίησας. ὡς
ἠτίμωσας τὴν ἀρὰν, ταῦτα τοῦ παρ-
αβῆναι τὴν διαθήκην μου, καὶ μνη-
σθήσομαι ἐγὼ τῆς διαθήκης μου τῆς
μετὰ σοῦ ἐν ἡμέραις νηπιότητός σου,
καὶ ἀναστήσω ἐμαυτῷ διαθήκην αἰ-
ώνιον. καὶ μνησθήσῃ τὴν ὁδόν σου,
καὶ ἐξατιμωθήσῃ ἐν τῷ ἀναλαβεῖν
σε τὰς ἀδελφάς σου τὰς νεωτέρας
σου, σὺν ταῖς πρεσβυτέραις σου, καὶ
δώσω αὐτὰς σοὶ εἰς δοκιμὴν, καὶ
οὐκ ἐκ διαθήκης σου. καὶ ἀναστήσω
ἐγὼ τὴν διαθήκην μου μετὰ σοῦ, καὶ
ἐπιγνώσῃ ὅτι ἐγὼ κύριος, ὅπως μνη-
σθῇς καὶ αἰσχυνθῇς, καὶ μὴ ἴσθι ἔτι
ἀνοῖξαι τὸ στόμα σου ἀπὸ προσώπου
τῆς ἀτιμίας σου, ἐν τῷ ἐξιλάσκεσθαί
με σοι κατὰ πάντα ὅσα ἐποίησας,
λέγει ἀδωναῒ κύριος.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς
με λέγων, υἱὲ ἀνθρώπου, διήγησαι διή-
γημα, καὶ εἶπον παραβολὴν πρὸς
τὸν οἶκον τοῦ ἰσραὴλ, καὶ ἐρεῖς, τά-
δε λέγει ἀδωναῒ κύριος. ὁ ἀετὸς ὁ
μέγας ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς
τῇ ἐκτάσει, πλήρης ὀνύχων, ὃς ἔχει
τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν λίβα-
νον, καὶ ἔλαβε τὰ ἐπίλεκτα τῆς κέ-
δρου, τὰ ἄκρα τῆς ἁπαλότητος ἀπέ-
κνισε, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν χα-
ναὰν, εἰς πόλιν τετειχισμένην ἔθε-
το αὐτά. καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρμα-
τος τῆς γῆς, καὶ ἔδωκεν αὐτὸ εἰς τὸ πε-
δίον φυτὸν ἐφ᾽ ὕδατι πολλῷ, καὶ
ἐτ

ῥίζας αὐτῷ ὑπ' αὐτὸν ὥσπερ ἐπὶ βλεπόμενον ἔταξεν αὐτὸ, καὶ αἱ ἐν πεδίῳ, καὶ ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν, καὶ μικρὰν τῷ μεγέθει, τὸ ἐπιφαίνεσθαι τὰ κλήματα αὐτῆς ἐπ' αὐτὴν, καὶ αἱ ῥίζαι αὐτῆς ὑποκάτω αὐτῆς ἦσαν. καὶ ἐγένετο εἰς ἄμπελον μεγάλην, καὶ ἐποίησεν ἀποφυάδας, καὶ ἐξέτεινε τὴν ἀναδενδράδα αὐτῆς. καὶ ἐγένετο ἀετὸς ἕτερος μέγας, μεγαλοπτέρυγος, πολὺς ὄνυξι. καὶ ἰδοὺ ἄμπελος αὕτη περιπεπλεγμένη πρὸς αὐτὸν, καὶ αἱ ῥίζαι αὐτῆς πρὸς αὐτὸν, καὶ τὰ κλήματα αὐτῆς ὑπὸ κάτω αὐτῆς ἐξαπέστειλεν αὐτῷ, τὸ ποτίσαι αὐτὴν σὺν τῷ βώλῳ τῆς φυτείας αὐτῆς. εἰς πεδίον καλὸν ἐφ' ὕδατι πολλῷ αὕτη πιαίνεται, τὸ ποιῆσαι βλαστοὺς, καὶ φέρειν καρπὸν, τὸ εἶναι εἰς ἄμπελον μεγάλην. διὰ τοῦτο εἶπον, τάδε λέγει ἀδωναῒ κύριος, εἰ κατευθυνεῖ, οὐχὶ αἱ ῥίζαι τῆς ἁπαλότητος αὐτῆς, καὶ ὁ καρπὸς σαπήσεται, καὶ ξηρανθήσεται πάντα τὰ προανατέλλοντα αὐτῆς; καὶ οὐκ ἐν βραχίονι μεγάλῳ, οὐδὲ ἐν λαῷ πολλῷ τοῦ ἐκσπάσαι αὐτὴν ἐκ ῥιζῶν αὐτῆς. καὶ ἰδοὺ πιαίνεται, μὴ κατευθυνεῖ; οὐχὶ ἅμα τῷ ἅψασθαι αὐτῆς ἄνεμον τὸν καύσωνα ξηρανθήσεται ξηρασίᾳ; σὺν τῷ βώλῳ ἀνατολῆς αὐτῆς ξηρανθήσεται. Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, υἱὲ ἀνθρώπου, εἶπον δὴ

radices eius sub eo sunt, inspectum ordinauit. id, at cum ortum esset, factum est uitis infirma, & parua magnitudine, ut apparerent sarmenta sua in eo, radicesque suae subter illa erant. Et facta est uitis magna, & fecit propagines, & extendit ramos suos. Tum fuit aquila altera grādis, magnis alis, & multis unguibus. Ecce autem uitis illa ad hanc implicata, illiusque radices ad eandem, & palmites suos sub eā misit, ut irrigaret eam cum gleba plantationis suae. In campo bono ad aquas multas ista pinguescit, ut faceret germina, & ferret fructū, ut esset uitis magna. Propterea dic, haec dicit Adonai dominus. Si dirigetur, non'ne radices mollitiae eius, & fructus illius cōputrescet, et arescēt omnia quae oriūtur ex ea? Et non brachio magno, neque in populo multo, ut radicitus euellat ea. Ecce autem pinguesit, numquid dirigetur? non'ne simulatque contigerit eam uentus urens, siccitate arescit? cum gleba germinis sui arescet. Et factus est sermo domini ad me, dicens, Fili hominis, Dic iam

ad domum iritantem, nescitis quid significent ea, quæ dixi: dic eis, Cum uenerit rex Babylonis ad Hierusalem, capiet eam, eiusque regem, & principes eius, & adducet eos ad Babylonem, et accipiet de semine regni, facietque cum eo fœdus, & inducet in eum execrationem, & duces terræ tollet, ut sit regnum infirmũ, nec unquam erigatur, ut maneret in fide, eamque firmet, ac deficiet ab eo, mittendo nuncios in Ægyptum, ut det illi equos, & populum multum. Num fortunabitur, num saluabitur faciens contraria, & uiolans fœdus num cõseruabitur? Viuo ego, dicit Adonai dominus, si non eo loco, in quo is est qui constituit eum regẽ, quod spreuit execrationem meam, quod uiolauit fœdus meum, cum eo in media Babylone sit moriturus, & nõ in exercitu magno, neque in turba multa. Geret autem contra eum Pharao prælium iactu aggeris, & extructione uallorum, ut auferat animas. Et neglexit iuramentum, ut uiolaret fœdus. Et ecce dedit manũ eius, & omnia hæc fecit ipsi, non saluabitur. Propterea dic, hæc dicit Adonai domi-

πρὸς τὸν οἶκον ἰσραὴλ τὸν παραπικραίνοντά με, οὐκ ἐπίστασθε, τί ἐστι ταῦτα ἃ εἶπον; ὅταν ἔλθῃ βασιλεὺς βαβυλῶνος ἐπὶ ἱερουσαλὴμ, καὶ λήψεται αὐτὴν καὶ τὸν βασιλέα αὐτῆς, καὶ τοὺς ἄρχοντας αὐτῆς, καὶ ἐξάξῃ αὐτοὺς πρὸς αὐτὸν εἰς βαβυλῶνα, καὶ λήψεται ἐκ τοῦ σπέρματος τῆς βασιλείας, καὶ διαθήσεται πρὸς αὐτὸν διαθήκην, καὶ εἰσάξῃ αὐτὸν ἐν ἀρᾷ, καὶ τοὺς ἡγουμένους τῆς γῆς λήψεται, τοῦ γενέσθαι εἰς βασιλείαν ἀσθενῆ, τὸ καθόλου μὴ ἐπαίρεσθαι τοῦ φυλάσσειν τὴν διαθήκην αὐτοῦ, καὶ ἱστάνειν αὐτήν, καὶ ἀποστήσεται ἀπ᾽ αὐτοῦ, τοῦ ἐξαποστέλλειν ἀγγέλους εἰς αἴγυπτον, τοῦ δοῦναι αὐτῷ ἵππους καὶ λαὸν πολύν. εἰ κατευθυνεῖ, εἰ διασωθήσεται ὁ ποιῶν ἐναντία, καὶ παραβαίνων διαθήκην εἰ σωθήσεται; ζῶ ἐγὼ, λέγει κύριος, ἐὰν μὴ ἐν τῷ τόπῳ οὗ ὁ βασιλεύσας αὐτὸν, ὃς ἠτίμωσε τὴν ἀράν μου, καὶ ὃς παρέβη τὴν διαθήκην μου, μετ᾽ αὐτοῦ ἐν μέσῳ βαβυλῶνος τελευτήσει, καὶ οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ὄχλῳ. ποιήσει πρὸς αὐτὸν φαραὼ πόλεμον ἐν χαρακομολίᾳ, καὶ ἐν οἰκοδομῇ βελοστάσεων, τοῦ ἐξᾶραι ψυχάς. καὶ ἠτίμωσεν ὁρκωμοσίαν τοῦ παραβῆναι διαθήκην. καὶ ἰδοὺ δέδωκε τὴν χεῖρα αὐτοῦ, καὶ πάντα ταῦτα ἐποίησεν αὐτῷ, μὴ σωθήσεται. διὰ τοῦτο εἶπον, τάδε λέγει ἀδωναῒ κύριος,

κύριος, ζῶ ἐγώ, ἐὰν μὴ τὴν διαθή-
κην μου ἣν παρεῖδε, καὶ τὴν ὁρκωμο-
σίαν μου ἣν ἠτίμωσε, καὶ δώσω αὐ-
τὰ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐκπετά-
σω ἐπ' αὐτὸν τὸ δίκτυόν μου, καὶ
ἁλώσεται ἐν τῇ περιοχῇ αὐτοῦ. καὶ
ἄξω αὐτὸν εἰς βαβυλῶνα, καὶ δια-
κριθήσομαι ἐκεῖ μετ' αὐτοῦ τὴν ἀδι-
κίαν αὐτοῦ, ἣν ἠδίκησεν ἐπ' ἐμοί.
καὶ πάσας φυγαδείας αὐτοῦ ἐν πά-
σῃ τῇ παρατάξει αὐτοῦ ἐν ῥομφαίᾳ
πεσοῦνται, καὶ τοὺς καταλοίπους αὐ-
τοῦ εἰς πάντα ἄνεμον διασπερῶ,
καὶ γνώσεσθε, διότι ἐγὼ κύριος λε-
λάληκα. διὰ τοῦτο τάδε λέγει ἀδω-
ναὶ κύριος, καὶ λήψομαι ἐγὼ ἐκ τῶν
ἐπιλέκτων τῆς κέδρου ἐκ κορυφῆς, καὶ
δώσω ἐπὶ κεφαλῆς παραφυάδων αὐ-
τῆς, καρδίας αὐτῶν ἀποκνιῶ, καὶ κατα-
φυτεύσω ἐγὼ ἐπ' ὄρος ὑψηλόν, καὶ
κρεμάσω αὐτὸν ἐν ὄρει μετεώρῳ τοῦ
ἰσραήλ, καὶ καταφυτεύσω, καὶ ἐξοί-
σει βλαστόν, καὶ ποιήσει καρπόν, καὶ
ἔσται εἰς κέδρον μεγάλην, καὶ ἀνα-
παύσεται ὑποκάτω αὐτοῦ πᾶν θηρί-
ον, καὶ πᾶν πετεινὸν ὑπὸ τὴν σκιὰν
αὐτοῦ ἀναπαύσεται. καὶ τὰ κλήματα
αὐτοῦ ἀποκατασταθήσεται, καὶ γνώσον-
ται πάντα τὰ ξύλα τοῦ πεδίου, διό-
τι ἐγὼ κύριος ὁ ταπεινῶν ξύλον ὑ-
ψηλόν, καὶ ὑψῶν ξύλον ταπεινόν, καὶ ξη-
ραίνων ξύλον χλωρόν, καὶ ἀνατέλλων
ξύλον ξηρόν. ἐγὼ κύριος λελάλη-
κα, καὶ ποιήσω.

dñs. Viuo ego, si nõ foe-
dus meum, & iuramen ũ
meum, quod spreuit, dabo
in caput eius, & extendã
super eum rete meum, &
capietur in sagena eius,
& adducam eum Babylo-
nem, & iudicabor cum eo
illic de iniquitate eius,
qua inique egit in me, &
omnes profugi eius in to-
ta acie eius gladio cadẽt,
omnesq́ residuos eorum
in omnem uentum disper
gam, & scietis, me domi-
num loquutum esse. Nam
hæc dicit Adonai domi-
nus. Et assumam ego de
electis cedri de uertice, &
dabo in caput ramorũ e-
ius, de corde uerticis eius
amputabo, & plantabo
super montem excelsum,
& suspendã illud in mon-
te sublimi Israel, & feram
illud, & emittet germen,
& faciet fructum, & erit
cedrus magna, & requie-
scet sub ea quæuis fera, et
omne uolatile sub umbra
eius requiescet. Et rami
eius restituentur, & scient
omnia ligna campi, me do
minum esse eum, qui hu-
mile reddit lignum excel-
sum & prouehens lignum
humile, & arefaciens li-
gnum uiride, & florere fa
ciens lignum aridum.
Ego dominus loquutus
sum, & faciam.

Cap. XVIII Et factus est sermo domini ad me dicens, Fili hominis, quæ uobis parabola hęc in terra Israel, dicentes, Patres comederũt uuam acerbam, & dentes filiorum obstupuerũt: Viuo ego, dicit Adonai dominus, si posthac dicetur parabola hæc in Israel; quia omnes animæ meæ sunt. Quemadmodum anima patris, sic & anima filij, meę sunt, & anima quæ peccat, ipsa morietur. At homo, qui erit iustus, faciens iudicium & iustitiam, in montibus nõ comedet, nec oculos suos extollet ad idola domus Israel, nec uxorem proximi sui contaminabit, neq; ad mulierem in menstruis existentem accedet, neq; hominem opprimet, & pignus debitoris reddet, nec rapinam rapiet, panem suum esurienti dabit, & nudum teget uestimento, argentum suum ad usuram non dabit, neq; nimium accipiet, ab iniquitate auertet manum suam, et iudicium iustum faciet inter uirum & proximum eius, & in præceptis meis ambulauit, & iustitias meas custodiuit, ut faceret eas, iustus hic est, uita fruetur, dicit Adonai domin⁹. Et si genue-

Καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, τί ὑμῖν ἡ παραβολὴ αὕτη ἐν τοῖς υἱοῖς ἰσραὴλ, λέγοντες, οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν; ζῶ ἐγὼ, λέγει κύριος, ἐὰν γένηται ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ ἰσραὴλ, ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσιν. ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρὸς, οὕτως καὶ ἡ ψυχὴ τοῦ υἱοῦ ἐμαί εἰσιν. ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀποθανεῖται. ὁ δὲ ἄνθρωπος ὃς ἔσται δίκαιος, ὁ ποιῶν κρίμα καὶ δικαιοσύνην, ἐπὶ τῶν ὀρέων οὐ φάγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐ μὴ ἐπάρῃ πρὸς τὰ εἴδωλα οἴκου ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐ προσεγγιεῖ, καὶ ἄνθρωπον οὐ μὴ καταδυναστεύσῃ, ἐνεχυρασμὸν ὀφείλοντος ἀποδώσει, καὶ ἅρπαγμα οὐχ ἁρπάσει. τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει, καὶ γυμνὸν περιβαλεῖ ἱμάτιον, καὶ τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει, καὶ πλεονασμὸν οὐ λήψεται. ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, κρίμα δίκαιον ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, καὶ τοῖς προστάγμασί μου πεπόρευται, καὶ τὰ δικαιώματά μου πεφύλακται, τοῦ ποιῆσαι αὐτά. δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει ἀδωναῒ κύριος. καὶ ἐὰν γεννήσῃ

γεννήσῃ υἱὸν λοιμὸν, ἐκχέοντα αἷμα,
καὶ ποιοῦντα ἁμαρτήματα, τὴν ὁ-
δὸν τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου
οὐκ ἐπορεύθη, ἀλλὰ καὶ ἐπὶ τῶν ὀρέων
ἔφαγε, καὶ τὴν γυναῖκα τοῦ πλη-
σίον αὐτοῦ ἐμίανε, καὶ πτωχὸν καὶ πέ-
νητα κατεδυνάστευσε, καὶ ἅρπαγ-
μα ἥρπαξε, καὶ ἐνεχυρασμὸν οὐκ ἀ-
πέδωκε, καὶ εἰς τὰ εἴδωλα ἔθετο τοὺς
ὀφθαλμοὺς αὐτοῦ, ἀνομίαν πεποίη-
κε, μετὰ τόκου ἔδωκε, καὶ πλεονασ-
μὸν ἔλαβεν, οὗτος ζωῇ οὐ ζήσεται,
πάσας τὰς ἀνομίας ταύτας ἐποίη-
σε, θανάτῳ θανατωθήσεται. τὸ αἷ-
μα αὐτοῦ ἐπ' αὐτὸν ἔσται. ἐὰν δὲ
γεννήσῃ υἱὸν, καὶ ἴδῃ πάσας τὰς ἁ-
μαρτίας τοῦ πατρὸς αὐτοῦ ἃς ἐποίη-
σε, καὶ φοβηθῇ, καὶ μὴ ποιήσῃ κατ'
αὐτὰς, ἐπὶ τῶν ὀρέων οὐ βέβρωκε, καὶ
τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο εἰς
τὰ ἐπιθυμήματα οἴκου ἰσραὴλ, καὶ
τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐκ
ἐμίανε, καὶ ἄνθρωπον οὐ κατεδυνά-
στευσε, καὶ ἐνεχυρασμὸν οὐκ ἐνεχύ-
ρασε, καὶ ἅρπαγμα οὐχ ἥρπαξε, τὸν
ἄρτον αὐτοῦ τῷ πεινῶντι ἔδωκε, καὶ
γυμνὸν περιέβαλεν ἱμάτιον, καὶ
ἀπὸ ἀδικίας ἀπέστρεψε τὴν χεῖρα
αὐτοῦ, τόκον καὶ πλεονασμὸν οὐκ ἔ-
λαβε, δικαιοσύνην ἐποίησε, καὶ ἐν
τοῖς προστάγμασί μου ἐπορεύθη, οὐ
τελευτήσει ἐν ἀδικίαις πατρὸς αὐ-
τοῦ, ζωῇ ζήσεται. ὁ δὲ πατὴρ αὐτοῦ
ἐὰν θλίψει θλίψῃ, καὶ ἁρπάσῃ ἅρ-
παγμα,

genuerit filium pestilen-
tem, effundentem sangui-
nem, & facientem pec-
cata, in uia patris sui iusti
non ambulauit, sed & in
montibus comedit, & u-
xorem proximi sui pol-
luit, & egenum & paupe-
rem oppressit, & rapinam
rapuit, et pignus nõ reddi
dit, & in idola posuit ocu
los suos, iniquitatem fecit,
fœnori dedit, & nimium
accepit, hic uita non frue-
tur, omnes iniquitates has
fecit, morte morietur, san-
guis eius super eum erit.
Sin autem genuerit fili-
um, qui uidebit omnia
peccata patris sui, quæ fe-
cit, & timebit, nec fecit
eiusmodi nec in monti-
bus comedit, neq; oculos
suos posuit in desiderabi-
lia domus Israel, neq; uxo
rem proximi sui polluit,
neq; hominem oppressit,
neq; pignus retinuit, neq;
rapinam rapuit, panem su
um esurienti dedit, et nu-
dum operuit uestimento,
et ab iniuria auertit ma-
num suam, nec usuram,
nec nimium accepit, iu-
stitiam fecit, et in præ-
ceptis meis ambulauit,
non morietur in iniquita-
tibus patris sui, uita uiuet.
At pater eius si afflictio-
ne afflixerit, et rapuerit rã
pinam

pinam contraria fecit in medio populi sui, mortuus est in iniquitate sua. Et dicetis, cur non suscepit filius iniquitatem patris sui? quia filius iustitiã & misericordiã fecit, omnia legitima mea custodiuit, & fecit ea, uita uiuet. Anima uerò, quæ pec
Deut. 24 cat, ista morietur. Ergo fi
4.Reg.14 lius non portabit iniquita
2.Par.25 tem patris, nec pater iusti-
nebit iniquitatem filij. Iustitia iusti super eum erit, & iniquitas iniqui super eum erit. Et iniquus si cõuersus fuerit ex omnibus iniquitatibus eius quas fecit, & custodierit omnia præcepta mea, et fecerit iudicium & iustitiam & misericordiam, uita fruetur, nec morietur. Omnia delicta eius, quæcunque fecit, non in memoriam reuocabuntur, sed per iustitiam suam, quam fecit uiuet. Nequaquam uolo mortẽ peccatoris, dicit Adonai dñs, sed ut conuertat se à uia sua mala, & uiuat. Et si auerterit se iustus à iustitia sua, ut faciat iniquitatem secundum omnes iniquitates, quas fecit iniquus, omnes iustitiæ eius, quas fecit, non memoria tenentur, in delicto eius, quod cõmisit, et in pecatis eius, quę peccauit, in ipsis morietur.

παγμα, ἐναντία ἐποίησεν ἐν μέσῳ τοῦ λαοῦ μου, καὶ ἀποθανεῖται ἐν ταῖς ἀδικίαις αὐτοῦ. καὶ ἐρεῖτε, τί ὅτι οὐκ ἔλαβεν ὁ υἱὸς ἀδικίαν πατρὸς αὐτοῦ; ὅτι ὁ υἱὸς δικαιοσύνην καὶ ἔλεος ἐποίησε, πάντα τὰ νόμιμά μου συνετήρησε, καὶ ἐποίησεν αὐτά, ζωῇ ζήσεται, ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται. ὁ δὲ υἱὸς οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρὸς αὐτοῦ, ὁ δὲ πατὴρ λήψεται τὴν ἀδικίαν τοῦ υἱοῦ αὐτοῦ. δικαιοσύνη δικαίου ἐπ' αὐτὸν ἔσται, καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται. καὶ ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίησε, καὶ φυλάξῃ πάσας τὰς ἐντολάς μου, καὶ ποιήσῃ δικαιοσύνην καὶ ἔλεος, ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ, πᾶσαι αἱ ἀδικίαι αὐτοῦ ἃς ἐποίησεν, οὐ μὴ μνησθήσονται, ἀλλ' ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ᾗ ἐποίησε, ζήσεται. μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἀνόμου, λέγει κύριος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν. ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιῇ ἀδικίαν κατὰ πάσας τὰς ἀδικίας, ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν. ἐν τῷ παραπτώματι αὐτοῦ, ᾧ παρέπεσε, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς

ἀπο

ἀποθανεῖται. καὶ εἴπατε, οὐ κατορθοῖ ἡ ὁδὸς κυρίου. ἀκούσατε δὴ πᾶς ὁ οἶκος ἰσραὴλ, μὴ ἡ ὁδός μου οὐ κατορθοῖ; οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ κατορθοῖ; ἐν τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ, καὶ ποιήσῃ παράπτωμα, καὶ ἀποθάνῃ ἐν τῷ παραπτώματι ᾧ ἐποίησεν, ἐν αὐτῷ ἀποθανεῖται. καὶ ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐτοῦ ἧς ἐποίησε, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην, οὗτος τὴν ψυχὴν αὐτοῦ ἐφύλαξε. καὶ εἶδε καὶ ἀπέστρεψεν ἐκ πασῶν τῶν ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε, καὶ ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ. καὶ λέγουσιν ὁ οἶκος ἰσραὴλ, οὐ κατορθοῖ ἡ ὁδὸς κυρίου. μὴ ἡ ὁδός μου οὐ κατορθοῖ οἶκος ἰσραήλ; οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ κατορθοῖ; ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς οἶκος ἰσραὴλ, λέγει ἀδωναῒ κύριος. ἐπιστρέψατε, καὶ ἀποστράφητε ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. ἀπορρίψατε ἀφ' ἑαυτῶν πάσας τὰς ἀσεβείας ὑμῶν, ἃς ἐποιήσατε εἰς ἐμὲ, καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν, καὶ ποιήσατε πάσας τὰς ἐντολάς μου, καὶ ἵνα τί ἀποθνήσκετε οἶκος ἰσραὴλ, λέγει κύριος. διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει ἀδωναῒ κύριος. καὶ ἐπιστρέψατε, καὶ ζήσετε.

Καὶ

morietur. Et dixiſtis, non eſt recta uia domini. Audi iam, domus Iſrael, an uia mea non eſt recta? Nõne uiæ ueſtræ non ſunt rectæ? Cum auerterit ſe iuſtus à iuſtitia ſua, & ſcelus cõmiſerit, & morietur in delicto, quod fecit, in eo morietur. Sin autem auerterit ſe iniquus ab iniquitate ſua, quam fecit, & fecerit iudicium & iuſtitiã, hic animam ſuam cuſtodiuit, & uidit, & auertit ſe ab omnibus impietatibus ſuis, quas fecit, uita fruetur, nec morietur. Et dicit domus Iſrael, non recta eſt uia domini. An uia mea non eſt recta, domus Iſraël? non'ne uia ueſtra non eſt recta? Vnumquenq; ſecundũ uiam ſuam iudicabo uos, domus Iſrael, ait Adonai dominus. Cõuertimini & reuertimini ab omnibus impietatibus ueſtris, & non erunt uobis tormentũ iniquitatis. Proijcite à uobis omnes impietates ueſtras, quas impiè egiſtis in me, & comparate uobis cor nouum, & ſpiritum nouum. Cur moritur domus Iſrael? Quandoquidem non uolo mortem morientis, dicit Adonai dominus. Cõuertimini igitur, & uiuetis.

Et

Cap. XIX

Et tu sume lamentum super principem Israel, & dices, Cur mater tua catulus, in medijs leonibus nata est, in medijs leonibus multos fecit catulos suos? Ac euasit unus de catulis suis, leo factus est & didicit rapere rapinas, homines comedit. Et audierunt de eo gentes, ac in interitu eorum captus est, quem adduxerunt camo in terrã Ægypti. Cumq; uidisset se ablatum esse, & perijsse substantiam eius, accepit alium ex catulis suis, quem leonem constituit, conuersatusq; est in medijs leonibus. Leo factus est, & didicit rapere rapinas, & homines comedit, & pastus est audacia sua, & ciuitates eorum desertas fecit, & uastauit terrã & plenitudinem eius à uoce rugitus eius, & irruerunt in eum gentes ex regionibus, quæ circum sunt, & expanderunt super eum rete eorum, & in corruptione eorum captus est, & posuerunt in camo, & in cauea uenit ad regem Babylonis, & introduxerunt eum in carcerẽ, ut non audiatur uox eius ultra in montibus Israel. Mater tua quasi uinea, quasi flos malogranati in aqua plantati, fructus eius & germen illius factum est ex aqua multa. Et fuit

ei

Καὶ σὺ υἱὲ ἀνθρώπου λαβὲ θρῆνον ἐπὶ τὸν ἄρχοντα τοῦ ἰσραὴλ, καὶ ἐρεῖς, τί ἡ μήτηρ σου σκύμνος ἐν μέσῳ λεόντων ἐγεννήθη, ἐν μέσῳ λεόντων ἐπλήθυνε σκύμνους αὐτῆς; καὶ ἀπεπήδησεν εἷς τῶν σκύμνων αὐτῆς, λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα, ἀνθρώπους ἔφαγε. καὶ ἤκουσαν κατ' αὐτοῦ ἔθνη, ἐν τῇ διαφθορᾷ αὐτῶν συνελήφθη, καὶ ἤγαγον αὐτὸν ἐν κημῷ εἰς γῆν αἰγύπτου. καὶ εἶδεν ὅτι ἀπῶσται ἀπ' αὐτῆς, καὶ ἀπώλετο ἡ ὑπόστασις αὐτῆς, καὶ ἔλαβεν ἄλλον ἐκ τῶν σκύμνων αὐτῆς, λέοντα ἔταξεν αὐτὸν, καὶ ἀνεστρέφετο ἐν μέσῳ λεόντων. λέων ἐγένετο, καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα, ἀνθρώπους ἔφαγε, καὶ ἐνέμετο τῷ θράσει αὐτοῦ, καὶ τὰς πόλεις αὐτῶν ἐξηρήμωσε, καὶ ἠφάνισε γῆν, καὶ τὸ πλήρωμα αὐτῆς, ἀπὸ φωνῆς ὠρύματος αὐτοῦ, καὶ ἔδωκαν ἐπ' αὐτὸν ἔθνη ἐκ χωρῶν κυκλόθεν, καὶ ἐξεπέτασαν ἐπ' αὐτὸν, δίκτυον αὐτῶν ἐν διαφθορᾷ αὐτῶν συνελήφθη, καὶ ἔθεντο αὐτὸν ἐν κημῷ, καὶ ἐν γαλαιάγρᾳ ἦλθε πρὸς βασιλέα βαβυλῶνος, καὶ εἰσήγαγον αὐτὸν εἰς φυλακὴν ὅπως μὴ ἀκουσθῇ ἡ φωνὴ αὐτοῦ ἐπὶ τὰ ὄρη τοῦ ἰσραήλ. ἡ μήτηρ σου, ὡς ἄμπελος, ὡς ἄνθος ἐν ῥοᾷ ἐν ὕδατι πεφυτευμένη, ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς ἐγένετο ἐξ ὕδατος πολλοῦ. καὶ ἐγένετο

αὐτῇ

αὐτῆς ῥάβδος ἰσχύος ἐπὶ φυλὴν ἡ-
γουμένων, καὶ ὑψώθη τῷ μεγέθει αὐ-
τῆς ἐν μέσῳ στελεχῶν. καὶ εἶδε τὸ μέ-
γεθος αὐτῆς ἐν πλήθει κλημάτων
αὐτῆς, καὶ κατεκλάσθη ἐν θυμῷ. ἐπὶ
γῆν ἐῤῥίφη, καὶ ἄνεμος ὁ καύσων
ἐξήρανε τὰ κλήματα αὐτῆς. ἐξεδική-
θη, καὶ ἐξηράνθη ῥάβδος ἰσχύος αὐ-
τῆς. πῦρ ἀνήλωσεν αὐτήν, καὶ νῦν πε-
φυτεύκασιν αὐτὴν ἐν τῇ ἐρήμῳ,
ἐν γῇ ἀνύδρῳ. καὶ ἐξῆλθε πῦρ ἐκ ῥάβ-
δου ἐκλεκτῶν αὐτῆς, καὶ κατέφαγεν αὐ-
τήν, καὶ οὐκ ἦν ἐν αὐτῇ ῥάβδος ἰσ-
χύος. φυλὴ εἰς παραβολὴν θρήνου ἐ-
στί, καὶ ἔσται εἰς θρῆνον.

Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδό-
μῳ, ἐν τῷ πέμπτῳ μηνί, δεκάτῃ τοῦ
μηνὸς, ἦλθον ἄνδρες ἐκ τῶν πρεσ-
βυτέρων τοῦ οἴκου ἰσραήλ, ἐπερωτῆ-
σαι τὸν κύριον, καὶ ἐκάθισαν πρὸ
προσώπου μου. καὶ ἐγένετο λόγος κυ-
ρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου,
λάλησον πρὸς τοὺς πρεσβυτέρους τοῦ
οἴκου ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς,
τάδε λέγει ἀδωναῒ κύριος. εἰ ἐπε-
ρωτῆσαί με ὑμεῖς ἔρχεσθε; ζῶ ἐγώ,
εἰ ἀποκριθήσομαι ὑμῖν. λέγει ἀδω-
ναῒ κύριος, εἰ ἐκδικήσω αὐτοὺς ἐκ-
δικήσει υἱὲ ἀνθρώπου, τὰς ἁμαρ-
τίας τῶν πατέρων αὐτῶν, διαμαρ-
τύραι αὐτοῖς, καὶ ἐρεῖς πρὸς αὐτούς,
τάδε λέγει κύριος· ἀφ᾽ ἧς ἡμέρας ᾑ-
ρέτισα τὸν οἶκον ἰσραήλ, καὶ ἐγνωρί-
σθην τῷ σπέρματι τοῦ οἴκου ἰακώβ, καὶ
ἐγνω-

ei uirga fortitudinis in tri
bum ducum, et in altum
prouecta est magnitudine
sua in medio propaginū.
Et uidit magnitudinē suā
in multitudine palmitū e-
ius, et cōfracta est furore.
In terrā proiecta est, et uē-
tus urēs arefecit palmites
eius, uindicatæ sunt, et are
factæ sunt uirgæ fortitudi
nis eius. Ignis consumpsit
eā, et nūc cōseuerūt eā in
deserto, in terra sine aqua,
et sitienti. Et exiuit ignis
ex uirgis electorum eius,
et comedit eam, et non e-
rit in ea uirga fortitudi-
nis. Tribus in parabolā la
mentationis est, et erit in
plangorem.

Et factum est in anno se- Cap. XX.
ptimo, in mense quinto, de
cimo mensis, ut uenirent
uiri de senioribus domus
Israel, interrogatum domi
num. Et sederunt ante fa-
ciem meam. Et factus est
sermo domini ad me, di-
cens, Fili hominis, loque-
re ad seniores Israel, et di-
ces ad eos, Hæc dicit A-
donai dominus? An ad in-
terrogandum me uos ueni
tis? Viuo ego, si responde
ro uobis. Dicit Adonai
dominus, Si ultus fuero e-
os ultione, fili hominis, ini
quitates patrum eorū con
testare eis, et dices ad eos,
Hæc dicit dn̄s. Ex q̄ die
elegi domū Israel, et cog-
nitus sum domui Iacob, et
cogni-

cognitus sum illis in terra Ægypti, & suscepi manu mea eos dicens, Ego dominus deus uester. Eo die apprehendi eos manu mea, ut educerem eos de terra Ægypti, in terram, quam præparaui eis, terram fluentem melle, & lacte, fauus est ultra omnem

Inf.eod. terram. Dixiq; ad eos, unusquisq; abominationes oculorum suorum proijciat, nec in studijs Ægypti polluat se, ego dominus deus uester. Et recesserũt à me, nec uoluerunt audire me, unusquisq; abominationes oculorum suorũ nõ abiecit, nec studia Ægypti reliquerũt. Dixi ergo, me effusurum iracundiam meam in eos, & perfecturum iram meam in eis, in medio terræ Ægypti. Idq; feci, ne nomẽ meum omnino uiolaretur coram gentibus, quarum ipsi sunt in medio, in quibus cognitus sum coram eis, ut educerem eos de terra Ægypti. Et eduxi eos de terra Ægypti, & adduxi eos in desertum, & dedi eis præcepta mea, & iustitias meas notas feci illis, ut faciat ea homo, ui-

Exod.20 & 31 uat'que in eis. Et sabbata mea dedi eis, ut essent signum inter me, & inter

ἐγνωρίσθην αὐτοῖς ἐν γῇ αἰγύπτου, καὶ ἀντελαβόμην τῇ χειρί μου αὐτῶν λέγων, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀντελαβόμην τῇ χειρὶ αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου, πρὸς γῆν ἣν ἡτοίμασα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν. καὶ εἶπα πρὸς αὐτούς, ἕκαστος τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτοῦ ἀποῤῥιψάτω, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αἰγύπτου μὴ μιαίνεσθε, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ ἀπέστησαν ἀπ᾽ ἐμοῦ, καὶ οὐκ ἠθέλησαν εἰσακοῦσαί μου. ἕκαστος τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτοῦ οὐκ ἀπέῤῥιψαν, καὶ τὰ ἐπιτηδεύματα αἰγύπτου οὐ κατέλιπον. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ᾽ αὐτούς, καὶ τοῦ συντελέσαι τὴν ὀργήν μου ἐν αὐτοῖς, ἐν μέσῳ τῆς αἰγύπτου. καὶ ποιήσω, ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν αὐτοί εἰσιν ἐν μέσῳ αὐτῶν, ἐν οἷς ἐγνώσθην πρὸς αὐτοὺς ἐνώπιον αὐτῶν, τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου. καὶ ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου, καὶ ἤγαγον αὐτοὺς εἰς τὴν ἔρημον, καὶ ἔδωκα αὐτοῖς τὰ προστάγματά μου, καὶ τὰ δικαιώματά μου ἐγνώρισα αὐτοῖς, ὅσα ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐτοῖς. καὶ τὰ σάββατά μου ἔδωκα αὐτοῖς, τοῦ εἶναι εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον

μέσον αὐτῶν, τοῦ γνῶναι αὐτοὺς, διό-
τι ἐγὼ κύριος ὁ ἁγιάζων αὐτούς. καὶ
εἶπα πρὸς τὸν οἶκον τοῦ ἰσραὴλ ἐν
τῇ ἐρήμῳ, ἐν τοῖς προστάγμασί μου
πορεύεσθαι, καὶ τὰ δικαιώματά μου
φυλάσσετε, τοῦ ποιεῖν αὐτὰ, ἃ ποιή-
σει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν
αὐτοῖς. καὶ παρεπίκρανάν με ὁ οἶκος
ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ἐν τοῖς προ-
στάγμασί μου οὐκ ἐπορεύθησαν, καὶ
τὰ δικαιώματά μου ἀπώσαντο,
ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζή-
σεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου
ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ
ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς ἐν
τῇ ἐρήμῳ, τοῦ ἐξαναλῶσαι αὐτούς.
καὶ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ
παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν
ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφ-
θαλμοὺς αὐτῶν. καὶ ἐγὼ ἐξῆρα τὴν
χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ
τὸ παράπαν, τοῦ μὴ εἰσαγαγεῖν αὐ-
τοὺς εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς,
γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρί-
ον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν, ἀνθ'
ὧν τὰ δικαιώματά μου ἀπώσαντο, καὶ
ἐν τοῖς προστάγμασί μου οὐκ ἐπορεύ-
θησαν ἐν αὐτοῖς, καὶ τὰ σάββατά
μου ἐβεβήλουν, καὶ ὀπίσω τῶν ἐν-
θυμημάτων τῶν καρδιῶν αὐτῶν
ἐπορεύοντο, καὶ ἐφείσατο ὁ ὀφθαλ-
μός μου ἐπ' αὐτοὺς, τοῦ ἐξαλεῖψαι
αὐτοὺς, καὶ οὐκ ἐποίησα αὐτοῖς εἰς
συντέλειαν ἐν τῇ ἐρήμῳ. καὶ εἶπα
πρὸς

ter eos, ut scirent ipsi, me
dominum esse consecran-
tem eos. Dixitq; ad domũ Exod. 20. b
Israel in deserto, In præ-
ceptis meis ambulate, iu-
stitiasq; meas conseruate.
quo ea agatis, quæ fece-
rit homo, per ea uiuet. Et
exacerbauit me domus Is-
rael in deserto, in præce-
ptis meis non ambulaue-
runt, & iustificationes me
as proiecerunt, quos cum
fecerit homo, uiuet in eis.
& sabbata mea uiolaue-
runt uehementer. Itaque
dixi me effusurum furo-
rem meum in eos in deser
to, atq; eos confecturum.
Id quod feci, ne nomen
meum omnino uiolaretur
coram gentibus, à quibus
eduxi eos ante oculos eo
rum. Et ego leuaui manũ
meam super eos in deserto
omnino, ne introducerem
eos in terram, quam dedi
eis, terram fluentem lacte
& melle, fauus est ultra o-
mnem terrã eo quod iusti
tias meas repulerunt, et in
præceptis meis nõ ambu
lauerunt, & sabbata mea
uiolauerunt, & cogitatio-
nes cordium suorum secu
ti sunt. Tamen pepercit
eis oculus meus, ne dele-
rem eos, nec redegi eos ad
interitũ in deserto. Et dixi

ad filios eorum in solitudine, In legitimis patrum uestrorum non ambuletis, nec iustitias eorum conseruetis, nec in studijs Ægypti cõmisceamini, nec polluamini. Ego dominus deus uester, in præceptis meis ambulate, & iustitias meas custodite, & facite eas, & sabbata mea sanctificate, sintq; signum inter me, & inter uos, ut sciatis me dominum esse deum uestrum. At exacerbauerunt me, & filij eorum in præceptis meis non ambulauerunt, nec iustitias meas conseruarunt, ut facerent eas, quas si fecerit homo, & uiuet in eis, & sabbata mea polluerũt uehementer. Et dixi me effusurum furorem meum in eos, & in deserto perfecturum iram meam in eis. Id quod feci, ne nomen meum omnino uiolaretur coram gentibus, de quibus eduxi eos ante oculos earum. Et leuaui manum meam in eos in deserto, ut dispergerem illos in gentibus, & dissemínarem eos in regionibus, propterea quod decreta mea non fecerunt, & præcepta mea repulerunt, & in præceptis meis non ambulauerunt in eis, &

πρὸς τὰ τέκνα αὐτῶν ἐν τῇ ἐρήμῳ, ἐν τοῖς νομίμοις τῶν πατέρων ὑμῶν μὴ πορεύεσθε, καὶ τὰ δικαιώματα αὐτῶν μὴ φυλάσσεσθε, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αἰγύπτου μὴ συναναμίγνυσθε, καὶ μὴ μιαίνεσθε, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ ἐν τοῖς προστάγμασί μου πορεύεσθε, καὶ τὰ δικαιώματά μου φυλάσσετε, καὶ ποιεῖτε αὐτά. καὶ τὰ σάββατά μου ἁγιάζετε, καὶ ἔστω εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, τοῦ γινώσκειν διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ παρεπίκρανάν με, καὶ τὰ τέκνα αὐτῶν ἐν τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ ἐφυλάξαντο τοῦ ποιεῖν αὐτά, ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλουν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτούς, ἐν τῇ ἐρήμῳ τοῦ συντελέσαι τὴν ὀργήν μου ἐπ' αὐτούς. καὶ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ' ὀφθαλμοὺς αὐτῶν. καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς ἐν τῇ ἐρήμῳ, τοῦ διασκορπίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσι, καὶ διασπεῖραι αὐτοὺς ἐν ταῖς χώραις, ἀνθ' ὧν τὰ δικαιώματά μου οὐκ ἐποίησαν, καὶ τὰ προστάγματά μου ἀπώσαντο, καὶ ἐν τοῖς προστάγμασί μου οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς, καὶ

καὶ τὰ σάββατά μου ἐβεβήλουν, καὶ
ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέ-
ρων αὐτῶν ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν.
καὶ ἔδωκα αὐτοῖς προστάγματα οὐ
καλά, καὶ δικαιώματα ἐν οἷς οὐ
ζήσονται ἐν αὐτοῖς. καὶ μιανῶ αὐτοὺς
ἐν τοῖς δόμασιν αὐτῶν, ἐν τῷ δια-
πορεύεσθαί με πᾶν διανοῖγον μή-
τραν, ὅπως ἀφανίσω αὐτούς, ἵνα γνῶ-
σιν ὅτι ἐγὼ κύριος. Διὰ τοῦτο λά-
λησον πρὸς τὸν οἶκον ἰσραήλ, υἱὲ ἀν-
θρώπου, καὶ ἐρεῖς πρὸς αὐτούς, τά-
δε λέγει ἀδωναὶ κύριος, ἕως τούτου
παρώργισάν με οἱ πατέρες ὑμῶν
ἐν τοῖς παραπτώμασιν αὐτῶν, ἐν
οἷς παρέπεσαν εἰς ἐμέ, καὶ εἰσήγα-
γον αὐτοὺς εἰς τὴν γῆν, εἰς ἣν ἦρα
τὴν χεῖρά μου, τοῦ δοῦναι αὐτὴν αὐ-
τοῖς. καὶ εἶδον πάντα βουνὸν ὑψη-
λόν, καὶ πᾶν ξύλον κατάσκιον, καὶ
ἔθυσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν, καὶ ἔ-
ταξαν ἐκεῖ ὀσμὴν εὐωδίας αὐτῶν,
καὶ ἐποίησαν ἐκεῖ τὰς σπονδὰς αὐ-
τῶν, καὶ εἶπα πρὸς αὐτούς, τί ἐστιν ἡ
ἀβανά, ὅτι ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ;
καὶ ἐπεκαλέσαντο τὸ ὄνομα αὐτοῦ ἀβα-
νά, ἕως τῆς σήμερον ἡμέρας. διὰ τοῦτο
εἶπον πρὸς τὸν οἶκον τοῦ ἰσραήλ, τάδε
λέγει ἀδωναὶ κύριος ὁ θεός. εἰ ἐν
ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑ-
μεῖς μιαίνεσθε, καὶ ὀπίσω τῶν βδελυγ-
μάτων αὐτῶν ὑμεῖς ἐκπορνεύετε, καὶ ἐν
ταῖς ἀπαρχαῖς τῶν δομάτων ὑμῶν,
ἐν τοῖς ἀφορισμοῖς ὑμῶν ὑμῶν, ἐν
πυρὶ

& sabbata mea uiolaue-
runt, & post cogitationes
patrum suorum fuerunt o-
culi eorum. Et ego dedi
eis præcepta non bona, et
iustitias, in quibus uiuēt.
& polluam eos in dogma-
tibus suis, cum transibo
ego omne aperiens uuluā,
ut deleam eos, ut sciant,
me dominum esse. Idcir-
co loquere ad domum Is-
rael, fili hominis, & dices
ad eos, Hæc dicit Ado-
nai dominus. Hactenus ad
iracundiam prouocaue-
runt me patres uestri deli-
ctis suis, in quibus delique-
runt in me. Et introduxi
eos in terram, in quam sub-
leuaui manum meam, ut
darem eam illis. Et uide-
runt omnem collem excel-
sum, & omne lignum opa-
cum, & immolauerunt ibi
dijs suis, & posuerunt ibi
odorem suauitatis eorum,
& libauerunt ibi liba-
mina sua. Et dixi ad eos.
Ecquid est Abana, quod
illuc ingredimini: Et uo-
cauerunt nomē eius Aba-
na, usq; in hodiernum di-
em. Propterea dic ad do-
mū Israel. hæc dicit Ado-
nai dn̄s, Cum in iniquita-
tibus patrum uestrorum
polluamini, & post abo-
minationes eorum scorte-
mini, & in primitijs dono-
rum uestrorū, & in separa-
tionib⁹ filiorū uestrorū, in

 igne,

igne, uos polluimini in omnibus cogitationibus uestris usque in hodiernum diem, & ego respondebo uobis, domus Israel? Viuo ego, dicit Adonai dominus, Si respondebo uobis, & si ascendet in spiritum uestrum hoc. Et non erit, quemadmodum uos dicitis, erimus sicut gentes, & sicut tribus terrae, ut seruiamus lignis et lapidibus. Propterea, Viuo ego, dicit Adonai dominus, si non in manu forti, & in brachio excelso, & in furore effuso regnabo in uobis. Et educam uos de populis, & recipiam uos de regionibus, quò dispersi estis in manu forti, et in brachio excelso, & furore effuso, & adducam uos in desertum populorũ. Contendamque iudicio uobiscum ibi facie ad faciem. Quemadmodum iudicio contendi ad patres uestros in solitudine, cum educerem eos ex Ægypto, sic iudicabo uos, dicit dominus deus, Et adducam uos cum uirga mea, & inducam uos in numero, & eligam ex uobis impios, eosque qui defecerunt. Nam ex colonia educam eos, nec in terram Israel ingredietur, Et scietis me dominum esse. Et uos qui in domo Israel, hæc dicit dñs dominus deus. Vnusquisque studia

dia

πυρὶ, ὑμεῖς μιαίνεσθε ἐν πᾶσι τοῖς ἐνθυμήμασιν ὑμῶν, ἕως τῆς σήμερον ἡμέρας, καὶ ἐγὼ ἀποκριθῶ ὑμῖν οἶκος τοῦ ἰσραήλ; ζῶ ἐγὼ, λέγει ἀδωναῒ κύριος, εἰ ἀποκριθήσομαι ὑμῖν. καὶ εἰ ἀναβήσεται εἰς τὸ πνεῦμα ὑμῶν τοῦτο. καὶ οὐκ ἔσται ὃν τρόπον ὑμεῖς λέγετε, ἐσόμεθα ὡς τὰ ἔθνη, καὶ ὡς αἱ φυλαὶ τῆς γῆς, λατρεύειν ξύλοις καὶ λίθοις. καὶ διὰ τοῦτο ζῶ ἐγὼ, λέγει ἀδωναῒ κύριος, εἰ μὴν ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, καὶ ἐν θυμῷ κεχυμένῳ βασιλεύσω ἐφ᾽ ὑμᾶς. καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέξομαι ὑμᾶς ἐκ τῶν χωρῶν, οὗ διεσκορπίσθητε ἐν αὐταῖς, ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, ἐν θυμῷ κεχυμένῳ. καὶ ἄξω ὑμᾶς εἰς τὴν ἔρημον τῶν λαῶν, καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ, πρόσωπον κατὰ πρόσωπον, ὃν τρόπον διεκρίθην πρὸς τοὺς πατέρας ὑμῶν ἐν τῇ ἐρήμῳ, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου, οὕτως κρινῶ ὑμᾶς, λέγει κύριος ὁ θεός. καὶ διάξω ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου, καὶ εἰσάξω ὑμᾶς ἐν ἀριθμῷ, καὶ ἐκλέξω ἐξ ὑμῶν τοὺς ἀσεβεῖς, καὶ τοὺς ἀφεστηκότας, διότι ἐκ παροικεσίας αὐτῶν ἐξάξω αὐτοὺς, καὶ εἰς τὴν γῆν τοῦ ἰσραὴλ οὐκ εἰσελεύσονται. καὶ ἐπιγνώσεσθε, διότι ἐγὼ κύριος ὁ θεός. καὶ ὑμεῖς οἶκος ἰσραὴλ, τάδε λέγει κύριος κύριος ὁ θεὸς, ἕκαστος τὰ ἐπιτηδεύματα

ματα

ματα αὐτοῦ ἐξάρατε, καὶ μετὰ ταῦτα
εἰ ὑμᾶς εἰσακούετε, καὶ τὸ ὄνομά μου
τὸ ἅγιον οὐ βεβηλώσετε οὐκέτι ἐν
καὶ καταβαλοῦσι τὰ τείχη Σὸρ, καὶ καταβαλοῦσι τοὺς πύργους σου, καὶ λικμήσω τὸν χοῦν αὐτῆς ἀπ' αὐτῆς, καὶ δώσω αὐτὴν εἰς λεωπετρίαν. ψυγμὸς σαγηνῶν ἔσται ἐν μέσῳ θαλάσσης, ὅτι ἐγὼ κύριος λελάληκα, λέγει κύριος κύριος. καὶ ἔσται εἰς προνομὴν τοῖς ἔθνεσιν, καὶ αἱ θυγατέρες αὐτῆς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀναιρεθήσονται, καὶ γνώσονται ὅτι ἐγὼ κύριος. ὅτι τάδε λέγει ἀδωναῒ κύριος, ἰδοὺ ἐγὼ ἐπάγω ἐπί σε σόρ, τὸν ναβουχοδονόσορ βασιλέα βαβυλῶνος ἀπὸ βορρᾶ, βασιλεὺς βασιλέων ἐστὶ, μεθ' ἵππων καὶ ἁρμάτων καὶ ἱππέων, καὶ συναγωγῆς ἐθνῶν πολλῆς σφόδρα. οὗτος τὰς θυγατέρας σου τὰς ἐν τῷ πεδίῳ μαχαίρᾳ ἀνελεῖ, καὶ δώσει ἐπί σε πρὸς φυλακὴν, καὶ περιοικοδομήσει, καὶ ποιήσει ἐπί σε χάρακα, καὶ ὡπλίσασιν ὅπλων, καὶ τὰς λόγχας ἀπέναντί σου δώσει τὰ τείχη σου, καὶ τοὺς πύργους σου, καταβαλεῖν ἐν ταῖς μαχαίραις αὐτοῦ, ἀπὸ τοῦ πλήθους τῶν ἵππων αὐτοῦ, κατακαλύψει δὲ ὁ κονιορτὸς αὐτῶν. ἀπὸ φωνῆς τῶν ἱππέων καὶ τῶν τροχῶν τῶν ἁρμάτων αὐτοῦ σεισθήσεται τὰ τείχη σου, εἰσπορευομένου αὐτοῦ τὰς πύλας σου, ὡς εἰσπορευόμενος εἰς πόλιν ἐκ πεδίου ἐν ταῖς ὁπλαῖς τῶν ἵππων αὐτοῦ, καταπατήσουσιν πάσας τὰς πλατείας σου, τὸν λαόν σου μαχαίρᾳ

αὐτ-

& deijciēt muros Sor, & subuertent turres tuas, & uentilabo puluerē eius ab ea, & dabo eam planā petram. Siccatio sagenarum erit in medio maris, quia ego dominus locutus sum, dicit dominus dn̄s. Eritq; direptio gentibus, et filiæ eius in agro gladio interficientur, & scient, quia ego dominus. Quapropter hæc dicit Adonai dominus, Ecce ego adduco super te Tyre Nabuchodonosor, regē Babylonis ab Aquilone, rex regum est, cum equis & curribus & equitibus, & magna multarum gentiū cohorte. Iste filias tuas quę in campo sunt gladio interficiet, & sæpiet te munitione, & circumcirca ædificabit, & circumuallabit te, & arma cum lanceis eius contra te circumstabunt muros tuos, & turres tuas destruendas dabit armis suis, multitudine eq̄rū eius, operiet uerò te puluis eorum, A uoce equitum eius uelabit te, & rotis curruum eius. Commouebuntur muri tui, ingrediente eo portas tuas, quasi ingrediens in urbem ex campo, ungulis equorum suorum conculcabunt omnes plateas tuas. Populum tuum gladio

inter-

interficiet, & substantiam fortitudinis tuæ in terram deducet, & diripiet potentiam tuam, & spoliabit facultates tuas, & destruet muros tuos, & domos tuas desiderabiles subuertet, & lapides tuos, & ligna tua, & puluerem tuum in medium maris iniiciet. Et destruet multitudinem musicorum tuorum, & uox psalteriorum tuorum non audietur amplius, & dabo te in planam petram. Siccatio sagenarum eris, non ædificaberis ultra, quia ego loquutus sum, dicit Adonai dominus. Quia hęc dicit dominus dominus Tyro, Nõne à uoce ruinę tuæ, cum strinxero gladium in medio tui, commouebuntur insulę? Et descendent de solijs suis omnes principes gentium in mari habitantium, & auferent coronas suas. Et uestimentis suis uarijs exuentur, furore insanient, in terra sedebunt, & formidabunt interitum tuum. Et gement super te, & dedēt se lamentis propter te, & dicent tibi, Quomodo periisti, & dissipata es in mari urbs laudabilis? quæ fuit fortis in mari ipsa & habitantes in ea, quæ fuit timor omnibus habitantibus in ea. Et timebunt insulæ à die ruinæ tuæ, & turba-

ἀνελεῖ, καὶ τὴν ὑπόστασιν τῆς ἰσχύος σου ἐπὶ τὴν γῆν κατάξει. καὶ προνομεύσει τὴν δύναμίν σου, καὶ σκυλεύσει τὰ ὑπάρχοντά σου, καὶ καταβαλεῖ τὰ τείχη σου, καὶ τοὺς οἴκους σου τοὺς ἐπιθυμητοὺς, καὶ τοὺς λίθους σου, καὶ τὰ ξύλα, καὶ τὸν χοῦν σου εἰς μέσον τῆς θαλάσσης ἐμβαλεῖ. καὶ καταλύσει τὸ πλῆθος τῶν μουσικῶν σου, καὶ ἡ φωνὴ τῶν ψαλτηρίων σου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι. καὶ δώσω σε εἰς λεωπετρίαν, ψυγμὸς σαγηνῶν ἔσῃ, οὐ μὴ οἰκοδομηθῇς ἔτι, ὅτι ἐγὼ λελάληκα, λέγει ἀδωναὶ κύριος. Διότι τάδε λέγει κύριος κύριος τῇ Σόρ, οὐχὶ ἀπὸ τῆς φωνῆς τῆς πτώσεώς σου ἐν τῷ σπάσαι μάχαιραν ἐν μέσῳ σου, σεισθήσονται αἱ νῆσοι; καὶ καταβήσονται ἐκ τῶν θρόνων αὐτῶν πάντες οἱ ἄρχοντες ἐκ τῶν ἐθνῶν τῆς θαλάσσης, καὶ ἀφελοῦνται τὰς μίτρας ἀπὸ τῶν κεφαλῶν αὐτῶν. καὶ τὸν ἱματισμὸν τὸν ποικίλον αὐτῶν ἐκδύσονται. ἐκστάσει ἐκστήσονται ἐπὶ τὴν γῆν καθιοῦνται, καὶ φοβηθήσονται τὴν ἀπώλειαν αὐτῶν, καὶ στενάξουσιν ἐπὶ σὲ, καὶ λήψονται ἐπὶ σὲ θρῆνον. καὶ ἐροῦσι, πῶς ἀπώλου, καὶ κατελύθης ἐκ θαλάσσης ἡ πόλις ἡ ἐπαινετή; ἥτις ἐγενήθη ἰσχυρὰ ἐν θαλάσσῃ αὐτὴ, καὶ οἱ κατοικοῦντες αὐτὴν, ἡ δοῦσα τὸν φόβον αὐτῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. καὶ φοβηθήσονται αἱ νῆσοι ἀπὸ ἡμέρας πτώσεώς σου, καὶ

ταραχθή-

ταραχθήσονται νῆσοι ἐν τῇ θαλάσσῃ
ἀπὸ τῆς ἐξόδου σου. ὅτι τάδε λέγει κύ
ριος κύριος, ὅταν δώσω σε πόλιν
ἠρημωμένην, ὡς τὰς πόλεις τὰς μὴ
κατοικισθησομένας, ἐν τῷ ἀναγα-
γεῖν με ἐπί σε τὴν ἄβυσσον, καὶ κατα
κλύσει σε ὕδωρ πολύ, καὶ καταβιβά-
σω σε πρὸς τοὺς καταβαίνοντας εἰς
βόθρον, πρὸς λαὸν αἰῶνος. καὶ κα-
τοικιῶ σε εἰς τὰ βάθη τῆς γῆς, ὡς ἔρη
μον αἰώνιον μετὰ καταβαινόντων
εἰς βόθρον, ὅπως μὴ κατοικηθῇς,
μηδὲ ἀνασταθῇς ἐπὶ γῆν ζωῆς. ἀπώ
λειάν σε δώσω, καὶ οὐχ ὑπάρξεις ἔτι.
καὶ ζητηθήσῃ, οὐχ εὑρεθήσῃ εἰς τὸν αἰῶ
να, λέγει κύριος κύριος.

Καὶ ἐγένετο λόγος κυρίου πρός με,
λέγων, καί σὺ υἱὲ ἀνθρώπου λαβὲ ἐπὶ
Σὸρ θρῆνον, καὶ ἐρεῖς τῇ Σὸρ τῇ κα-
τοικούσῃ ἐπὶ τῆς εἰσόδου τῆς θαλάσ-
σης, τῷ ἐμπορίῳ τῶν λαῶν, ἀπὸ νή
σων πολλῶν, τάδε λέγει κύριος κύ
ριος τῇ Σόρ. εἶπας, ἐγὼ περιέθηκα
ἐμαυτῇ κάλλος μου. ἐν καρδίᾳ θα
λάσσης τῷ Βεελεὶμ υἱοί σου περιέθη
κάν σοι κάλλος. κέδρος δὲ αἱ ἐξ ᾠκο
δομήθη σοι, ταινίαι σανίδων κυπά
ρισσοι ἐκ τοῦ Λιβάνου ἐλήφθησαν, τοῦ
ποιῆσαι ἱστοὺς ἐλατίνους ἐκ τῆς Βασα
νίτιδος. ἐποίησαν δὲ ἐλέφαντος οἴ
κους ἀλσώδεις ἀπὸ νήσων τῶν Χεττι
είμ. βύσσος μετὰ ποικιλίας ἐξ Αἰγύ
πτου, ἐγένετό σοι στρωμνὴ τοῦ περιθεῖ
ναί σοι δόξαν, καὶ περιβαλεῖν σε. ὑάκιν
θος

turbabunt insulæ in mari
ab exitu tuo. Quia hęc di
cit dominus dominus, Cū
dedero te urbem desertā,
sicut ciuitates quæ non ha
bitabuntur, inducendo su
per te abyssum, cooperiet
te aqua multa, & deducā
te ad descendentes in foue
am ad populum seculi. Et
collocabo te in profunda
terræ, tanquam solitudi-
nem æternam cum descen
dentibus in foueam, ut nō
habiteris super terram ui-
tę. Interitum te constituā,
nec exisses ulterius, & re-
quireris, et non inuenieris
in ęternum dicit dominus
dominus.

Caput XXVII

Et factum est uerbū do-
mini me dicens, Et tu fili
hominis lamentaberc Ty
rum, & dices Tyro habi-
tanti in introitu maris, em
porio populorum ab insu
lis multis, Hæc dicit domi
nus dominus Sor. Tu dixi
sti, Ego circundedi me or
natu meo. In corde maris
Beelim filio tuo circum-
dedi tibi decorē. Cedrus
ex Sanir ædificata est ti-
bi, coronę tabularū cupres
si ex Libano sumptę sunt,
ut facerent tibi malos abi-
egnos ex Basanitide. Ex
ebore fecerunt prætoria
ex insulis Chettijm. Bys-
sus cum uarietate ex Æ-
gypto facta est tibi le-
ctus, ut circūdaret te glo-
ria, et operiret te. Hyacyn
thus

thus & purpura Elassai fuerunt tegumenta tibi. Et principes tui habitantes in Sidone, & Aradij, fuerunt remiges tui. Seniores librorum, & sapientes eorum qui erant in te, isti confirmabant consilium tuum. Et omnes naues maris & remiges earum, facti sunt tibi in occasus occasuū. Persæ & Lydi & Libyes erant in exercitu tuo, uiri bellatores tui scuta et galeas suspenderūt in te, isti Aradiorū filij auxerunt gloriam tuam. Et potentia tua circum muros tuos in turribus tuis erant custodes, pharetras suas suspenderunt super propugnacula tua, hi undique tuam perfecerunt pulchritudinem. Carthaginenses mercatores tui à multitudine potentiæ tuæ, argentum & aurum & æs, & ferrum, & stannū, et plumbum dederunt in forum tuum. Græcia uniuersa, & finitimæ regiones negociatęque sunt tibi in animab. hominum, & uasa ænea dederunt mercaturæ tuæ, de domo Thorgaba, equos & equites, & mulos dederunt nundinis tuis. Filij Rhodiorum mercatores tui ab insulis multiplicauerūt negociationē tuā, dētes elephātinos. Et introductis reddebas mercedes tuas homines, negociationē tuam à multitudine

con

θος καὶ πορφύρα ἐλισαὶ, ἐγένετο περιβόλαιά σοι. καὶ οἱ ἄρχοντές σου οἱ κατοικοῦντες σιδῶνα, καὶ ἀράδιοι ἐγένοντο κωπηλάται σου. οἱ πρεσβύτεροι βίβλων, καὶ οἱ σοφοὶ αὐτῶν, οἳ ἦσαν ἐν σοὶ, αὐτοὶ ἐνίσχυον τὴν βουλήν σου. καὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης, καὶ οἱ κωπηλάται αὐτῶν ἐγένοντό σοι ἐπὶ δυσμὰς δυσμῶν. πέρσαι καὶ λυδοὶ καὶ λίβυες ἦσαν ἐν τῇ δυνάμει σου, ἄνδρες πολεμισταί σου πέλτας καὶ περικεφαλαίας ἐκρέμασαν ἐν σοὶ, οὗτοι ἔδωκαν τὴν δόξαν σου υἱοὶ ἀραδίων. καὶ ἡ δύναμίς σου ἐπὶ τῶν τειχέων σου κύκλῳ. φύλακες ἐν τοῖς πύργοις σου ἦσαν, τὰς φαρέτρας αὐτῶν ἐκρέμασαν ἐπὶ τῶν ὅρμων σου, κύκλῳ οὗτοι ἐτελείωσάν σου τὸ κάλλος. καρχηδόνιοι ἔμποροί σου, ἀπὸ πλήθους πάσης ἰσχύος σου, ἀργύριον καὶ χρυσίον, καὶ χαλκὸν καὶ σίδηρον, καὶ κασσίτερον καὶ μόλιβδον, ἔδωκαν τὴν ἀγοράν σου. ἡ ἑλλὰς ἡ σύμπασα, καὶ τὰ παρατείνοντα, αὐτοὶ ἐνεπορεύοντό σοι ἐν ψυχαῖς ἀνθρώπων, καὶ σκεύη χαλκᾶ ἔδωκαν τὴν ἐμπορίαν σου, ἐξ οἴκου θοργαβὰ ἵππους καὶ ἱππεῖς καὶ ἡμιόνους ἔδωκαν τὴν ἀγοράν σου. υἱοὶ ῥοδίων ἔμποροί σου, ἀπὸ νήσων ἐπλήθυναν τὴν ἐμπορίαν σου, ὀδόντας ἐλεφαντίνους. καὶ τοῖς εἰσαγομένοις αὐτεδίδου τοὺς μισθούς σου, ἀνθρώπους ἐμπορίαν σου, ἀπὸ πλήθους

τῶ

τῷ συμμίκτου σου, στακτὴν καὶ ποικίλ-
ματα ἐκ θαρσεῖς, καὶ δαμὼθ καὶ χὸρ
ἔδωκαν τὴν ἀγοράν σου. ἰούδας καὶ
οἱ υἱοὶ τοῦ ἰσραὴλ, οὗτοι ἔμποροί σου,
ἐν πράσει σίτου καὶ μύρων καὶ κασ-
σίας, καὶ πρῶτον μέλι καὶ ἔλαιον,
καὶ ῥητίνην ἔδωκαν εἰς τὸν σύμ-
μικτόν σου. δαμασκὸς ἔμποροί σου,
ἐκ πλήθους πάσης δυνάμεώς σου.
οἶνος ἐκ χελβὼν, καὶ ἔρια στιλβὰ
ἐκ μιλήτου, καὶ οἶνον δεδὰν, καὶ ἰαυα-
νὰν, καὶ μεωζὲλ εἰς τὴν ἀγοράν σου ἔ-
δωκαν. ἐξ ἀσὴλ σίδηρος εἰργασμέ-
νος, καὶ τροχὸς ἐν τῷ συμμίκτῳ σου
ἐστί. δεδὰν ἔμποροί σου, μετὰ κτη-
νῶν ἐκλεκτῶν εἰς ἅρματα. ἡ ἀρα-
βία καὶ πάντες οἱ ἄρχοντες κηδὰρ,
οὗτοι ἔμποροι διὰ χειρῶν σου, καμή-
λους καὶ ἀμνοὺς καὶ κριοὺς ἐν οἷς ἐνεπο-
ρεύοντό σε. ἔμποροι σαββὰ καὶ ῥαμ-
μὰ, οὗτοι ἔμποροί σου, μετὰ πρώτων
ἡδυσμάτων, καὶ λίθων χρυσῶν, καὶ
χρυσὸν ἔδωκαν τὴν ἀγοράν σου. χαῤ-
ῥὰν καὶ χαναὰν καὶ δεδὰν, οὗτοι
ἔμποροί σου. καὶ σαββὰ καὶ ἀσσοὺρ,
καὶ χαλμὰν, ἔμποροί σου, φέρον-
τες ἐμπορίαν ὑάκινθον καὶ πορφύ-
ραν, καὶ θησαυροὺς ἐκλεκτοὺς, δε-
δεμένους σχοινίοις, καὶ κυπαρίσσι-
να πλοῖα ἐν αὐτοῖς. καρχηδόνιοι
ἔμποροί σου, ἐν τῷ πλήθει, ἐν τῷ συμ-
μίκτῳ σου, καὶ ἐνεπλήσθης, καὶ ἐβαρύν-
θης σφόδρα ἐν καρδίᾳ θαλάσσης. ἐν
ὕδατι πολλῷ ἦγόν σε οἱ κωπηλάται
σου,

contractus tui, stacten & uarias res, de Tharsis, & Damoth et Chor dederũt in forũ tuũ. Iudas, et filij Israel, isti negociatores tui in frumẽti commercio, & unguentorum, & casiæ & primum mel & oleum, & resinã dederũt in nũdinas tuas. Damascus negociatio tua in multitudine uniuersæ potentiæ tuæ. Vinũ ex Chelbon, et lanã lucidã de Mileto, & uinũ Dedan, et Ioanan, et Meozel in nundinas tuas dederũt. Ex Asel ferrũ fabricatũ, & rota in nũdinis tuis sũt. Dedan negociaores tui cũ iumentis electis ad currus. Arabia, & oẽs principes Cedar, q negociatores ꝑ manũ tuã, camelos et arietes, & agnos, in qbus negociãt te. Mercatores Saba & Ragma, negociatores tui cum primis aromatibus & lapidibus aureis & aurum dederũt in mercatũ tuũ. Charrã, et Channan, & Dedan, isti negociatores tui. Et Saba et Assur, & Chalmad, Mercatores apportantes in mercibus hyacinthum et purpurã, et thesauros electos, ligatos in funibus, & cupressinæ naues in eis. Carthaginẽses mercatores tui, in multitudine, in contractu tuo, & impleta es, & grauata ualde in corde maris. In aqua multa duxerunt te remiges tui

tui. Spiritus Austri contriuit te in corde maris potentia tua, & merces tua, & eorum qui tecum mercantur, & remiges tui, & gubernatores tui, & consiliarii tui, & socij tui ex mercatibus tuis, et omnes uiri bellatores tui, & uniuersa congregatio tua in medio tui cadent in corde maris. In die ruinę tuę, ad uocem clamoris tui gubernatores tui timore timebunt, & descendent à nauibus suis omnes remiges tui, & nautæ tui, & proretæ maris supra terram stabunt, & eiulabunt super te uoce sua, & clamabunt amare, & imponent terram capiti eorum, & cinerem substernent, & radent propter te saluitium, & præcingentur cilicio, & plorabunt propter te in amaritudine animæ, & dedent se lamentis propter te filii eorum, luctum & squalorem tibi. Quis sicut Tyrus, quæ conticuit in medio maris? quantam inuenisti mercedem à mari? Implesti gentes copia tua, et mercaturis tuis ditasti omnes reges terræ, nunc autem contrita es in mari, in profundo aquæ merces tuæ, & omnis congregatio

tuā

σου. τὸ πνεῦμα τοῦ νότου συνέτριψέ σε ἐν καρδίᾳ θαλάσσης, ἦσαν δυνάμεις σου, καὶ ὁ μισθός σου, καὶ τῶν συμμίκτων σου, καὶ οἱ κωπηλάται σου, καὶ οἱ κυβερνῆταί σου, καὶ οἱ σύμβουλοί σου, καὶ οἱ σύμμικτοί σου ἐκ τῶν συμμίκτων σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου ἐν σοὶ, καὶ πᾶσα ἡ συναγωγή σου ἐν μέσῳ σου πεσοῦνται ἐν καρδίᾳ θαλάσσης. ἐν τῇ ἡμέρᾳ τῆς πτώσεώς σου, πρὸς τὴν φωνὴν τῆς κραυγῆς σου οἱ κυβερνῆταί σου φόβῳ φοβηθήσονται, καὶ καταβήσονται ἀπὸ τῶν πλοίων αὐτῶν πάντες οἱ κωπηλάται σου, καὶ οἱ ἐπιβάται, καὶ οἱ πρωρεῖς τῆς θαλάσσης ἐπὶ τὴν γῆν στήσονται, καὶ ἀλαλάξουσιν ἐπί σε τῇ φωνῇ αὐτῶν. κεκράξονται πικρὸν, καὶ ἐπιθήσουσι γῆν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ σποδὸν ἐπιστρώσονται, καὶ φαλακρώσουσιν ἐπί σε φαλακρώματα, καὶ περιζώσονται σάκκον, καὶ κλαύσονται περὶ σοῦ ἐν πικρασμῷ ψυχῆς. καὶ κοπετὸν πικρὸν λήψονται οἱ υἱοὶ αὐτῶν ἐπί σε, θρῆνον καὶ θρήνημά σοι. τίς ὥσπερ Τύρος, κατασιγηθεῖσα ἐν μέσῳ θαλάσσης; πόσον τινὰ εὗρες μισθὸν ἀπὸ θαλάσσης; ἐνέπλησας ἔθνη ἀπὸ τοῦ πλήθους σου, καὶ ἀπὸ τοῦ συμμίκτου σου ἐπλούτισας πάντας βασιλεῖς τῆς γῆς. νῦν συνετρίβης ἐν θαλάσσῃ, ἐν βάθει ὕδατος ὁ σύμμικτός σου, καὶ πᾶσα ἡ συναγωγή

σου

τού ἐν μέσῳ σου. ἐπεσον πάντες οἱ κωπηλάται σου, πάντες οἱ κατοικοῦντες τὰς νήσους ἐστύγνασαν ἐπί σε, καὶ οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐξέστησαν, καὶ ἐδάκρυσαν τὸ πρόσωπον αὐτῶν ἐπί σοι. ἔμποροι ἐθνῶν ἐσύρισάν σε. ἀπώλεια ἐγένου, καὶ οὐκέτι ἔσῃ εἰς τὸν αἰῶνα, λέγει κύριος ὁ θεός.

Καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, καὶ σὺ υἱὲ ἀνθρώπου, εἶπον τῷ ἄρχοντι τύρου, τάδε λέγει κύριος κύριος. ἀνθ' ὧν ὑψώθη σου ἡ καρδία, καὶ εἶπας, θεός εἰμι ἐγώ, κατοικίαν θεοῦ κατῴκησα ἐν καρδίᾳ θαλάσσης, σὺ δὲ εἶ ἄνθρωπος καὶ οὐ θεός, καὶ ἔδωκας τὴν καρδίαν σου ὡς καρδίαν θεοῦ. μὴ σοφώτερος εἶ σὺ τοῦ Δανιήλ; ἢ σοφοὶ οὐκ ἐπαίδευσάν σε ἐν τῇ ἐπιστήμῃ αὐτῶν; μὴ ἐν τῇ ἐπιστήμῃ σου ἢ ἐν τῇ φρονήσει σου ἐποίησας σεαυτῷ δύναμιν; καὶ ἐποίησας χρυσίον καὶ ἀργύριον ἐν τοῖς θησαυροῖς σου, ἢ ἐν τῇ πολλῇ ἐπιστήμῃ σου καὶ ἐμπορίᾳ σου ἐπλήθυνας δύναμίν σου; ὑψώθη ἡ καρδία σου ἐν τῇ δυνάμει σου. διὰ τοῦτο τάδε λέγει κύριος κύριος, ἐπειδὴ ἔδωκας τὴν καρδίαν σου, ὡς καρδίαν θεοῦ, ἀντὶ τούτου ἰδοὺ ἐπί σε ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν, καὶ ἐκκενώσουσι τὰς μαχαίρας αὐτῶν ἐπί σε, καὶ ἐπὶ τὸ κάλλος τῆς ἐπιστήμης σου, καὶ στρώσουσι τὸ κάλλος σου εἰς ἀπώ-

tua in medio tui. Ceciderunt omnes remiges tui, omnes inhabitantes insulas contristabuntur super te, & reges earum stupore stupescent, & flebit facies eorum, negotiatores gentium sibilis te confectati sunt. Interitus factus es, & nõ existes ulterius in æternum, dicit dominus deus.

Et factus est sermo domini ad me, dicens, Et tu fili hominis dic principi Tyri, Hæc dicit dominus dñs. Propterea quod elatum est cor tuum, & dixisti, Deus sum ego, habitationem dei incolui in medio maris, tu autem es homo, & non deus, & dedisti cor tuũ quasi cor dei. nunquid sapientior es tu Daniel? Aut non instituerunt te sapientes in disciplina sua? nunquid scientia tua aut prudentia tua, comparasti tibi potentiã & acquisiuisti argentum & aurum in thesauris tuis, aut multa scientia tua & negociatione tua multiplicasti uires tuas? Eleuatum est cor tuum propter potentiam tuam, idcirco hæc dicit dñs dñs Quoniã dedisti cor tuum, tanquam cor dei, propter hoc ecce ego adduco cõtra te alienos, pestilentes homines ex gentibus, et distringent gladios suos in te, in splendorẽ sciẽtiæ tuæ sternent pulchritudinẽ tuã in interi- Ca. XXVIII

interitum & deducent te, & morieris morte uulneratorum in corde maris. Nũquid dicẽdo inquies, deus ego sum in cõspectu interficientiũ te? tu autẽ es homo, & nõ deus. In multitudine uulnerantium te, morte incircũcisorũ morieris per manus alienorũ, quia ego loquutus sum, dicit Adonai dominus. Et factus est sermo domini ad me, dicens, Filii hominis sume plangorẽ super principẽ Tyri, & dic ei, Hæc dicit dñs dñs. Tu es signaculũ similitudinis, plenus sapiẽtia, & corona decoris, in deliciis paradisi dei fuisti es, omni lapide precioso indutus es, sardio & topazio & smaragdo & carbũculo, & sapphiro et iaspide, et argẽto et auro, & ligyrio & achate, et amethysto & chrysolitho, & beryllo & onychio, et auro cõpleuisti thesauros tuos, & apothecas in te, ex eo die q̃ cõditus es cũ Cherubim, posui te in mõte sancto dei, factus es in medio lapidũ ignitorum, fuisti innocens in diebus tuis, ab eo die quo creatus es, donec inuentæ sunt iniquitates in te. Ex copia enim negotiationis tuæ compleuisti cellas tuas iniquitate, & peccasti, & uulneratus es à monte dei. Et duxit te Cherubim

è me-

ἀπώλειαν, καὶ καταβιβάσουσί σε, καὶ ἀποθανῇ θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσσης. μὴ λέγων ἐρεῖς, θεός εἰμι, ἐνώπιον τῶν ἀναιρούντων σε; σὺ δὲ εἶ ἄνθρωπος, καὶ οὐ θεός. ἐν πλήθει τραυματιζόντων σε, ἐν θανάτῳ ἀπεριτμήτων ἀποθανῇ, ἐν χερσὶν ἀλλοτρίων, ὅτι ἐγὼ λελάληκα, λέγει ἀδωναῒ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, λαβὲ θρῆνον ἐπὶ τὸν ἄρχοντα τύρου, καὶ εἶπον αὐτῷ, τάδε λέγει κύριος κύριος. σὺ ἀποσφράγισμα ὁμοιώσεως πλήρης σοφίας, καὶ στέφανος κάλλους ἐν τῇ τρυφῇ τοῦ παραδείσου τοῦ θεοῦ ἐγενήθης. πάντα λίθον χρηστὸν ἐνδέδυσαι, σάρδιον καὶ τοπάζιον καὶ σμάραγδον καὶ ἄνθρακα καὶ σάπφειρον καὶ ἴασπιν, καὶ ἀργύριον καὶ χρυσίον, καὶ λιγύριον καὶ ἀχάτην, ἀμέθυστον καὶ χρυσόλιθον, καὶ βήρυλλον καὶ ὀνύχιον, καὶ χρυσίον ἐνέπλησας τοὺς θησαυρούς σου, καὶ τὰς ἀποθήκας σου ἐν σοί, ἀφ᾽ ἧς ἡμέρας ἐκτίσθης. μετὰ τοῦ χερουβὶμ ἔδωκά σε ἐν ὄρει ἁγίῳ θεοῦ, ἐγενήθης σὺ ἐν μέσῳ λίθων πυρίνων, ἐγενήθης σὺ ἄμωμος ἐν ταῖς ἡμέραις σου, ἀφ᾽ ἧς ἡμέρας σὺ ἐκτίσθης, ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί. ἀπὸ πλήθους γὰρ τῆς ἐμπορίας σου ἔπλησας τὰ ταμεῖά σου ἀνομίας σου, καὶ ἥμαρτες, καὶ ἐτραυματίσθης ἀπὸ ὄρους τοῦ θεοῦ. καὶ ἤγαγέ σε τὸ χερουβὶμ

ἐκ

ἐκ μέσου λίθων πυρίνων. ὑψώθη ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου, διεφθάρη ἡ ἐπιστήμη σου μετὰ τοῦ κάλλους σου, διὰ πλῆθος τῶν ἁμαρτιῶν σου. ἐπὶ τὴν γῆν ἔρριψά σε, ἐναντίον βασιλέων ἔδωκά σε παραδειγματισθῆναι, διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου, καὶ ἀδικιῶν τῆς ἐμπορίας σου. ἐβεβήλωσας τὰ ἱερά σου, καὶ ἐξάξω πῦρ ἐκ μέσου σου, τοῦτο καταφάγεταί σε. καὶ δώσω σε εἰς σποδὸν ἐπὶ τῆς γῆς σου, ἐναντίον πάντων τῶν ὁρώντων σε. καὶ πάντες οἱ ἐπιστάμενοί σε ἐν τοῖς ἔθνεσι, στυγνάσουσιν ἐπί σε. ἀπώλεια ἐγένου, καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα. καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, στήριξον τὸ πρόσωπόν σου ἐπὶ σιδῶνα, καὶ προφήτευσον ἐπ' αὐτὴν, καὶ εἰπὸν, τάδε λέγει ἀδωναῒ κύριος. ἰδοὺ ἐγὼ ἐπί σε σιδὼν, καὶ ἐνδοξασθήσομαι ἐν σοὶ, καὶ γνώσῃ, ὅτι ἐγώ εἰμι κύριος. καὶ ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα, καὶ ἁγιασθήσομαι ἐν σοὶ, καὶ ἐξαποστελῶ ἐπί σε θάνατον, καὶ αἷμα ἐν ταῖς πλατείαις σου ἔσται, πεσοῦνται τετραυματισμένοι ἐν μαχαίραις ἐν σοὶ περικύκλῳ σου, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος. καὶ οὐκ ἔσονται ἔτι τῷ οἴκῳ ἰσραὴλ σκόλοψ πικρίας, καὶ ἄκανθα ὀδύνης, ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν, τῶν ἀτιμασάντων αὐτοὺς, καὶ γνώσονται ὅτι

è medio lapidum ignitorum. Elatum est cor tuum in decore tuo, corrupta est disciplina tua cũ splendore tuo propter multitudinem peccatorum tuorũ. Humi proieci te, in cõspectu regum dedi te, ut esses ludibrio propter copiam peccatorum tuorum & iniquitatum negociationis tuæ, et cõtaminasti sancta tua, et educam ignem de medio tui, qui consumet te, et dabo te in cinerem super terram, in conspectu omnium uidentium te. Et omnes qui norunt te ex gentibus, contristabuntur propter te. Interitus factus es, et non exi stes ultra in seculum. Et factus est sermo domini ad me, dicens, Fili hominis firma faciem tuam contra Sidonem, et uaticinare super eam, et dic, Hæc dicit Adonai dñs. Ecce ego ad te Sidon, et glorificabor in te, et scies me esse dominũ. Et cũ fecero ego in te iudicia, et sanctificabor in te, et emittam in te mortem, et sanguinem in plateis tuis, et cõficientur uulnerati gladiis in te in circuitu tuo, et cognoscẽt me esse dominum. Et nõ erunt amplius domui Israel offensio amaritudinis, et spina doloris ab omnibus qui circum eos sunt, qui contumelia affecerunt eos, et cognoscent, quod

quod ego sum Adonai dominus. Hæc dicit Adonai dominus, Congregabo domum Israel de gentibus, ubi dispersi sunt, & sanctificabor in eis coram populis & gentibus. Et habitabunt in terra sua, quam dedi seruo meo Iacob, & inhabitabunt eam in spe, & ædificabunt domos, & instituent uineas, habitabunt in spe, cum fecero iudicium in omnibus qui contumelia affecerunt eos in circuitu eorum. Et scient me esse dominum deum eorum, & deum patrum eorum.

ὅτι ἐγώ εἰμι ἀδωναῒ κύριος. τάδε λέγει ἀδωναῒ κύριος, συνάξω τὸν οἶκον τοῦ ἰσραὴλ ἐκ τῶν ἐθνῶν, οὗ διεσκορπίσθησαν ἐκεῖ, καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς, ἐνώπιον τῶν λαῶν καὶ τῶν ἐθνῶν. καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτοῦ, ἣν ἔδωκα τῷ δούλῳ μου ἰακώβ, καὶ κατοικήσουσιν ἐπ᾽ αὐτῆς ἐν ἐλπίδι, καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ κατοικήσουσιν ἐν ἐλπίδι. ὅταν ποιήσω κρίσιν ἐν πᾶσι τοῖς ἀτιμάσασιν αὐτῶν ἐν τοῖς κύκλῳ αὐτοῦ. καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτοῦ, καὶ ὁ θεὸς τῶν πατέρων αὐτοῦ.

Ca.XXIX. In anno decimo in decimo mense, primo mensis, factum est uerbum domini ad me, dicens; Fili hominis firma faciem tuam super Pharaonem regem Ægypti, & uaticinare ei, & uniuersę Ægypto loquere & dic, Hæc dicit Adonai dominus. Ecce ego ad te Pharaonem regem Ægypti, draconem magnum sedentem in medio fluuiorum tuorum, ac dicentem, mea sunt flumina, & ego feci ea, & ego dabo frenum in maxillas tuas, & adiungam pisces fluminis tui ad alas tuas, & extraham te de medio fluminis tui, & oēs pisces

Ἐν τῷ ἔτει τῷ δεκάτῳ, ἐν τῷ δεκάτῳ μηνί, μιᾷ τοῦ μηνός, ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ φαραὼ βασιλέα αἰγύπτου, καὶ προφήτευσον ἐπ᾽ αὐτόν, καὶ ἐπ᾽ αἴγυπτον ὅλην λάλησον, καὶ εἰπόν, τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐπί σε φαραὼ βασιλέα αἰγύπτου, τὸν δράκοντα τὸν μέγαν, τὸν ἐγκαθήμενον ἐν μέσῳ ποταμῶν αἰγύπτου, τὸν λέγοντα, ἐμοί εἰσιν οἱ ποταμοί, καὶ ἐγὼ ἐποίησα αὐτούς, καὶ ἐγὼ δώσω παγίδα εἰς τὰς σιαγόνας σου, καὶ προσκολλήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ σου. καὶ πρὸς τὰς πτέρυγάς σου, καὶ ἀνάξω σε ἐκ μέσου τοῦ ποταμοῦ σου, καὶ πάντας τοὺς

τοὺς ἰχθύας τοῦ ποταμοῦ, καὶ καταϐαλῶ σε ἐν τάχει, καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου. ἐπὶ πρόσωπον τοῦ πεδίου πεσῇ, καὶ οὐ μὴ συναχθῇς, καὶ οὐ μὴ περισταλῇς. τοῖς θηρίοις τῆς γῆς, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ δέδωκά σε εἰς βρῶμα, καὶ γνώσονται πάντες οἱ κατοικοῦντες εἰς αἴγυπτον, ὅτι ἐγώ εἰμι κύριος. ἀνθ' ὧν ἐγενήθης ῥάϐδος καλαμίνη τῷ οἴκῳ ἰσραὴλ, ὅτι ἐπελάϐετό σου τῇ χειρὶ αὐτῶν, ἐθλάσθης, καὶ ὅτι ἐπεκρότησεν ἐπ' αὐτοὺς πᾶσα χείρ, καὶ ὅτι ἐπανεπαύσαντο ἐπί σε, συνετρίϐης, καὶ συνέθλασας αὐτῶν πᾶσαν ὀσφύν. ἰδοὺ ἐγὼ, τάδε λέγει κύριος κύριος, ἰδοὺ ἐγὼ ἐπάγω ἐπί σε ῥομφαίαν, καὶ ἀπολῶ ἀπό σου ἄνθρωπον καὶ κτήνη, καὶ ἔσται ἡ γῆ αἰγύπτου ἀπώλεια καὶ ἔρημος. καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος, ἀντὶ τοῦ λέγειν σε, οἱ ποταμοὶ ἐμοί εἰσι, καὶ ἐγὼ ἐποίησα αὐτούς, διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπί σε, καὶ ἐπὶ πάντας τοὺς ποταμούς σου, καὶ δώσω τὴν γῆν αἰγύπτου εἰς ἔρημον, καὶ ῥομφαίαν καὶ ἀπώλειαν ἀπὸ μαγδώλου καὶ συήνης, καὶ ἕως ὁρίων αἰθιόπων. οὐ μὴ διέλθῃ δι' αὐτῆς πούς ἀνθρώπου, καὶ πους κτήνους οὐ μὴ διέλθῃ αὐτήν, καὶ οὐ μὴ κατοικηθήσεται τεσσαράκοντα ἔτη, καὶ δώσω τὴν γῆν αὐτῆς εἰς ἀπώλειαν ἐν μέσῳ γῆς ἠρημωμένης,

pisces fluminis, & deponam te velociter, & omnes pisces fluminis tui. Super faciem campi cades, & non congregaberis, & non colligeris. Bestijs terræ & uolatilibus cœli dedi te deuorandum, & scient omnes habitatores in Ægypto me dominum esse. Eo quod fuisti uirga arundinea domui Israel, quando apprehenderunt te manu sua, confractus es, & quando plausit super eos omnis manus. Et quando requieuerunt super te, contritus es, et confregisti omnem lumbum eorum. Ecce ego dicit dominus dominus, ecce ego adduco super te gladium, & perdam ex te homines & iumenta, & erit in terra Ægypti interitus & desertum, & noscent me esse dominum, eo quod dixeris, flumina mea sunt, & ego feci illa. Idcirco ecce ego ad te, & ad omnia flumina tua, & constituam terram Ægypti in desertũ, et gladium & interitum à Magdolo & Syene, & usq; ad terminos Æthiopum. Non transibit per eã pes hominis, & pes iumenti nõ gradiet in ea, & nõ habitabitur quadraginta annos, et dabo terram eius in interitum in medio terræ deser-

tæ,& ciuitates eius in me
dio ciuitatum desertarum
erunt solitudo quadragin
ta annis. Et dispergã Æ-
gyptum in gentibus, &
uentilabo eos in regioni-
bus, hæc dicit dominus
dominus. Post quadragin
ta annos congregabo Æ-
gyptios ex gentibus, in q
bus dispersi sunt, et auertã
captiuitatẽ Ægyptiorũ, et
collocabo eos in terra Ba
thores, in terra ex qua sum
pti sunt, & erit principa-
tus humilior omnib. prin-
cipatibus, nec in altũ pro-
uehetur amplius super gẽ-
tes, & efficiam ne gentes
numero superẽt reliquos,
& Israel nõ amplius spem
ponet in eis, quæ recorde-
tur iniquitatis, ut cordiũ
eorum uoluntatem ipsi se-
quuntur, & noscent me es
se Adonai dominũ. Et
factum est in septimo &
uicesimo anno, una men-
sis primi, factum est uerbũ
domini ad me, dicens, Fili
hominis, Nabuchodono-
sor rex Babylonis in serui
tutem tradidit exercitum
suum seruitute magna con
tra Tyrum, omne caput
caluum, & omnis hume-
rus pilis carens & merces
non fuit illi & exercitui
eius aduersum Tyrũ, pro-
pter seruitutem qua seruie
rũt aduersus eã. Propterea
hæc dicit dñs dñs, Ecce
do Nabuchodonosori re
gi

μένης, καὶ αἱ πόλεις αὐτῆς ἐν μέσῳ
πόλεων ἠρημωμένων ἔσονται, τεσ-
σαράκοντα ἔτη ἀφανισμὸς ἔσται. καὶ
διασπερῶ αἴγυπτον ἐν τοῖς ἔθνεσι,
καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας.
ὅτι τάδε λέγει κύριος κύριος, με-
τὰ τεσσαράκοντα ἔτη συνάξω τοὺς
αἰγυπτίους ἀπὸ τῶν ἐθνῶν, οὗ διεσκορ
πίσθησαν ἐκεῖ. καὶ ἀποστρέψω τὴν
αἰχμαλωσίαν τῶν αἰγυπτίων, καὶ κα
τοικιῶ αὐτοὺς ἐν γῇ παθούρης, ἐν γῇ
ὅθεν ἐλήφθησαν, καὶ ἔσται ἡ ἀρχὴ τα-
πεινὴ παρὰ πάσας ἀρχάς. οὐ μὴ ὑ-
ψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη, καὶ ὀλιγοστοὺς
αὐτοὺς ποιήσω, τοῦ μὴ εἶναι αὐτοὺς
πλείονας ἐν τοῖς ἔθνεσι, καὶ οὐκέτι
ἔσονται ἐν τῷ ἰσραὴλ εἰς ἐλπίδα ἀ-
ναμιμνήσκουσαν ἀνομίαν, ἐν τῷ ἀ-
κολουθῆσαι αὐτοὺς ὀπίσω τῶν καρ-
διῶν αὐτῶν. καὶ γνώσονται, ὅτι ἐ-
γώ εἰμι ἀδωναῒ κύριος. Καὶ ἐγένε-
το ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει, μιᾷ
τοῦ μηνὸς τοῦ πρώτου, ἐγένετο λό-
γος κυρίου πρός με, λέγων, υἱὲ ἀν-
θρώπου, ναβουχοδονόσορ βασιλεὺς
βαβυλῶνος κατεδουλώσατο τὴν δύ-
ναμιν αὐτοῦ, δουλείαν μεγάλην ἐπὶ
τύρου, πᾶσα κεφαλὴ φαλάκρωμα,
καὶ πᾶς ὦμος μαδῶν, καὶ μι-
σθὸς οὐκ ἐγενήθη αὐτῷ, καὶ τῇ δυνά-
μει αὐτοῦ ἐπὶ τύρου, καὶ τῆς δουλείας,
ἧς ἐδουλεύσαν ἐπ' αὐτήν. διὰ τοῦ-
το τάδε λέγει κύριος κύριος, ἰ-
δοὺ δίδωμι τῷ ναβουχοδονόσορ βα
σιλεῖ

λεῖ Βαβυλῶνος γῆν Αἰγύπτου, καὶ
λήψεται τὸ πλῆθος αὐτῆς, καὶ προ-
νομεύσει τὴν προνομὴν αὐτῆς, καὶ
ἔσται μισθὸς τῇ δυνάμει αὐτοῦ, ἀντὶ
τῆς λειτουργείας αὐτοῦ ἧς ἐδούλευσεν
ἐπὶ Τύρον, δέδωκα αὐτῷ εἰς γῆν Αἰ-
γύπτου, ὅσα ἐποίησάν μοι. τάδε λέ-
γει κύριος, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀ-
νατελεῖ κέρας παντὶ τῷ οἴκῳ Ἰσρα-
ήλ, καὶ σοὶ δώσω στόμα ἀνεῳγμέ-
νον ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται ὅτι
ἐγώ εἰμι κύριος.

Καὶ ἐγένετο λόγος κυρίου πρός
με, λέγων, υἱὲ ἀνθρώπου προφήτευ-
σον, καὶ εἶπον, τάδε λέγει Ἀδωναὶ κύ-
ριος. ὦ ὦ ἡμέρα, ὀλολύξατε, ὅτι ἐγ-
γὺς ἡμέρα τοῦ κυρίου, ἡμέρα νεφέλης,
πέρας ἐθνῶν ἔσται. καὶ ἥξει ἡ μάχαι-
ρα ἐπ' Αἰγυπτίους, καὶ ἔσται ταρα-
χὴ ἐν τῇ Αἰθιοπίᾳ, καὶ πεσοῦνται
τετραυματισμένοι ἐν Αἰγύπτῳ, καὶ
λήψονται τὸ πλῆθος αὐτῆς, καὶ συμ-
πεσεῖται τὰ θεμέλια αὐτῆς. Πέρσαι,
καὶ Κρῆτες καὶ Λυδοί, καὶ Λίβυες,
καὶ πάντες ἐπίμικτοι, καὶ τῶν υἱῶν
τῆς διαθήκης μου ἐν αὐτῇ μαχαίρᾳ
πεσοῦνται. καὶ πεσοῦνται τὰ ἀντι-
στηρίγματα Αἰγύπτου, καὶ καταβή-
σεται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς, ἀπὸ
Μαγδαλοῦ ἕως Συήνης. μαχαίρᾳ πε-
σοῦνται ἐν αὐτῇ, λέγει Ἀδωναὶ κύρι-
ος, καὶ ἐρημωθήσονται ἐν μέσῳ χωρῶν
ἠφανισμένων, καὶ αἱ πόλεις αὐτῆς ἐν
μέσῳ πόλεων ἠρημωμένων ἔσονται,
καὶ

gi Babylonis terram Æ-
gypti, & capiet multitu-
dinem eius, & spoliabit
spolia eius, & erit mer-
ces exercitui eius pro mi-
nisterio eius, quo seruiuit
aduersus Tyrum, dedi eã
in terram Ægypti, quæ
cunq; mihi fecit. Hæc di-
cit dñs, In die illo orietur
cornu uniuersæ domui Is-
rael, & dabo tibi os aper-
tum in medio eorum, &
scient quia ego sum dñs.

Et factus est sermo do- Caput XXX
mini ad me, dicẽs, Fili ho-
minis uaticinare, & dic,
Hæc dicit Adonai dñs. O
ô dies, plorabitis quoniã
appropinquat dies dñi, di
es nubis, & tempus gen-
tium erit, et ueniet gladius
aduersus Ægyptios, & e-
rit tumultus in Æthiopia,
& cadẽt uulnerati in Æ-
gypto, & capient multitu
dinem eius, & concident
fundamenta eius. Persæ
& Cretenses & Lydi &
Libyes, & uulgus cõmi-
xtum, et ex filiis testamen
ti mei gladio conficientur
cum eis. Et concidẽt bases
& fundamẽta Ægypti, et
descẽdet cõtumelia robo-
ris eius à Magdalo usque
Syenen. Gladio cadẽt in
ea, dicit Adonai dñs, et in
solitudinẽ redigetur in me
dio regionum desertarũ,
et ciuitates eius in medio
urbium desertarum erunt.

& cognoscēt, q̄d ego sum
dn̄s, cū dem ignē in Ægy
ptū, & cōtriti fuerint oēs
qui auxiliant̄ ei. In die il-
lo egredien̄t nuncij, festinā
tes ad uastandam Æthio-
piam, & contremiscent in
die Ægypti, quia ecce ue
nit. Hæc dicit dn̄s dn̄s. Et
perdā multitudinē Ægy-
ptiorū p manū Nabucho-
donosor regis Babylonis,
ipsius et populi ei⁹ cū eo,
pestiferi de gentib. missi
ad perdendū terrā. Et di-
stringent omnes gladios
suos in Ægyptum, & cō-
plebitur terra hominibus
uulneratis. Et dabo fluui-
os eorum desertos, & tra-
dam terram in manu ma-
lorum, & disperdam regi
onem & plenitudinē eius
per manus alienorū, nam
ego dominus locutus sum.
Zach.13 Hæc enim dicit dn̄s dn̄s.
Et perdam fastidiū, & effi
ciā ut cessent, & optima-
tes Memphis, & princi-
pes terræ Ægypti, & nō
erunt ultra. Et terrorem
afferam terræ Ægypti,
& deuastabo oram Ba-
thures, & dabo ignem su-
per Tanē, et ulciscar Dio
spolim, & effundam furo-
rem meū super Sain robur
Ægypti, & dissipabo co
pias Memphis, & incen-
dium excitabo in Ægy-
ptū, & turbatione turba-
bitur Sais, & in Diospo-
li erit ruptura, & diffun-
dentur aquæ. Iuuenes
Heli

καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος,
ὅταν δῶ πῦρ ἐπ' αἴγυπτον, καὶ συν-
τριβῶσι πάντες οἱ βοηθοῦντες αὐ-
τῇ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσονται
ἄγγελοι σπεύδοντες ἀφανίσαι τὴν
αἰθιοπίαν, καὶ ἔσται ταραχὴ ἐν αὐ-
τοῖς ἐν τῇ ἡμέρᾳ αἰγύπτου, ὅτι ἰδοὺ
ἥκει, τάδε λέγει κύριος κύριος, καὶ
ἀπολῶ πλῆθος αἰγυπτίων διὰ χει-
ρὸς ναβουχοδονόσορ βασιλέως βαβυ-
λῶνος αὐτοῦ, καὶ τοῦ λαοῦ αὐτοῦ, λοι-
μοὶ ἀπὸ ἐθνῶν ἀπεσταλμένοι, ἀπο-
λέσαι τὴν γῆν. καὶ ἐκκενώσουσι πάν-
τες τὰς μαχαίρας αὐτῶν ἐπ' αἴ-
γυπτον, καὶ πλησθήσεται ἡ γῆ τραυ-
ματιῶν. καὶ δώσω τοὺς ποταμοὺς
αὐτῶν ἐρήμους, καὶ ἀποδώσομαι τὴν
γῆν ἐν χειρὶ πονηρῶν, καὶ ἀπολῶ
τὴν γῆν, καὶ τὸ πλήρωμα αὐτῶν,
σὺν τῷ πληρώματι αὐτῆς, ἐν χερ-
σὶν ἀλλοτρίων, ὅτι ἐγὼ κύριος ἐλά-
λησα. ὅτι τάδε λέγει κύριος κύρι-
ος, καὶ ἀπολῶ βδελύγματα, καὶ κα-
ταπαύσω μεγιστᾶνας ἀπὸ μέμφεως,
καὶ ἄρχοντας ἐκ γῆς αἰγύπτου, καὶ οὐκ
ἔσονται ἔτι. καὶ ἀπολῶ γῆν παθού-
ρης, καὶ δώσω πῦρ ἐπὶ τάνιν, καὶ ποιή-
σω ἐκδίκησιν ἐν διοσπόλει. καὶ ἐκ-
χεῶ τὸν θυμόν μου ἐπὶ σαῒν τὴν ἰσ-
χὺν αἰγύπτου. καὶ ἀπολῶ τὸ πλῆθος
μέμφεως, καὶ δώσω πῦρ ἐπ' αἴγυ-
πτον, καὶ ταραχῇ ταραχθήσεται ἡ
σαΐς, καὶ ἐν διοσπόλει ἔσται ἔκρηγμα,
καὶ διαχυθήσεται ὕδατα. νεανίσκοι
ἡλίου

ἡλιουπόλεως καὶ βουβάστου ἐν μαχαίρᾳ πεσοῦνται, καὶ αἱ γυναῖκες ἐν αἰχμαλωσίᾳ πορεύσονται, καὶ ἐν τάφναις συσκοτάσει ἡ ἡμέρα, ἐν τῷ συντρίψαι ἐκεῖ τὰ σκῆπτρα αἰγύπτου, καὶ ἀπολεῖται ἐκεῖ ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς, καὶ αὐτὴν νεφέλη καλύψει, καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀχθήσονται. καὶ ποιήσω κρίματα ἐν αἰγύπτῳ, καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος. Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ πρώτῳ μηνί, ἑβδόμῃ τοῦ μηνὸς ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, τοὺς βραχίονας φαραὼ βασιλέως αἰγύπτου συνέτριψα, καὶ ἰδοὺ οὐ κατεδέθη τοῦ δοθῆναι ἴασιν, τοῦ δοθῆναι ἰσχὺν ἐπιλαβέσθαι μαχαίρας. διὰ τοῦτο τάδε λέγει κύριος κύριος, ἰδοὺ ἐγὼ ἐπὶ φαραὼ βασιλέα αἰγύπτου, καὶ συντρίψω τοὺς βραχίονας αὐτοῦ τοὺς ἰσχυροὺς, καὶ τεταμμένους καὶ τοὺς συντριβομένους, καὶ καταβαλῶ τὴν μάχαιραν αὐτοῦ ἐκ τῆς χειρὸς αὐτοῦ, καὶ διασπερῶ αἴγυπτον εἰς τὰ ἔθνη, καὶ λικμήσω αὐτοὺς εἰς τὰς χώρας, καὶ κατισχύσω τοὺς βραχίονας βασιλέως βαβυλῶνος, καὶ δώσω τὴν ῥομφαίαν μου εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἐπάξει αὐτὴν ἐπ' αἴγυπτον, καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς, καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς. καὶ ἐνισχύσω τοὺς βραχίονας βασιλέως βαβυλῶνος,

ει

Heliopolis & Bubasti ferro trucidabuntur, & mulieres in captiuitatẽ ibũt, et in Taphnis tenebræ diẽ obscurabunt, cum contriuero illic sceptra Ægypti, & peribit illic contumelia roboris eius, & hãc nubes operiet, & filię eius captiuæ ducentur, & faciam iudicia in Ægypto, et cognoscent me dominũ esse. Et factum est in undecimo anno, in primo mense, septimo mensis, factum est uerbum domini ad me, dicens, Fili hominis brachia Pharaonis regis Ægypti cõfregi, & ecce nõ obsecrauit, ut restituatur sanitati, et detur robur ad capiendũ gladios. Propterea hæc dicit dominus dominus. Ecce ego contra Pharao regem Ægypti, & comminuã brachia eius fortia, & extenta & confracta, & deijciã gladiũ eius de manu eius, & disseminabo Ægyptũ in gentes, et uentilabo eos in regiones, & corroborabo brachia regis Babylonis, & tradam gladium meum in manum eius, & inducet gladium aduersus Ægyptum, & prædabit prædam eius, & spoliabit spolia eius. Et roborabo brachia regis Babylonis,

at brachia Pharao cadent, & scient me esse dominum, cum dedero gladium meum in manus regis Babylonis, et extendet eum super terram Ægyptum in gentes, & uentilabo eos in regiones, & scient Ægyptij me esse dominnm.

Caput XXXI Et factum est in undecimo anno, in tertio mense, primo mensis, factum est uerbum domini ad me, dicens, Fili hominis dic ad Pharao regem Ægypti, & copias eius, Cui assimilasti teipsum in excelsitate tua? Ecce Assur cupressus in Libano et pulcher propaginibus, et densus in umbra, et excelsus magnitudine. In medias nubes factum est initium eius, aqua enutriuit eum, abyssus prouexit eum, flumina eius duxit undique circum plantas eius, et congregationes eius emisit ad uniuersa ligna campi, propter hoc euecta est magnitudo eius ultra omnia ligna campi, et multiplicati sunt rami eius, et in altum productæ sunt propagines eius ab aqua multa. In propaginibus eius nidos construxerunt omnia uolatilia cœli, et sub ramis eius genuerunt omnes bestiæ campi,

οἱ δὲ βραχίονες φαραὼ πεσοῦνται. καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος, ἐν τῷ δοῦναί με τὴν ῥομφαίαν εἰς χεῖρας βασιλέως βαβυλῶνος, καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν αἰγύπτου, καὶ διασπερῶ αἴγυπτον εἰς τὰ ἔθνη, καὶ λικμύσω αὐτοὺς εἰς χώρας, καὶ γνώσονται πάντες οἱ αἰγύπτιοι, ὅτι ἐγώ εἰμι κύριος.

Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει, ἐν τῷ τρίτῳ μηνὶ μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, εἶπον πρὸς φαραὼ βασιλέα αἰγύπτου, καὶ τῷ πλήθει αὐτοῦ, τίνι ὡμοίωσας σεαυτὸν ἐν τῷ ὕψει σου; ἰδοὺ ἀσσοὺρ κυπάρισσος ἐν τῷ λιβάνῳ, καὶ καλὸς ταῖς παραφυάσι, καὶ πυκνὸς ἐν τῇ σκέπῃ, καὶ ὑψηλὸς τῷ μεγέθει. εἰς μέσον νεφελῶν ἐγένετο ἡ ἀρχὴ αὐτοῦ, ὕδωρ ἔθρεψεν αὐτὸν, ἡ ἄβυσσος ὕψωσεν αὐτὸν, τοὺς ποταμοὺς αὐτοῦ, ἤγαγε κύκλῳ τῶν φυτῶν αὐτοῦ, καὶ τὰ συστήματα αὐτῆς ἐξαπέστειλεν εἰς πάντα τὰ ξύλα τοῦ πεδίου. ἕνεκεν τούτου ὑψώθη τὸ μέγεθος αὐτοῦ παρὰ πάντα τὰ ξύλα τοῦ πεδίου, καὶ ἐπληθύνθησαν οἱ κλάδοι αὐτοῦ, καὶ ὑψώθησαν αἱ παραφυάδες αὐτοῦ ἐφ' ὕδατος πολλοῦ. ἐν ταῖς παραφυάσιν αὐτοῦ ἐνόσσευσαν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὑπὸ κάτω τῶν κλάδων αὐτοῦ ἐγεννῶσαν πάντα τὰ θηρία

ξ

τοῦ πεδίου, ἐν τῇ σκιᾷ αὐτοῦ κατῴ-
κησε πᾶν πλῆθος ἐθνῶν. καὶ ἐγένε-
το κάλλος τῷ ὕψει αὐτοῦ διὰ τὸ μῆ-
κος τῶν κλάδων αὐτοῦ, ὅτι ἐγενή-
θησαν αἱ ῥίζαι αὐτοῦ εἰς ὕδωρ πολύ.
κυπάρισσοι τοιαῦται μὴ ἐν τῷ παρα-
δείσῳ τοῦ θεοῦ, καὶ πίτυες οὐχ ὅμοιαι
ταῖς παραφυάσιν αὐτοῦ, καὶ ἐλάται
οὐκ ἐγένοντο ὅμοιοι τοῖς κλάδοις αὐ-
τοῦ. πᾶν ξύλον ἐν τῷ παραδείσῳ
τοῦ θεοῦ οὐχ ὡμοιώθη αὐτῷ ἐν τῷ
κάλλει αὐτοῦ, διὰ τὸ πλῆθος τῶν
κλάδων αὐτοῦ. καὶ ἐζήλωσαν αὐ-
τὸν τὰ ξύλα τοῦ παραδείσου, τῆς τρυ-
φῆς τοῦ θεοῦ. διὰ τοῦτο τάδε λέγει κύρι-
ος κύριος, ἀνθ' ὧν ἐγένου μέγας
τῷ μεγέθει, καὶ ἔδωκας τὴν ἀρ-
χήν σου εἰς μέσον νεφελῶν, καὶ εἶ-
δον ἐν τῷ ὑψωθῆναι αὐτόν, καὶ
παρέδωκα αὐτὸν εἰς χεῖρας ἀρχόν-
των ἐθνῶν, καὶ ἐποίησαν τὴν ἀπώ-
λειαν αὐτοῦ, καὶ ἐξωλόθρευσαν αὐ-
τὸν ἀλλότριοι λοιμοὶ ἀπὸ ἐθνῶν,
καὶ κατέβαλον αὐτὸν ἐπὶ τῶν ὀ-
ρέων. ἐν πάσαις ταῖς φάραγξιν ἔ-
πεσον οἱ κλάδοι αὐτοῦ, καὶ συνε-
τρίβη τὰ στελέχη αὐτοῦ ἐν παντὶ πε-
δίῳ τῆς γῆς, καὶ κατέβησαν ἀπὸ τῆς
σκέπης αὐτῶν πάντες οἱ λαοὶ τῶν
ἐθνῶν. καὶ ἠδάφισαν αὐτόν, καὶ
ἀνεπαύσατο πάντα τὰ πετεινὰ τοῦ
οὐρανοῦ, ἐπὶ τὰ στελέχη αὐτοῦ πάν-
τα τὰ θηρία τοῦ ἀγροῦ, ὅπως μὴ ὑ-
ψωθῶσιν ἐν τῷ μεγέθει αὐτῶν πάν-
τα

campi, in umbra illius ha-
bitauit omnis multitudo
gentiū. Et erat pulcher in
celsitate sua propter multi
tudinem ramorū suorum,
creuerunt radices eius in
aquis multis. Tales cupres
si non sunt in paradiso dei,
& pinus non similes pro-
paginibus eius, & abietes
non fuerunt similes ramis
eius. Omne lignum in pa-
radiso dei non assimilatū
est ei in pulchritudine ei⁹.
propter copiam ramorum
eius. Et ęmulata sunt ei lig
na paradisi deliciarū dei.
Propterea hęc dicit domi
nus dominus. Quoniam
factus es magnus magnitu
dine, et collocasti initium
tuum in medijs nubibus,
& uidi, cum efferret ip-
sum, & tradidi eum in ma
nus principis gentium, &
perdiderunt eum. Et ex-
terminauerunt eum alienī
homines perniciosi de gē
tibus, & deiecerunt eum
de montibus, in cūctis ual
libus ceciderūt rami eius,
& confracti sunt stirpes
eius in omni campo terrę,
& descenderunt ab um-
braculo eius omnes po-
puli gentium. Et stra-
uerunt eum, & requie-
uerunt omnia uolatilia
cœli, & in truncis eius fu-
erunt omnes bestiae agri,
ut non in altū turbarentur
in magnitudine sua om-
nia

nia ligna quæ in aqua. Et non posuerunt initium suum in medium nubiū, et non steterunt in sublimitate sua ad eum. Omnes bibentes aquam, omnes traditi sunt morti in terræ profundum, in medio filiorū hominū in foueam descendentium. Hæc dicit dominus dominus. In qua die descendit ad inferos, luxit eū abyssus. Et obstiti fluminibus eius, & impediui multitudinem aquæ, & tenebris offusus est super eum Libanus, omnia ligna campi super eum soluta sunt. A sono ruinæ eius commotę sunt gentes, quando deducebam eum in infernū cum descendentibus in lacum, & consolabantur eū in terra infima omnia ligna deliciarū, & electa pulcherrima Libani, uniuersa bibētia aquā. Etenim & ipsi descenderunt cum eo in infernū in uulneratis gladio, & semē eius habitans sub umbraculo eius in medio uitę suę perierunt. Cui assimilatus es? Descende, et depellere cum lignis deliciarum in terræ profundum. In medio incircumcisorum dormies cū uulneratis gladio. Sic Pharao et omnis multitudo potentię eius, dicit dominus dominus.

πάντα τὰ ξύλα τὰ ἐν τῷ ὕδατι. οὐκ ἔδωκαν τὴν ἀρχὴν αὐτῶν εἰς μέσον νεφελῶν, καὶ οὐκ ἔστησαν ἐν τῷ ὕψει αὐτῶν πρὸς αὐτόν. πάντες οἱ πίνοντες ὕδωρ, πάντες ἐδόθησαν εἰς θάνατον, εἰς γῆς βάθος, ἐν μέσῳ υἱῶν ἀνθρώπων πρὸς καταβαίνοντας εἰς βόθρον. τάδε λέγει κύριος κύριος. ἐν ᾗ ἡμέρᾳ κατέβη εἰς ᾅδου, ἐπένθησεν αὐτὸν ἡ ἄβυσσος. καὶ ἐπέστησα τοὺς ποταμοὺς αὐτῆς, καὶ ἐκώλυσα πλῆθος ὕδατος, καὶ ἐσκότασεν ἐπ᾽ αὐτὸν ὁ λίβανος, πάντα τὰ ξύλα τοῦ πεδίου ἐπ᾽ αὐτῷ ἐξελύθησαν. ἀπὸ τῆς φωνῆς τῆς πτώσεως αὐτοῦ ἐσείσθησαν τὰ ἔθνη, ὅτε κατεβίβαζον αὐτὸν εἰς ᾅδου, μετὰ τῶν καταβαινόντων εἰς λάκκον, καὶ παρεκάλουν αὐτὸν ἐν γῇ κάτω πάντα τὰ ξύλα τῆς τρυφῆς, καὶ τὰ ἐκλεκτὰ τοῦ λιβάνου πάντα τὰ πίνοντα ὕδωρ. καὶ γὰρ αὐτοὶ κατέβησαν μετ᾽ αὐτοῦ εἰς ᾅδου ἐν τοῖς τραυματίαις ἀπὸ μαχαίρας, καὶ τὸ σπέρμα αὐτοῦ, οἱ κατοικοῦντες ὑπὸ τὴν σκέπην αὐτοῦ ἐν μέσῳ τῆς ζωῆς αὐτῶν ἀπώλοντο. τίνι ὡμοιώθης; κατάβηθι, καὶ καταβιβάσθητι μετὰ τῶν ξύλων τῆς τρυφῆς εἰς γῆς βάθος. ἐν μέσῳ ἀπεριτμήτων κοιμηθήσῃ, μετὰ τραυματιῶν ἀπὸ μαχαίρας. οὕτως φαραώ, καὶ πᾶν πλῆθος τῆς ἰσχύος αὐτοῦ, λέγει κύριος κύριος.

Caput XXXII

Et factum est in duodecimo anno, in duodecimo mense, una

Καὶ ἐγένετο ἐν τῷ δωδεκάτῳ ἔτει, ἐν τῷ δωδεκάτῳ μηνί, μιᾷ

τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου πρός
με, λέγων, υἱὲ ἀνθρώπου, λαβὲ θρῆ-
νον ἐπὶ φαραὼ βασιλέα αἰγύπτου,
καὶ ἐρεῖς αὐτῷ, λέοντι ἐθνῶν ὡμοιώ-
θης σὺ, καὶ ὡς δράκων ὁ ἐν τῇ θα-
λάσσῃ, καὶ ἐκεράτιζες τοῖς ποταμοῖς
σου, καὶ ἐτάρασσες ὕδωρ τοῖς ποσί σου,
καὶ κατεπάτεις τοὺς ποταμούς σου. τά-
δε λέγει κύριος κύριος. καὶ περι-
βαλῶ ἐπί σε τὰ δίκτυά μου, καὶ ἐν
ἐκκλησίᾳ λαῶν πολλῶν, καὶ ἀνά-
ξω σε ἐν τῷ ἀγκίστρῳ μου, καὶ ἐκτε-
νῶ σε ἐπὶ τὴν γῆν. πεδία πλησθή-
σεται, καὶ ἐπικαθιῶ ἐπί σε πάντα
τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ἐμπλή-
σω ἐκ σοῦ πάντα τὰ θηρία πάσης
τῆς γῆς, καὶ δώσω τὰς σάρκας σου
ἐπὶ τὰ ὄρη. καὶ ἐμπλήσω ἀπὸ τοῦ αἵ-
ματός σου πᾶσαν τὴν γῆν, καὶ πο-
τισθήσεται ἡ γῆ ἀπὸ τῶν προχωρη-
μάτων σου, ἀπὸ τοῦ πλήθους σου ἐπὶ
τῶν ὀρέων. φάραγγας ἐμπλήσω ἀ-
πὸ σοῦ, καὶ καλύψω ἐν τῷ σβεσθῆ-
ναί σε οὐρανὸν, καὶ συσκοτάσω τὰ
ἄστρα αὐτοῦ, ἥλιον ἐν νεφέλῃ κα-
λύψω, καὶ σελήνη οὐ μὴ φανῇ τὸ
φῶς αὐτῆς. πάντας τοὺς ἀστέρας
τοῦ οὐρανοῦ, πάντα φαίνοντα φῶς
ἐν τοῦ οὐρανοῦ συσκοτάσουσιν ἐπί
σε. καὶ δώσω σκότος ἐπί σε, λέγει
κύριος κύριος, καὶ παροργιῶ καρ-
δίαν λαῶν, ἡνίκα ἀναγάγω αἰχ-
μαλωσίαν σου εἰς τὰ ἔθνη, εἰς γῆν
ἣν οὐκ ἔγνως. καὶ στυγνάσουσιν ἐπί σε
ἔθνη.

menſis, factum eſt uerbum
domini ad me, dicens, Fili
hominis ſume lamentum
ſuper Pharaonem regem
Ægypti, & dic ei, Leo-
ni gentium aſsimiliaberis,
& eris quaſi draco qui in
mari uerſatur, & uentila-
bas cornu in fluminibus
tuis, & conturbabas aquã
pedibus tuis, & concul ca-
bas flumina tua. Hæc di-
cit dominus dominus, Po-
nam circum te retia mea
in congregatione popu-
lorum multorum, & extra-
ham te in hamo meo, &
extendam te ſupra terrã,
Campi complebuntur, &
collocabo in te omnia uo-
latilia cœli. Et ſaturabo
ex te omnes beſtias terrę,
& dabo carnes tuas ſuper
montes. Et implebo uni-
uerſam terram ſanguine
tuo, & irrigabitur terra
excrementis tuis, à multi-
tudine tua ſupra montes.
Valles implebo ex te, &
cooperiam cum extinctus
fueris in cœlum, & tene-
bras offundam ſtellis eius,
ſolem in nube tegam, &
luna non ſplendebit lumi-
ne ſuo. Omnia quæ fulgẽt Eſa.13
in cœlo, caligine offun- Iohe.3
dentur ſuper te, & tene- Matth.24
bricoſum te efficiã, dicit
dominus dominus. Et iri-
tabo cor populorum, cum
induxero captiuitatem tu-
am in gentes, in terram
quam non cognouiſti. Et
contriſtabũtur propter te
gentes

gentes multæ, & reges eorum stupore stupescent, cum extendero gladium meum in uultus corũ, qui expectant casum suum à die ruinæ tuæ, quia hęc dicit dominus dominus. Gladius regis Babylonis ueniet tibi, in gladijs Gigantum deijciam fortitudinẽ tuam. Pestilentes à gentibus omnes, & perdet iniuriam Ægypti, & conteretur omnis potentia eius, & perdam omnia iumenta eius in aqua multa, & non turbabit illam pes hominis, & uestigiũ iumentorum non calcabit eam. Tunc quiescent aquæ eorum, & flumina eorum, instar olei fluent, dicit dominus. Cum Ægyptum interire permisero, & in solitudinem redigetur, & terra cum plenitudine sua, cum disseminauero omnes habitantes in ea, & scient quod ego sum dominus. Plangor est, & lugebit eum. Filiæ gentium lamentabuntur eum super Ægyptum, & omnẽ fortitudinem eius lugebunt, dicit dominus dñs, Et factum est duodecimo anno primi mensis, decimo quinto mẽsis primi, factus est sermo domini ad me, dicens, Fili hominis lamentare potentiam Ægypti, & deducent gentes filias eius mortuas in profundum terræ ad descen-

ἔθνη πολλὰ, καὶ οἱ βασιλεῖς αὐτῶν ἐκστάσει ἐκστήσονται, ἐν τῷ πέτασθαι τὴν ῥομφαίαν μου ἐπὶ τὰ πρόσωπα αὐτῶν, προσδεχόμενοι τὴν πτῶσιν αὐτῶν, ἀφ᾽ ἡμέρας πτώσεώς σου. ὅτι τάδε λέγει κύριος κύριος· ῥομφαία βασιλέως βαβυλῶνος ἥξει σοί, ἐν μαχαίραις γιγάντων καταβαλῶ τὴν ἰσχύν σου. λοιμοὶ ἀπὸ ἐθνῶν πάντες, καὶ ἀπολοῦσι τὴν ὕβριν αἰγύπτου, καὶ συντριβήσεται πᾶσα ἡ ἰσχύς. καὶ ἀπολῶ πάντα τὰ κτήνη αὐτῆς ἐφ᾽ ὕδατος πολλοῦ, καὶ οὐ μὴ ταράξῃ αὐτὸ ποὺς ἀνθρώπου, καὶ ἴχνος κτήνους οὐ μὴ καταπατήσῃ αὐτό. τότε ἡσυχάσει τὰ ὕδατα αὐτῶν, καὶ οἱ ποταμοὶ αὐτῶν ὡς ἔλαιον πορεύσονται, λέγει ἀδωναῒ κύριος. ὅταν δῶ τὴν αἴγυπτον εἰς ἀπώλειαν, καὶ ἐρημωθῇ ἡ γῆ σὺν τῷ πληρώματι αὐτῆς, ὅταν διασπορῶ πάντας τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος. θρῆνός ἐστι, καὶ θρηνήσεις αὐτόν. θυγατέρες τῶν ἐθνῶν θρηνήσουσιν αὐτὸν ἐπ᾽ αἴγυπτον, καὶ ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῆς θρηνήσουσιν αὐτὴν, λέγει κύριος κύριος. καὶ ἐγένετο ἐν τῷ δωδεκάτῳ ἔτει τοῦ πρώτου μηνὸς πεντεκαιδεκάτῃ τοῦ πρώτου μηνὸς, ἐγένετο λόγος κυρίου πρός με λέγων, υἱὲ ἀνθρώπου θρήνησον ἐπὶ τὴν ἰσχὺν αἰγύπτου, καὶ καταβιβάσουσιν αὐτῆς τὰς θυγατέρας τὰ ἔθνη νεκρὰς εἰς τὸ βάθος τῆς γῆς, πρὸς τοὺς

τοὺς καταβαίνοντας εἰς βόθρον, ἐξ ὑ-
δάτων διαπρεπῶς. κατάβηθι, καὶ κοι-
μήθητι μετὰ ἀπεριτμήτων, ἐν μέ-
σῳ τραυματιῶν μαχαίρᾳ πεσοῦν-
ται μετ' αὐτοῦ, καὶ κοιμηθήσεται πᾶ-
σα ἡ ἰσχὺς αὐτοῦ. καὶ ἐροῦσιν οἱ γί-
γαντες, ἐν βάθει βόθρου γίνου, τίνος
κρείττων εἶ, κατάβηθι, καὶ κοιμήθη-
τι μετὰ ἀπεριτμήτων ἐν μέσῳ τραυ-
ματιῶν μαχαίρας. ἐκεῖ Ἀσσοὺρ καὶ
πᾶσα ἡ συναγωγὴ αὐτοῦ, πάντες
τραυματίαι ἐκεῖ. ἐδόθη ἡ ταφὴ αὐ-
τῶν ἐν βάθει βόθρου, καὶ ἐγενήθη ἡ
συναγωγὴ αὐτοῦ περικύκλῳ τοῦ μνή-
ματος αὐτοῦ. πάντες οἱ τραυμα-
τίαι οἱ πεπτωκότες μαχαίρᾳ, οἱ ἐ-
δωκαν τὰς ταφὰς αὐτῶν ἐν μηροῖς
λάκκου. καὶ ἐγενήθη ἐκκλησία περι-
κύκλῳ τῆς ταφῆς αὐτοῦ, πάντες αὐ-
τοὶ τραυματίαι, οἱ πίπτοντες μα-
χαίρᾳ, οἱ δόντες τὸν φόβον αὐτῶν ἐπὶ
γῆς ζωῆς. ἐκεῖ Αἰλὰμ πᾶσα ἡ δύ-
ναμις αὐτοῦ περικύκλῳ τοῦ μνήμα-
τος αὐτοῦ. πάντες οἱ τραυματίαι
οἱ πεπτωκότες μαχαίραις, καὶ οἱ κα-
ταβαίνοντες ἀπερίτμητοι εἰς γῆς
βάθος, οἱ δεδωκότες αὐτῶν φόβον
ἐπὶ γῆς ζωῆς. καὶ ἐλάβοσαν τὴν βά-
σανον αὐτῶν μετὰ τῶν καταβαινόν-
των εἰς βόθρον, ἐν μέσῳ τραυματι-
ῶν, ἐκεῖ ἐδόθησαν Μοσὸχ, καὶ Θοβὲλ,
καὶ πᾶσα ἡ ἰσχὺς αὐτοῦ περικύ-
κλῳ τοῦ μνήματος αὐτοῦ. πάντες
ἀπερίτμητοι τραυματίαι ἀπὸ μα-
χαίρας,

descēdentes in foueā, ex a-
quis decēter. Descende, et
dormi cū incircūcisis, in
medio uulneratorum gla-
dio cum eo conficientur
& dormiet omnis forti-
tudo eius. Et dicent Gi-
gantes, In profundum fo-
ueę quo melior es, descen
de, & dormi cum incir-
cumcisis in medio uulne-
ratorum gladio. Ibi Assur
& omnis congregatio e-
ius, & oēs uulnerati. Data
est sepultura eorum in pro
fundo foueæ, fuitq; con-
gregatio eius circum se-
pulchrum eius, omnes uul
nerati qui ceciderunt gla-
dio, qui posuerunt sepul-
cra eius in fœmiore foueę.
& fuit congregatio eius
circum monumentū eius,
omnes uulnerati qui gla-
dio confecti sunt, illisq;
terrori fuerunt in terra ui-
tæ. ibi Elam & omnis for
titudo eius in circuitu mo
numenti eius. Omnes uul-
nerati qui ceciderunt gla
dio & qui descendunt in
circumcisi in terrę profun
dum, qui dederunt timo-
rem eorum in terra uitæ.
Et dederunt supplicium
suum cum descendētibus
in foueam in medio uulne
ratorum, ibi dati sunt Mo
soch & Thobel, & om-
nis fortitudo eorum in cir
cuitu monumēti eius. Oēs
incircūcisi uulnerati à gla
dio,

dio, qui posuerunt terrorem suum in terra uitę. Et dormierunt cum Gigantibus, qui ceciderunt ab æterno, & descenderunt in infernũ cum armis quibus utebantur in bello, & posuerunt gladios suos sub capitibus suis. Et factæ sunt iniquitates eorum in ossibus eorum, quia terrori fuerunt Gigantes in uita sua. Et in medio incircumcisorum contereris, et dormies cum uulneratis gladio. Ibi Edõ & reges eius, et omnes principes Assur, qui inflictis uulneribus copias eius prostrauerunt, isti cum uulneratis dormierunt ac descendentibus in foueam. Ibi principes Aquilonis, omẽs duces Assur, qui descendunt uulnerati terrore suo, et in fortitudine sua fusi dormierunt incircumcisi cum uulneratis gladio, et dederũt supplicium suum cum descendentibus in foueam. Illos uidebit rex Pharao, & uulnerati gladio consolationem accipient super omnem fortitudinem eorum, Pharao et omnis exercitus eius, dicit dominus dominus. Quia posui terrorem eius in terra uitæ. Et dormiet in medio incircumcisorũ cum uulneratis gladio Pharao, et omnis multitudo eius, dicit dominus dominus.

Et

χαίρας, οἱ δεδωκότες τὸν φόβον αὐτῶν ἐπὶ γῆς ζωῆς. καὶ ἐκοιμήθησαν μετὰ τῶν γιγάντων τῶν πεπτωκότων ἀπ' αἰῶνος, οἱ κατέβησαν εἰς ᾅδου ἐν ὅπλοις πολεμικοῖς αὐτῶν. καὶ ἔθηκαν τὰς μαχαίρας αὐτῶν ὑπὸ τὰς κεφαλὰς αὐτῶν. καὶ ἐγενήθησαν αἱ ἀνομίαι αὐτῶν ἐπὶ τῶν ὀστέων αὐτῶν, ὅτι ἐξεφόβησαν γίγαντες ἐν τῇ ζωῇ αὐτῶν. καὶ σὺ ἐν μέσῳ ἀπεριτμήτων συντριβήσῃ, καὶ κοιμηθήσῃ μετὰ τετραυματισμένων μαχαίρᾳ. ἐκεῖ Ἐδὼμ καὶ οἱ βασιλεῖς αὐτῆς, καὶ πάντες οἱ ἄρχοντες αὐτοῦ, οἱ δόντες τὴν ἰσχὺν αὐτοῦ εἰς τραῦμα μαχαίρας, οὗτοι μετὰ τραυματιῶν ἐκοιμήθησαν, μετὰ καταβαινόντων εἰς βόθρον. ἐκεῖ οἱ ἄρχοντες τοῦ βοῤῥᾶ πάντες οὗτοι, πάντες στρατηγοὶ Ἀσσοὺρ, οἱ καταβαίνοντες τραυματίαι, σὺν τῷ φόβῳ αὐτῶν, καὶ τῇ ἰσχύϊ αὐτῶν ἐκοιμήθησαν ἀπερίτμητοι, μετὰ τραυματιῶν ἀπὸ μαχαίρας, καὶ ἀπενέγκαντο τὴν βάσανον αὐτῶν, μετὰ τῶν καταβαινόντων εἰς βόθρον. ἐκείνους ὄψεται Φαραὼ, καὶ παρακληθήσεται ἐπὶ πᾶσαν τὴν ἰσχὺν αὐτῶν, τραυματίας μαχαίρας Φαραὼ, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ, λέγει κύριος κύριος. ὅτι δέδωκα τὸν φόβον αὐτοῦ ἐπὶ γῆς ζωῆς, καὶ κοιμηθήσεται ἐν μέσῳ ἀπεριτμήτων, μετὰ τραυματιῶν μαχαίρας Φαραὼ, καὶ πᾶν τὸ πλῆθος αὐτοῦ, λέγει κύριος κύριος.

Καὶ

Καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου, λάλησον τοῖς υἱοῖς τοῦ λαοῦ σου, καὶ ἐρεῖς πρὸς αὐτούς, γῆ ἐφ' ἣν ἂν ἐπάγω ῥομφαίαν, καὶ λάβῃ ὁ λαὸς τῆς γῆς ἄνθρωπον ἕνα ἐξ αὐτῶν, καὶ δώσει αὐτὸν ἑαυτοῖς εἰς σκοπόν, καὶ ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν, καὶ σαλπίσῃ τῇ σάλπιγγι, καὶ σημάνῃ τῷ λαῷ, καὶ ἀκούσῃ ὁ ἀκούσας τῆς φωνῆς τῆς σάλπιγγος, μὴ φυλάξηται, καὶ ἐπέλθῃ ἡ ῥομφαία, καὶ καταλάβῃ αὐτόν, τὸ αἷμα αὐτοῦ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἔσται. ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκούσας οὐκ ἐφυλάξε, τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται. καὶ οὗτος ὅτι ἐφυλάξατο, τὴν ψυχὴν αὐτοῦ ἐξείλατο. καὶ ὁ σκοπὸς ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην, καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχήν, αὐτὴ διὰ τὴν αὐτῆς ἀνομίαν ἐλήφθη, καὶ τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκοποῦ ἐκζητήσω. καὶ σύ υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ, καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον, ἐν τῷ εἰπεῖν με τῷ ἁμαρτωλῷ, θανάτῳ θανατωθήσῃ, καὶ μὴ λαλήσῃς, τοῦ φυλάξαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, αὐτὸς ὁ ἄνομος τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. σὺ δὲ ἐὰν προαπαγγείλῃς τῷ ἀσεβεῖ τὴν ὁδὸν αὐτοῦ,

ἐκ

Caput XXXIII

εἰσήγαγέ με, καὶ ἰδοὺ ἐξέδραι πέντε, ἐχόμεναι τοῦ ἀπολοίπου, καὶ ἐχόμεναι τοῦ διορίζοντος πρὸς βοῤῥᾶν, κατὰ πρόσωπον, ἐπὶ πήχεις ἑκατὸν μῆκος πρὸς βοῤῥᾶν, καὶ πλάτος πεντήκοντα πηχέων, διαγεγραμμέναι ὃν τρόπον αἱ πύλαι τῆς αὐλῆς τῆς ἐσωτέρας, καὶ ὃν τρόπον τὰ περίστυλα τῆς αὐλῆς ἐξωτέρας ἐστιχισμένα, ἀντὶ πρόσωπον στοαὶ τρισσαί. καὶ κατέναντι τῶν ἐξεδρῶν περίπατος πηχέων δέκα τὸ πλάτος, ἐπὶ πήχεις ἑκατὸν μῆκος, καὶ πήχεως ἑνὸς τὰ θυρώματα αὐτῶν πρὸς βοῤῥᾶν, καὶ οἱ περίπατοι οἱ ὑπερῷοι ὡσαύτως. ὅτι ἐξεῖχε τὸ περίστυλον ἐξ αὐτοῦ, ἐκ τοῦ ὑποκάτωθεν περιστύλου. καὶ τὸ διάστημα, οὕτως περίστυλον καὶ διάστυμα, καὶ οὕτως στοαί. διότι τριπλαῖ ἦσαν, καὶ στύλους οὐκ εἶχον καθὼς οἱ στύλοι τῶν ἐξεδρῶν. διὰ τοῦτο ἐξεῖχοντα τῶν ὑποκάτωθεν, καὶ τῶν μέσων ἀπὸ τῆς γῆς. καὶ φῶς ἔξωθεν, ὃν τρόπον αἱ ἐξέδραι τῆς αὐλῆς τῆς ἐξωτέρας, αἱ βλέπουσαι ἀπέναντι τῶν ἐξεδρῶν τῶν πρὸς βοῤῥᾶν, μῆκος πηχέων πεντήκοντα. ὅτι τὸ μῆκος τῶν ἐξεδρῶν τῶν βλεπουσῶν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ἦν πηχέων πεντήκοντα, καὶ αὗταί εἰσιν αἱ ἀντιπρόσωποι ταύταις. τὸ πᾶν πηχέων ἑκατόν. καὶ αἱ θύραι τῶν ἐξεδρῶν τούτων, τῆς ἐσόδου τῆς πρὸς ἀνατολὰς τοῦ

εἰσπο

introduxit me, et ecce exedræ quinque adiunctæ reliquo, ac admotæ separato uersus Aquilonem, iuxta faciem, cubitorum centum longitudo ad Aquilonem, & latitudo cubitorum quinquaginta descriptæ sicut portæ atrij interioris, & sicut porticus atrii exterioris, ordinatæ contra faciem porticus ternæ. Et contra exedras, deambulatio cubitorum decem latitudo, cubitorum centum erat longitudo, & unius cubiti ostia eorum quæ ad Aquilonē. & deambulationes cœnaculorum similiter, quoniam eminebāt porticus ex ea extra columnas inferiores. Et spacium, sic porticus & interuallum, & ita xysti. Etenim triplices erant, & columnas non erant sicut columnæ exedrarum. Propterea eminebant ab his qui inferius, et his qui in medium erāt de terra. & lumen extrinsecus, sicut exedræ atrij exterioris, respicientes contra exedras, quæ ad Aquilonem, longitudo erat cubitorum quinquaginta. Nam longitudo exedrarum respicientium in atrium exterius erat cubitorum quinquaginta, & hę sunt illis è regiōe, idq̄ omine cubitorū centum. Et ostia exedrarum istarū, introitus ad ortus, ad

G in

ingrediendum per eas, ex atrio exteriori secundum lumen quod est in principio deambulatorij. Et ad meridiem, & ad faciem Austri, & ad faciem reliqui, & ad faciem separantis, & exedræ & deambulatorium ad facies suas, iuxta mensuras exedrarum, quæ sunt ad Aquilonem, secundum longitudinem earum, & secundum latitudinem earum, & secundū omnes exitus earum & introitus, & secundum luminaria earum, & secundum ostia ipsarū exedrarū quæ sunt ad meridiem. Secundum ostia ab initio deambulatorij, ut ad lumen spacij calami & uersus orientem, ut iretur per ea. Et dixit ad me, Exedræ ad Aquilonem, & exedræ quæ ad Austrum sunt ante faciem spaciorū, sunt exedræ sancti, in quibus uescuntur sacerdotes filij Sadduc, qui appropinquant ad dominū, sancta sanctorū. Ibiq; collocabunt sancta sanctorum & uictimā & ea quæ pro peccatis, & quæ pro ignorantia, quia locus sanctus est. Non ingredientur illuc preter sacerdotes, nec egredientur ex sacrario in atrium exterius, ut omnino sancti sint qui offerunt, nec tangāt uestimēta eorū, quibus ministrant in

εἰσπορεύεσθαι δι' αὐτῆς, ἐκ τῆς αὐλῆς τῆς ἐξωτέρας κατὰ τὸ φῶς τοῦ ἐν ἀρχῇ περιπάτου. καὶ πρὸς νότον κατὰ πρόσωπον τοῦ νότου, καὶ κατὰ πρόσωπον τοῦ ἀπολοίπου, καὶ κατὰ πρόσωπον τοῦ διορίζοντος, καὶ ἐξέδραι καὶ ὁ περίπατος κατὰ πρόσωπον αὐτῶν, κατὰ τὰ μέτρα τῶν ἐξεδρῶν τῶν πρὸς βορρᾶν, κατὰ τὸ μῆκος αὐτῶν, καὶ κατὰ τὸ εὖρος αὐτῶν, καὶ κατὰ πάσας ἐξόδους αὐτῶν, καὶ κατὰ πάσας τὰς ἐπιστροφὰς αὐτῶν, καὶ κατὰ τὰ φῶτα αὐτῶν, καὶ κατὰ θυρώματα αὐτῶν, τῶν ἐξεδρῶν τῶν πρὸς νότον. καὶ κατὰ θυρώματα ἀπ' ἀρχῆς τοῦ περιπάτου, ὡς ἐπὶ φῶς διαστήματος καλάμου, καὶ κατὰ ἀνατολὰς τοῦ εἰσπορεύεσθαι δι' αὐτῶν. καὶ εἶπε πρός με, αἱ ἐξέδραι αἱ πρὸς βορρᾶν, καὶ αἱ ἐξέδραι αἱ πρὸς νότον, αἱ οὖσαι κατὰ πρόσωπον τῶν διαστημάτων, αὗταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν αἷς φάγονται ἐκεῖ οἱ ἱερεῖς, οἱ υἱοὶ Σαδδούκ, οἱ ἐγγίζοντες πρὸς κύριον, τὰ ἅγια τῶν ἁγίων. καὶ ἐκεῖ θήσουσι τὰ ἅγια τῶν ἁγίων, καὶ τὴν θυσίαν καὶ τὰ περὶ ἁμαρτίας, καὶ τὰ ὑπὲρ ἀγνοίας, διότι ὁ τόπος ἅγιος. οὐκ εἰσελεύσονται ἐκεῖ παρὲξ τῶν ἱερέων, οὐκ ἐξελεύσονται ἐκ τοῦ ἁγίου εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, ὅπως διὰ παντὸς ἅγιοι ὦσιν οἱ προσάγοντες, καὶ μὴ ἅπτωνται τοῦ στολισμοῦ αὐτῶν, ἐν οἷς λειτουργοῦσιν.

ἐν

ἐν αὐτοῖς, διότι ἅγιά ἐστι. καὶ ἐνδύ-
σονται ἱμάτια ἕτερα, ὅταν ἅπτωνται
τοῦ λαοῦ. καὶ συνετελέσθη ἡ διαμέ-
τρησις τοῦ οἴκου, ἔσωθεν. καὶ ἐξήγαγέ
με καθ' ὁδὸν τῆς πύλης τῆς βλεπού-
σης πρὸς ἀνατολὰς, καὶ διεμέτρησε
τὸ ὑπόδειγμα τοῦ οἴκου, κυκλόθεν ἐν
διατάξει. καὶ ἔστη κατὰ νώτου τῆς πύ-
λης τῆς βλεπούσης κατὰ ἀνατολάς,
καὶ διεμέτρησε πεντακοσίους ἐν τῷ
καλάμῳ τοῦ μέτρου. καὶ ἐπέστρεψε πρὸς
βορρᾶν, καὶ διεμέτρησε τὸ κατὰ πρό-
σωπον τοῦ βορρᾶ, πήχεις πεντακο-
σίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. καὶ
ἐπέστρεψε πρὸς θάλασσαν, καὶ διε-
μέτρησε τὸ κατὰ πρόσωπον τῆς θα-
λάσσης πήχεις πεντακοσίους, ἐν τῷ
καλάμῳ τοῦ μέτρου. καὶ ἐπέστρεψε
πρὸς νότον, καὶ διεμέτρησε τὸ κα-
τὰ πρόσωπον τοῦ νότου πεντακοσίους
ἐν τῷ καλάμῳ τοῦ μέτρου, τέσσαρα
μέρη τοῦ αὐτοῦ καλάμου. καὶ διέταξεν
αὐτὸν, καὶ περίβολον αὐτῷ κύ-
κλῳ, πεντακοσίων κατὰ ἀνατολὰς,
καὶ πεντακοσίων πήχεων εὖρος, τοῦ
διαστέλλειν ἀνὰ μέσον τῶν ἁγίων, καὶ
ἀνὰ μέσον τοῦ προτειχίσματος, τοῦ
ἐν διατάξει τοῦ οἴκου.

Καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην
τὴν βλέπουσαν κατὰ ἀνατολὰς, καὶ
ἐξήγαγέ με. καὶ ἰδοὺ δόξα θεοῦ Ἰσ-
ραὴλ ἤρχετο κατὰ τὴν ὁδὸν τῆς πύλης
τῆς βλεπούσης πρὸς ἀνατολὰς, καὶ
φωνὴ τῆς παρεμβολῆς ὡς φωνὴ δι-
πλασι

in eis, quia sancta sunt. Et
induentur uestimenta alia,
cum tangunt populum. Ita
perfecta est dimensio do-
mus intrinsecus. Eduxit
autem me per uiam portæ
respicientis ad orientem,
& dimensus est domus ex-
emplar in circuitu in ordi-
ne. Stabatq; aduersus Au-
strum portæ quæ spectat
uersus Orientem, & men-
sus est quingentos in cala-
mo mensuræ. Conuertitq;
se ad Aquilonē, ac dimen-
sus est uersus faciem Aqui-
lonis, cubitos quingentos
calamo mensuræ. Conuer-
titq; se ad mare, & men-
sus est secundum faciē ma-
ris cubitos quingentos, in
calamo mensuræ. Deinde
conuertit se ad Austrum,
& mensus est uersus faciē
Austri quingentos in cala-
mo mensuræ, quatuor par-
tes eius calami. Ac dispo-
suit murum ei per circui-
tum, quingentorū ad O-
rientem, & quingentorū
latitudo, qua distant sacra
à propugnaculo, in ordi-
ne domus.

Et adduxit me ad por- Capit. XLIII
tam quæ spectat ad Ori-
entem, & eduxit me. Et
ecce gloria dei Israel ue-
niebat per uiam portæ,
quæ spectat ad Orientē, et
uox castrorū, ut uox ge-

 minan-

m nantium multorum. Et terra resplendebat quasi fulgur prę gloria per circuitum. Eaque erat uisio, quam uideram cum ingrederer unctum ciuitatem, & uisio currus quem uidi iuxta uisionem, quam uideram apud fluuium Chobar. Et cecidi in faciem meam. & gloria domini ingressa est in domum per uiam portæ respicientis ad Orientē. Assumpsitque me spiritus, & introduxit me in atrium interius, ecce autem plena gloria domini domus. Cumque starem, ecce uox de domo loquentis ad me. Et uir qui stabat iuxta me, & dixit ad me, Vidisti fili hominis locum solij mei, & locum uestigij pedum meorū, in quibus habitabit nomen meum, in medio domus Israel in æternum? Neque cōtaminabit ultra domus Israel nomē meum sanctū, ipsi & duces eorum scortatione sua, cæde'ue ducum qui in medio eorum, cum ponerent postes meos in postibus suis, & limina mea adhærebant liminib⁹ eorū. Et extruxerūt parietē prope me & ipsos. & contaminauerunt nomen meum sanctum in iniquitatibus suis, quas faciebant. Et contriui eos in furore meo & in occisione. Et nunc depellant scortationem eorum, & cædes ducum

πλασιαζόντων πολλῶν. καὶ ἡ γῆ ἐξέλαμπεν ὡς φέγγος ἀπὸ τῆς δόξης κυκλόθεν, καὶ ἡ ὅρασις ἣν εἶδον ὅτι εἰσεπορευόμην χρῖσαι τὴν πόλιν. καὶ ἡ ὅρασις τοῦ ἅρματος οὗ εἶδον κατὰ τὴν ὅρασιν, ἣν εἶδον ἐπὶ τοῦ ποταμοῦ χοβάρ. καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ δόξα κυρίου εἰσῆλθεν εἰς τὸν οἶκον, κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ ἀνέλαβέ με πνεῦμα, καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος κυρίου. καὶ ἔστην, καὶ ἰδοὺ φωνὴ ἐκ τοῦ οἴκου λαλοῦντος πρός με. καὶ ὁ ἀνὴρ εἱστήκει ἐχόμενός μου, καὶ εἶπε πρός με, υἱὲ ἀνθρώπου ἑώρακας τὸν τόπον τοῦ θρόνου μου, καὶ τὸν τόπον τοῦ ἴχνους τῶν ποδῶν μου, ἐν οἷς κατασκηνώσει τὸ ὄνομά μου, ἐν μέσῳ τοῦ οἴκου ἰσραὴλ εἰς τὸν αἰῶνα; καὶ οὐ βεβηλώσουσιν οὐκέτι οἶκος ἰσραὴλ τὸ ὄνομα τὸ ἅγιόν μου, αὐτοὶ καὶ οἱ ἡγούμενοι αὐτῶν, ἐν τῇ πορνείᾳ αὐτῶν, καὶ ἐν τοῖς φόνοις τῶν ἡγουμένων, ἐν μέσῳ αὐτῶν, ἐν τῷ τιθέναι αὐτοὺς τὸ πρόθυρόν μου ἐν τοῖς προθύροις αὐτῶν, καὶ τὰς φλιάς μου ἐχομένας τῶν φλιῶν αὐτῶν. καὶ ἔδωκαν τὸν τοῖχόν μου ὡς συνεχόμενον ἐμοῦ καὶ αὐτῶν. καὶ ἐβεβήλωσαν τὸ ὄνομα τὸ ἅγιόν μου ἐν ταῖς ἀνομίαις αὐτῶν, αἷς ἐποίουν. καὶ ἐξέτριψα αὐτοὺς ἐν θυμῷ μου, καὶ ἐν φόνῳ. καὶ νῦν ἀπωσάσθωσαν τὴν πορνείαν αὐτῶν, καὶ τοὺς φόνους

τῶν ἡγουμένων αὐτῶν ἀπ' ἐμοῦ, καὶ κατασκηνώσω ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα. καὶ σὺ υἱὲ ἀνθρώπου δεῖξον οἴκῳ Ἰσραὴλ τὸν οἶκον, καὶ κοπάσουσιν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. καὶ τὴν ὅρασιν αὐτοῦ, καὶ τὴν διάταξιν αὐτοῦ, καὶ αὐτοὶ λήψονται τὴν κόλασιν αὐτῶν, περὶ πάντων ὧν ἐποίησαν. καὶ διαγράψεις τὸν οἶκον καὶ τὴν ἑτοιμασίαν αὐτοῦ, καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ, καὶ πάντα τὰ προστάγματα αὐτοῦ, καὶ πάντα τὰ νόμιμα αὐτοῦ γνωριεῖς αὐτοῖς, καὶ διαγράψεις ἐναντίον αὐτῶν, καὶ φυλάξονται πάντα τὰ δικαιώματά μου, καὶ ποιήσουσιν αὐτά, καὶ τὴν διαγραφὴν τοῦ οἴκου ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. πάντα τὰ ὅρια αὐτοῦ κυκλόθεν, ἅγια ἁγίων ἐστίν. οὗτος ὁ νόμος τοῦ οἴκου, καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου, ἐν πήχει τοῦ πήχεως, καὶ παλαιστῆς, κόλπωμα, βάθος ἐπὶ τὸν πῆχυν, καὶ πῆχυς τοῦ εὔρους. καὶ γεῖσος ἐπὶ τοῦ χείλους αὐτοῦ κυκλόθεν, σπιθαμῆς. καὶ τοῦτο ὕψος τοῦ θυσιαστηρίου, καὶ βάθος τῆς ἀρχῆς τοῦ κοιλώματος αὐτοῦ, πρὸς τὸ ἱλαστήριον τὸ μέγα, ὑποκάτωθεν πηχῶν δύο, καὶ τὸ εὖρος πήχεως. καὶ τὸ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ, ἐπὶ τὸ ἱλαστήριον τὸ μέγα, ὑποκάτωθεν πηχῶν δύο, καὶ τὸ εὖρος πήχεως. καὶ τὸ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ ἐπὶ τὸ ἱλαστήριον τὸ μέγα,

πήχεις

ducum eorum à me, & habitabo in medio eorum in æternum. Et tu fili hominis ostende domui Israel domum, & cessabunt à peccatis suis, & uisionem eius, & dispositionem illius, & ipsi sument supplicia sua de omnibus, quæ fecerunt. Et describes domum & præparationem eius & exitus eius, & substantiam eius & omnia præcepta illius, omniaq́ legitima eius nota facies illis. Et describes coram eis, & custodient omnes iustitias meas, & omnia præcepta mea, & facient ea, atque descriptionem domus in uertice montis. Et omnes termini eius in circuitu, sancta sanctorum sunt. Hęc est lex domus, & hæ mensuræ altaris in cubito cubiti, palmaq́, sinus, altitudo ad cubitum, cubitusq́ latitudinis, ac margo per labium in circuitu, palmi. Præterea hæc est altitudo altaris, hæc profunditas principij sinus eius ad propiciatorium magnum, subter cubitorum duorum, & latitudo cubiti, & à propiciatorio paruo ad propiciatorium magnum

 cubiti

cubiti quatuor, & latitudo cubitus. Ac ariel cubitorum quatuor, et ab ariel & superiora cornua cubitus. Et ariel cubitorum duodecim longitudo, cubitorumq; duodecim latitudo. quadrangulum ad quatuor partes eius. Et propiciatorium cubitorum quatuordecim lõgitudo, ad cubitos quatuordecim latitudo. quadrãgulum in quatuor partes suas. At margo eius, quoundiq; circumdatum est dimidii cubiti, & circum ipsum cubitus in circuitu, & gradus eius respicientes ad orientẽ. Dixitq; ad me, Fili hominis, hæc dicit adonai dominus, deus Israel. Hæc præcepta altaris eo die, quo factum fuerit, ut offerantur in eo holocausta, et effundatur ad illud sanguis. Dabisq; sacerdotib9, Leuitis ex semine Sadduc appropinquantibus ad me, dicit dominus dominus, ut ministrent mihi, uitulum de bobus pro peccato, & tollent de sanguine eius, ponẽtq; super super quatuor cornua altaris, & super quatuor angulos propiciatorii, & super basim eius in circuitu, circũspergẽt illud. Et accipient uitulum q pro peccato, & comburetur in loco separato domus extra sancta.

πήχεις τέσσαρας, καὶ τὸ εὖρος πῆχυς. καὶ τὸ ἀριὴλ πήχεων τεσσάρων, καὶ ἀπὸ τοῦ ἀριὴλ καὶ ὑπεράνω τῶν κεράτων, πῆχυς. καὶ τὸ ἀριὴλ πήχεων δώδεκα μήκους, ἐπὶ πήχεις δώδεκα πλάτος. τετράγωνον ἐπὶ τὰ τέσσαρα μέρη αὐτοῦ. καὶ τὸ ἱλαστήριον πήχεων δεκατεσσάρων τὸ μῆκος, ἐπὶ πήχεις δεκατέσσαρας τὸ εὖρος, τετράγωνον ἐπὶ τέσσαρα μέρη αὐτοῦ. καὶ τὸ γεῖσος αὐτοῦ, κυκλόθεν κυκλούμενον αὐτῷ ἥμισυ πήχεως, καὶ κύκλῳ αὐτοῦ, πῆχυς κυκλόθεν. καὶ οἱ κλιμακτῆρες αὐτοῦ, βλέποντες κατὰ ἀνατολάς. καὶ εἶπε πρός με, υἱὲ ἀνθρώπου, τάδε λέγει ἀδωναῒ κύριος ὁ θεὸς τοῦ ἰσραήλ. ταῦτα τὰ προσάγματα τοῦ θυσιαστηρίου, ἐν ἡμέρᾳ ποιήσεως αὐτοῦ, τοῦ ἀναφέρειν ἐπ' αὐτοῦ ὁλοκαυτώματα, καὶ προσχέειν πρὸς αὐτὸ αἷμα. καὶ δώσεις τοῖς ἱερεῦσι, τοῖς λευίταις τοῖς ἐκ τοῦ σπέρματος σαδδοὺκ, τοῖς ἐγγίζουσι πρός με, λέγει κύριος κύριος, τοῦ λειτουργεῖν μοι μόσχον ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ λήψονται ἐκ τοῦ αἵματος αὐτοῦ, καὶ ἐπιθήσουσιν ἐπὶ τὰ τέσσαρα κέρατα τοῦ θυσιαστηρίου, καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱλαστηρίου, καὶ ἐπὶ τὴν βάσιν κύκλῳ περιρρανοῦσιν αὐτὸ, καὶ ἐξιλάσονται αὐτό. καὶ λήψονται τὸν μόσχον τὸν ὑπὲρ ἁμαρτίας, καὶ κατακαυθήσεται ἐν τῷ ἀπεχωρισμένῳ τοῦ οἴκου ἔξωθεν

τ

τῶν ἁγίων. καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ λήψονται ἐρίφους δύο αἰγῶν ἀμώμους ὑπὲρ ἁμαρτίας, καὶ ἐξιλάσονται τὸ θυσιαστήριον, καθότι ἐξιλάσαντο ἐν τῷ μόσχῳ. καὶ μετὰ τὸ συντελέσαι τὸν ἐξιλασμὸν, προσοίσουσι μόσχον ἐκ βοῶν ἄμωμον, καὶ κριὸν ἐκ προβάτων ἄμωμον, καὶ προσοίσετε ἐναντίον κυρίου. καὶ ἐπιῤῥίψουσιν ἐπ᾽ αὐτὸν οἱ ἱερεῖς ἅλας, καὶ ἀνοίσουσιν αὐτὰ ὁλοκαυτώματα κυρίῳ. ἑπτὰ ἡμέρας ποιήσεις ὑπὲρ ἁμαρτίας καθ᾽ ἡμέραν, καὶ μόσχον ἐκ βοῶν, καὶ κριὸν ἐκ τῶν προβάτων, ἄμωμα ποιήσεις τὰς ἑπτὰ ἡμέρας. καὶ ἐξιλάσονται τὸ θυσιαστήριον, καὶ καθαρῶσιν αὐτόν. καὶ πλήσουσι τὰς χεῖρας αὐτῶν, καὶ συντελέσουσι τὰς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει κύριος κύριος.

Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ αὕτη ἦν κεκλεισμένη. καὶ εἶπε κύριος πρός με, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι᾽ αὐτῆς. ὅτι κύριος, ὁ θεὸς τοῦ ἰσραὴλ εἰσελεύσεται δι᾽ αὐτῆς, καὶ ἔσται κεκλεισμένη. διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐν αὐτῇ, τοῦ φαγεῖν ἄρτον

ſancta. Et die altero accipient hœdos duos caprarum immaculatos pro peccato, quibus expiabunt altare, ſicut expiarunt uitulo. Poſteaquam autem abſoluta fuerit expiatio, afferent uitulum de bobus immaculatum, & offereris coram dño, & ſpargent ſacerdotes ſuper illud ſal, & offerent ea holocauſta dño. Septē diebus facies pro peccato quotidie, & uitulum ex bobus, et arietem ex ouibus immaculatum facies ſeptem diebus, & expiabunt altare, & mundabunt illud. Et implebunt manus eorum, & conſummabunt dies octauæ, & in poſterum facient ſacerdotes ſuper altare ſolida ſacrificia ueſtra ſunt, & quæ ſalutis. Et ſuſcipiam uos, dicit dominus dominus.

Cap. XLIIII

Et conuertit me ad uiam portæ ſanctorum exterioris, quæ reſpicit ad Orientem, & hæc erat clauſa. Dixitq; dominus ad me, Porta hęc clauſa erit, non aperietur, & nullus trāſibit per eam. quia dñs deus Iſrael trāſibit per eā. itaq; erit clauſa, quia dux hic ſedit in ea, ut edat pa-

nem

nem coram domino. Per uiam Atlam portæ ingredietur, & per uiam eius egredietur. Introduxitq; me per uiam portæ quæ est ad Aquilonem è regione domus, & uidi, & ecce plena gloria domus domini. Et cado in faciem meam, dixitq; dominus ad me, Fili hominis, pone in cor tuum, et uide oculis tuis, & auribus tuis audi omnia, quæcunque ego tecum loquor, secundum omnia præcepta domus domini, omniaq; iudicia eius, & pones cor tuum ad introitum domus, per omnes exitus eorum & in omnibus sanctis, & dices ad iritantem domum, ad domum Israel, Hæc dicit dñs dñs. Sufficiant uobis omnes iniquitates uestræ, domus Israel, cum introducebatis filios alienigenas, incircuncisos corde & incircuncisos carne, ut essent in sacrarijs meis, ut cōtaminarent illa, offerētibus nobis panes, adipem & sanguinem. Et præteritis testamentum meum in omnibus iniquitatibꝰ uestris, neque studuistis conseruare præcepta in sanctis meis. Idcirco hæc dicit Adonai dominꝰ deꝰ. Omnis filius alienigena, incircuncisus corde et incircūcisus carne, nō ingredietur

τὸν ἐνώπιον κυρίου. κατὰ τὴν ὁδὸν αἰλὰμ τῆς πύλης εἰσελεύσονται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσονται. καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν, κατέναντι τοῦ οἴκου. καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος κυρίου. καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ εἶπε κύριος πρός με, υἱὲ ἀνθρώπου, τάξον εἰς τὴν καρδίαν σου, καὶ ἴδε τοῖς ὀφθαλμοῖς σου, καὶ τοῖς ὠσί σου ἄκουε πάντα, ὅσα ἐγὼ λαλῶ μετά σου, κατὰ πάντα τὰ προστάγματα τοῦ οἴκου, καὶ πάντα τὰ νόμιμα αὐτοῦ. καὶ τάξεις τὴν καρδίαν σου εἰς τὴν εἴσοδον τοῦ οἴκου, κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ, καὶ ἐν πᾶσι τοῖς ἁγίοις. καὶ ἐρεῖς πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα, πρὸς τὸν οἶκον ἰσραήλ, τάδε λέγει κύριος κύριος. ἱκανούσθω ὑμῖν ἀπὸ πασῶν τῶν ἀνομιῶν ὑμῶν, οἶκος ἰσραήλ, τοῦ εἰσαγαγεῖν ὑμᾶς υἱοὺς ἀλλογενεῖς, ἀπεριτμήτους καρδίᾳ, καὶ ἀπεριτμήτους σαρκί, τοῦ γίνεσθαι ἐν τοῖς ἁγίοις μου, τοῦ βεβηλοῦν αὐτὰ, ἐν τῷ προσφέρειν ὑμᾶς ἄρτους, στέαρ καὶ αἷμα. καὶ παρεβαίνετε τὴν διαθήκην μου ἐν πάσαις ταῖς ἀνομίαις ὑμῶν, καὶ οὐκ ἐπεφυλάξατε τοῦ φυλάσσειν φυλακὰς ἐν τοῖς ἁγίοις μου. διὰ τοῦτο τάδε λέγει ἀδωναῒ κύριος ὁ θεός. πᾶς υἱὸς ἀλλογενὴς, ἀπερίτμητος καρδίᾳ καὶ ἀπερίτμητος σαρκὶ οὐκ εἰσελεύ

σεται

σελθεῖν εἰς τὰ ἅγιά μου, ἐν πᾶσιν υἱοῖς ἀλλογενῶν, τῶν ὄντων ἐν μέσῳ οἴκου ἰσραήλ. ἀλλ' ἢ οἱ λευῖται, οἵτινες ἀφήλαντο ἀπ' ἐμοῦ ἐν τῷ πλανᾶσθαι τὸν ἰσραὴλ, οἳ ἐπλανήθησαν ἀπ' ἐμοῦ κατόπισθεν τῶν ἐνθυμημάτων αὐτῶν. καὶ λήψονται ἀδικίαν αὐτῶν, καὶ ἔσονται ἐν τοῖς ἁγίοις μου λειτουργοῦντες, θυρωροὶ ἐπὶ τῶν πυλῶν τοῦ οἴκου, καὶ λειτουργοῦντες ἐν τῷ οἴκῳ. οὗτοι σφάξουσι τὰς θυσίας καὶ τὰ ὁλοκαυτώματα τῷ λαῷ, καὶ οὗτοι στήσονται ἐναντίον τοῦ λαοῦ τοῦ λειτουργεῖν αὐτοῖς, ἀνθ' ὧν ἐλειτούργουν αὐτοῖς, πρὸ προσώπου τῶν εἰδώλων αὐτῶν, καὶ ἐγένετο τῷ οἴκῳ ἰσραὴλ εἰς κόλασιν ἀδικίας. ἕνεκα τούτου ἦρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς, λέγει κύριος ὁ θεός, καὶ λήψονται τὴν ἀνομίαν αὐτῶν, καὶ οὐκ ἐγγιοῦσι πρός με τοῦ ἱερατεύειν μοι, οὐδὲ τοῦ προσάγειν πρὸς τὰ ἅγια υἱῶν τοῦ ἰσραὴλ, οὐδὲ πρὸς τὰ ἅγια τῶν ἁγίων μου. καὶ λήψονται ἀτιμίαν αὐτῶν, ἐν τῇ πλανήσει ᾗ ἐπλανήθησαν. καὶ τάξουσιν αὐτοὺς φυλάσσειν φυλακὰς τοῦ οἴκου, εἰς πάντα τὰ ἔργα αὐτοῦ, καὶ εἰς πάντα ὅσα ἂν ποιήσωσιν. οἱ ἱερεῖς, λευῖται, οἱ υἱοὶ σαδδοὺκ, οἵτινες ἐφυλάξαντο τὰς φυλακὰς τῶν ἁγίων μου, ἐν τῷ πλανᾶσθαι τὸν οἶκον ἰσραὴλ ἀπ' ἐμοῦ. οὗτοι προσάξουσι πρός με τοῦ λειτουργεῖν μοι, καὶ στήσονται πρὸ προσώπου μου

eiur in sancta mea, ex omnibus filiis alienigenarũ, qui sunt in medio domus Israel, præter quàm Leuitæ qui recesserunt à me, cum erraret Israel atq; laberetur à me ad cogitationes suas. Et accipient iniquitatem suã, & in sanctis meis ministrabunt, ianitores in portis domus, et ministrantes in domo. Hi mactabunt uictimas, solidáq; sacrificia populo, et hi stabunt ante populum ut ministrent ei, proprerea quod ministrabant eis ante faciem idolorũ, idq; obtigit domui Israel, ut esset supplicium peccati. Huius rei gratia extuli manum meam ad eos, ait dominus deus, & subibunt iniquitatem suam, nec accedent ad me, ut sacerdotio fungantur, neque offerant ad omnia sancta filiorum Israel, neque ad sancta sanctorum meorum, subibuntq; ignominiam suam in errore, quo errauerunt. Itaq; constituent eos ut seruent custodias domus, in omnia opera eius, & in uniuersa quæcunque fecerint sacerdotes, Leuitæ, filij Sadduc, qui custodierunt custodias sanctorum meorũ, cum erraret domus Israel à me. Hi accedent ad me, ut ministrent mihi, & stabunt ante conspectum meum,

ut offerāt mihi uictimam, adipem & sanguinem, dicit dominus deus. Hi ingredientur in sancta mea, Hi accedent ad mensam meam, ut ministrent mihi, obseruabuntq; custodias meas. Fiet etiam, ut cum ingrediētur ipsi in portas atrij exterioris, stolis lineis induantur, nec induentur lanis cum ministrauerint ipsi à porta atrij interioris. Et cidares lineas habebunt in capitibus eorum. & fœminalia linea habebunt in lumbis eorum, nec accingentur uiolenter. Quod si egredi uolunt in atrium exterius ad populum, exuent se stolis suis, in quibus ministrant, & ponent eas in exedris sanctorum, & induentur stolis alijs. nec consecrabunt populum in stolis suis. Et capita sua non radent, nec comas suas tondebunt, tegentes operient capita sua. Nec uinum bibet omnis sacerdos, cum ingressus fuerit in atrium interius. Nec uiduam, nec constupratam ducet uxorem, sed uirginem, ex semine domus Israel. Quod si fuerit uidua ex sacerdote, ducent. Et populum meum docebunt, inter

τοῦ προσφέρειν μοι θυσίαν, στέαρ καὶ αἷμα, λέγει κύριος ὁ θεός. οὗτοι εἰσελεύσονται εἰς τὰ ἅγιά μου, καὶ οὗτοι προσελεύσονται πρὸς τὴν τράπεζάν μου, τοῦ λειτουργεῖν μοι, καὶ φυλάξουσι τὰς φυλακάς μου. καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς τὰς πύλας τῆς αὐλῆς τῆς ἐσωτέρας, στολὰς λινὰς ἐνδύσονται. καὶ οὐκ ἐνδύσονται ἐρίνα ἐν τῷ λειτουργεῖν αὐτοὺς, ἀπὸ τῆς πύλης τῆς ἐσωτέρας αὐλῆς. καὶ κιδάρεις λινὰς ἕξουσιν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. καὶ περισκελῆ λινὰ ἕξουσιν ἐπὶ ταῖς ὀσφύσιν αὐτῶν, καὶ οὐ περιζώσονται βίᾳ. καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐς τὴν αὐλὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν, ἐκδύσονται τὰς στολὰς αὐτῶν, ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς, καὶ θήσουσιν αὐτὰς ἐν ταῖς ἐξέδραις τῶν ἁγίων, καὶ ἐνδύσονται στολὰς ἑτέρας. καὶ οὐ μὴ ἁγιάσωσι τὸν λαὸν ἐν ταῖς στολαῖς αὐτῶν. καὶ τὰς κεφαλὰς αὐτῶν οὐ ξυρήσονται, καὶ τὰς κόμας αὐτῶν οὐ ψιλώσουσι. καλύπτοντες καλύψουσι τὰς κεφαλὰς αὐτῶν. καὶ οἶνον οὐ μὴ πίωσι πᾶς ἱερεὺς, ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ χήραν καὶ ἐκβεβλημένην οὐ μὴ λήψονται ἑαυτοῖς εἰς γυναῖκα, ἀλλ' ἢ παρθένον, ἐκ τοῦ σπέρματος οἴκου ἰσραήλ. καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως, λήψονται. καὶ τὸν λαόν μου διδάξουσιν,

ἀνὰ μέσον ἁγίου καὶ βεβήλου, καὶ ἀνὰ μέσον ἀκαθάρτου καὶ καθαροῦ γνωριοῦσιν αὐτοῖς. καὶ περὶ κρίσιν αἵματος οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν. καὶ τὰ δικαιώματά μου δικαιώσουσι, καὶ τὰ κρίματά μου κρινοῦσι. καὶ τὰ νόμιμά μου καὶ τὰ προστάγματά μου ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται, καὶ τὰ σάββατά μου ἁγιάσουσι. καὶ ἐπὶ ψυχὴν ἀνθρώπου οὐκ εἰσελεύσονται τοῦ μιανθῆναι, ἀλλ' ἢ ἐπὶ πατρὶ καὶ ἐπὶ μητρί, καὶ ἐπὶ υἱῷ καὶ ἐπὶ θυγατρί, καὶ ἐπὶ ἀδελφῷ καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ, ἣ οὐ γέγονεν ἀνδρί, μιανθήσεται. καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὸν ἑπτὰ ἡμέρας, ἐξαριθμήσει αὐτῷ. καὶ ᾗ ἂν ἡμέρᾳ εἰσπορεύωνται εἰς τὴν πύλην τὴν ἐσωτέραν τοῦ λειτουργεῖν ἐν τῷ ἁγίῳ, προσοίσουσιν ἱλασμόν, λέγει κύριος ὁ θεός, καὶ ἔσονται αὐτοῖς εἰς κληρονομίαν. ἐγὼ κληρονομία αὐτοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ δοθήσεται ἐν τοῖς υἱοῖς ἰσραήλ, ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. καὶ τὰς θυσίας, καὶ τὰ ὑπὲρ ἁμαρτίας, καὶ τὰ ὑπὲρ ἀγνοίας, οὗτοι φάγονται. καὶ πᾶν ἀφόρισμα ἐν τῷ ἰσραὴλ αὐτοῖς ἔσται, ἀπαρχαὶ πάντων, καὶ πρωτότοκα πάντων, καὶ τὰ ἀφαιρέματα πάντα, ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν, τοῖς ἱερεῦσιν ἔσται. καὶ τὰ πρωτογεννήματα ὑμῶν δώσετε τῷ ἱερεῖ, τοῦ θεῖναι εὐλογίαν ὑμῶν ἐπὶ τοὺς

οἴκους

inter sanctum & pollutum, & inter mundum & immundum quid inter sit, notum facient eis. & ad iudicium sanguinis hi stabunt, ad discernendum, & iustitias meas iustas pronunciabunt, iudiciaq; mea iudicabunt, & legitima mea & præcepta mea in omnibus solennitatibus meis custodient, & sabbata mea sanctè agent. Et ad animam hominis non ingredientur, ut polluantur. Imò patre & matre, & filio & filia, & à fratre & à sorore sua, quæ uiro non adfuit, contaminabitur. Et inter purgandum septem dies numerabis ei. Et quocunque die intrauerint in portam interiorem, ut ministrent in sancto, offerent placationem, dicit dominus deus, & erunt eis in hæreditatem. Ego hæreditas eis, nec possessio dabitur eis in filiis Israel, siquidem ego possessio eorum. Et sacrificia, & quæ pro peccato, & quæ pro ignorantia, ipsi comedent. Omnisq; separatio in Israel ipsis obtinget, & primitiæ omnium, & primogenita omnium, & separationes omnes ex primitiis uestris, sacerdotibus pertinebunt. Et primogenita uestra dabitis sacerdoti, ut dicat faustas precationes super

domus

Exod. 22 domus uestras. Nullũ morticinium, captum'ue à bestia ex uolatilib. et ex iumentis edent sacerdotes.
Leu. 22

Caput XLV

Cum autem dimetiemini uos terram in hæreditate, separabitis primitias dño sanctas de terra, longitudinem uigintiquinqꝫ millia, & latitudinem decem millia, sancta erit in omnibus terminis eius in circuitu. Inde fiet locus sacer, quingentorum & quingentorum, quadrangulũ per circuitum. Verum quinquaginta cubitorum interuallum eorum sit quoquo uersus. Atque ex hac dimensione metieris longitudinem quinqꝫ et uiginti millia, & latitudinem decem mille. In ipsa erit sacrariũ, sanctum sanctorum, de terra erit sacerdotibus ministrantibus in sanctis, ob tingetiqꝫ accedentibus ad ministrandũ dño. Eritqꝫ eis locus ad domus, separatus sacrario eorum uiginti quinque millia longitudine, & latitudine uiginti millia. Et Leuitis ministrãtibus domo ipsis in possessionẽ, ciuitates, ut habitent. Et possessionem ciuitatis dabis quinque millia latitudinem, & longitudinem uigintiquinqꝫ millia, quemadmodum primitiæ sanctorum omni domui Israel erũt, et principi ex illo, et ab eo ad primitias sanctorũ in possessionẽ ciuitatis

οἴκους ὑμῶν. καὶ πᾶν θνησιμαῖον καὶ θηριάλωτον, ἐκ τῶν πετεινῶν καὶ ἐκ τῶν κτηνῶν οὐ φάγονται οἱ ἱερεῖς.

Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς τὴν γῆν ἐν κληρονομίᾳ, ἀφοριεῖτε ἀπαρχὴν τῷ κυρίῳ ἅγιον ἀπὸ τῆς γῆς πέντε καὶ εἴκοσι χιλιάδας μῆκος, καὶ εὖρος δέκα χιλιάδας, ἅγιον ἔσται ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ κυκλόθεν. καὶ ἔσται ἐκ τούτου ἁγίασμα, πεντακόσιοι ἐπὶ πεντακοσίοις, τετράγωνον κυκλόθεν, καὶ πεντήκοντα πήχεις διάστημα αὐτῶν κυκλόθεν. καὶ ἐκ ταύτης τῆς διαμετρήσεως διαμετρήσεις μῆκος πέντε καὶ εἴκοσι χιλιάδας, εὖρος εἴκοσι χιλιάδας. καὶ ἐν αὐτῇ ἔσται τὸ ἁγίασμα, ἅγιον τῶν ἁγίων. ἀπὸ τῆς γῆς ἔσται τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσιν ἐν τῷ ἁγίῳ, καὶ ἔσται τοῖς ἐγγίζουσι λειτουργεῖν τῷ κυρίῳ. καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους ἀφωρισμένος τῷ ἁγιασμῷ αὐτῶν, εἴκοσι καὶ πέντε χιλιάδας μῆκος, καὶ εὖρος εἴκοσι χιλιάδας ἔσται. καὶ τοῖς Λευίταις τοῖς λειτουργοῦσι τῷ οἴκῳ, αὐτοῖς εἰς κατάσχεσιν πόλεις τοῦ κατοικεῖν. καὶ τὴν κατάσχεσιν τῆς πόλεως δώσεις πέντε χιλιάδας εὖρος, καὶ μῆκος πέντε καὶ εἴκοσι χιλιάδας, ὃν τρόπον ἡ ἀπαρχὴ τῶν ἁγίων παντὶ οἴκῳ Ἰσραὴλ ἔσονται, καὶ τῷ ἡγουμένῳ ἐκ τούτου, καὶ ἀπὸ τούτου εἰς τὰς ἀπαρχὰς τῶν ἁγίων, εἰς κατάσχεσιν

τῆς

τῆς πόλεως, κατὰ πρόσωπον τῶν
ἀπαρχῶν τῶν ἁγίων, καὶ κατὰ πρό-
σωπον τῆς κατασχέσεως τῆς πόλεως
τὰ πρὸς θάλασσαν, καὶ ἀπὸ τῶν πρὸς
θάλασσαν τῶν πρὸς ἀνατολάς. καὶ
τὸ μῆκος ὡς μία τῶν μερίδων, ἀ-
πὸ τῶν ὁρίων τῶν πρὸς θάλασσαν. καὶ
τὸ μῆκος ἐπὶ τὰ ὅρια τὰ πρὸς ἀνα-
τολὰς τῆς γῆς, καὶ ἔσται αὐτῷ εἰς κα-
τάσχεσιν τῷ ἰσραήλ. καὶ οὐ καταδυ-
ναστεύσουσιν οὐκέτι οἱ ἀφηγούμενοι
τοῦ ἰσραὴλ τὸν λαόν μου. καὶ τὴν γῆν
κατακληρονομήσουσιν οἶκος ἰσραὴλ
κατὰ φυλὰς αὐτῶν. Τάδε λέγει ἀ-
δωναῒ κύριος. ἱκανούσθω ὑμῖν οἱ ἀ-
φηγούμενοι τοῦ ἰσραήλ, ἀδικίαν καὶ τα-
λαιπωρίαν ἀφέλεσθε, καὶ κρίμα καὶ
δικαιοσύνην ποιήσατε. ἐξάρατε κα-
ταδυναστείαν ἀπὸ τοῦ λαοῦ μου, λέγει
κύριος ὁ θεός. ζυγὸς δίκαιος, καὶ μέ-
τρον δίκαιον, καὶ χοῖνιξ δικαία ἔ-
στω ὑμῖν τὸ μέτρον, καὶ χοῖνιξ ὁμοί-
ως ἔσται τοῦ λαμβάνειν. τὸ δέκατον
τοῦ γομὸρ, χοῖνιξ. καὶ τὸ δέκατον τοῦ
γομὸρ, τὸ μέτρον. πρὸς τὸ γομὸρ ἔ-
σται ἴσον. καὶ στάθμιον εἴκοσι ὀβο-
λοί, εἴκοσι σίκλοι, πέντε καὶ εἴκοσι
σίκλοι, δέκα καὶ πέντε σίκλοι μνᾶ
ἔσται ὑμῖν. καὶ αὕτη ἡ ἀπαρχὴ ἣν
ἀφοριεῖτε, ἕκτον τοῦ ὕφι ἀπὸ τοῦ κόρου
τοῦ πυροῦ, καὶ τὸ ἕκτον τοῦ ὕφι ἀπὸ τοῦ
κόρου τῶν κριθῶν. καὶ τὸ πρόσταγμα τοῦ
ἐλαίου ἀπὸ δέκα κοτυλῶν, ὅτι αἱ δέ-
κα κοτύλαι εἰσὶ γομόρ. καὶ πρόβατον

ἓν

cuntatis iuxta faciem pri-
mitiarum sanctorum, iux-
ta faciem possessionis ur-
bis, quę ad mare, & ab his
quæ ad mare, ad Orientē.
At longitudo quasi una
partiū, à terminis qui sunt
ad mare. Et longitudo ad
terminos, qui sunt ad Ori
entem terræ, & erit ei in
possessionē in Israel. Nec
opprimēt ultra principes
populum meū. Et terrę hę
reditatem accipiet domus
Israel iuxta tribus suos.
Hæc dicit Adonai domi-
nus. Satis sit uobis prin-
cipes Israel, iniquitatem
& miseriam auferte, iudi-
cium & iustitiam facite.
Tollite oppressionem à
populo meo, dicit domi-
nus deus. Statera iusta, & Exod. 30
mensura iusta, & chœnix Leuit. 19
iustus sit uobis mensura, Num. 1
& chœnix similiter unus
erit ad accipiendum. De-
cima pars gomor, chœ-
nix. Et decima pars go-
mor, mensura. gomor sit
æquale, et pondus uiginti
oboli, quinque sicli. Et ui
gintiquinque sicli, & quin-
decim sicli mna erit uo-
bis. Porrò hæc sunt primi
tiæ, quas separabitis, sex-
tam partem hyphi à coro
tritici, & sextam par-
tem hyphi à coro hordei.
Et præceptum olei à de-
cem cotylis. Nam decem
cotylæ, gomor. Et ouis

una

una à decem ouibus separatio, ex omnibus familijs Israel ad uictimas, ad solida sacrificia, & in salutare, ad expiandum pro uobis, dicit dominus deus. Ac uniuersus populus dabit primitias has Principi Israel. Et per principem erunt holocausta, & sacrificia, & libamina in solennitatibus, & in nouilunijs, & in sabbatis, & in omnibus festis domus Israel. Ipse faciet pro peccato, & sacrificium, & solida, sacrificia & salutaris ad expiandũ, pro domo Israel. Hæc dicit Adonai dominus deus, Primo mense, una mensis, accipietis uitulum ex bobus immaculatum ad expiandum sacrum, sumetq; sacerdos de sanguine expiationis, quem dabit ad limina domus, & ad quatuor angulos templi, & ad limina portæ atrij interioris. Et sic facies in mense septimo, uno mensis, accipies ab unoquoque ignorante, & paruulo, & expiabitis domum. Et in primo mense, quartadecimo mensis erit uobis paschæ solennitas. Septem diebus azyma edetis. Et faciet dux in illa die

ἓν ἀπὸ τῶν δέκα προβάτων ἀφαίρεμα, ἐκ πασῶν τῶν πατριῶν ἰσραὴλ, εἰς θυσίας καὶ εἰς ὁλοκαυτώματα, καὶ εἰς σωτήριον τοῦ ἐξιλάσασθαι περὶ ὑμῶν, λέγει κύριος ὁ θεός. καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν ταύτην τῷ ἀφηγουμένῳ τῶν ἰσραήλ. καὶ διὰ τοῦ ἀφηγουμένου ἔσται τὰ ὁλοκαυτώματα. καὶ θυσίαι καὶ σπονδαὶ ἔσονται ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς νουμηνίαις, καὶ ἐν τοῖς σαββάτοις, καὶ ἐν πάσαις ταῖς ἑορταῖς οἴκου ἰσραήλ. οὗτος ποιήσει τὰ ὑπὲρ ἁμαρτίας καὶ τὴν θυσίαν, καὶ τὰ ὁλοκαυτώματα, καὶ τὰ τοῦ σωτηρίου τοῦ ἐξιλάσασθαι ὑπὲρ τοῦ οἴκου ἰσραήλ. τάδε λέγει ἀδωναῒ κύριος ὁ θεός, ἐν τῷ πρώτῳ μηνὶ, μιᾷ τοῦ μηνὸς, λήψεσθε μόσχον ἐκ βοῶν ἄμωμον, τοῦ ἐξιλάσασθαι τὸ ἅγιον. καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ ἐξιλασμοῦ, καὶ δώσει ἐπὶ τὰς φλιὰς τοῦ οἴκου καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱεροῦ, καὶ ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης τῆς αὐλῆς τῆς ἐσωτέρας. καὶ οὕτως ποιήσεις ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ τοῦ μηνὸς, λήψῃ παρ' ἑκάστου ἀγνοοῦντος, καὶ ἀπὸ νηπίου, καὶ ἐξιλάσεσθε τὸν οἶκον. καὶ ἐν τῷ πρώτῳ μηνὶ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς, ἔσται ὑμῖν τὸ πάσχα ἑορτή. ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε. καὶ ποιήσει ὁ ἀφηγούμενος ἐν ἐκείνῃ

τῇ

τῇ ἡμέρᾳ, ὑπὲρ αὐτοῦ καὶ τοῦ οἴκου καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς, μόσχον ἐκ βοῶν ὑπὲρ ἁμαρτίας. τὰς ἑπτὰ ἡμέρας τῆς ἑορτῆς, καὶ πέμματα τῷ μόσχῳ καὶ πέμματα τῷ κριῷ ποιήσεις, καὶ ἐλαίου τὸ ἳν τῷ πέμματι. καὶ ἐν τῷ ἑβδόμῳ μηνί, πεντεκαιδεκάτῃ τοῦ μηνός, ἐν τῇ ἑορτῇ, ποιήσεις κατὰ τὰ αὐτά, ἑπτὰ ἡμέρας, καθὼς τὰ ὑπὲρ τῆς ἁμαρτίας, καὶ καθὼς τὰ ὁλοκαυτώματα, καὶ καθὼς τὰ μαναά, καὶ καθὼς τὸ ἔλαιον.

Τάδε λέγει κύριος ὁ θεός, ἡ πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, βλέπουσα πρὸς ἀνατολάς, ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς ἐνεργούς, ἐν δὲ τῇ ἡμέρᾳ τῶν σαββάτων ἀνοιχθήσεται. καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας ἀνοιχθήσεται, καὶ εἰσελεύσεται ὁ ἀφηγούμενος κατὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης τῆς ἔξωθεν, καὶ στήσεται ἐπὶ τὰ πρόθυρα τῆς πύλης, καὶ ποιήσουσιν οἱ ἱερεῖς τὰ ὁλοκαυτώματα αὐτοῦ, καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ. καὶ προσκυνήσει ἐπὶ τοῦ προθύρου τῆς πύλης, καὶ ἐξελεύσεται, καὶ ἡ πύλη οὐ μὴ κλεισθῇ ἕως ἑσπέρας. καὶ προσκυνήσει ὁ λαὸς τῆς γῆς κατὰ τὰ πρόθυρα τῆς πύλης ἐκείνης, ἐν τοῖς σαββάτοις καὶ ἐν ταῖς νουμηνίαις, ἐναντίον κυρίου. καὶ τὰ ὁλοκαυτώματα προσοίσει ὁ ἀφηγούμενος τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων,

ἕξ

die pro se, familiaq; , & pro uniuerso populo terrae uitulum ex bobus pro peccato. Septem dies solennitatis & coctiones uitulo, & coctiones arieti facies, et oleo hin coctioni. Septimoq; mense, quintodecimo mensis in solennitate facies eadem ratione, septem dies, & ut ea erant, quae pro peccato, & ut manaa, & ut oleum.

Capu XLVI

Hęc dicit dn̄s deus, Porta quae in atrio interiori quae respicit ad Orientem, erit clausa sex diebus profestis, die uero sabbatorum aperietur. Et in die neomeniae aperietur, & intrabit princeps per uiam aelam portae quae extra est, stabitq; in uestibulis portae, ac facient sacerdotes & solida eius, & salutis sacrificia. Adorabitq; in uestibulo portae, & egredietur, & porta non claudetur usque ad uesperam. Adorabit autem populus terrae ad uestibula portae illius, in sabbatis, neomenijsq; coram domino. Tum solida sacrificia prębebit princeps domino in die sabbatorū,

sex

sex agnos immaculatos,
& arietem immaculatum,
& manaa, & coctionem
arietibus, & agnis sacrifi-
cium, donum manus eius.
Et olei hin coctioni. Die
autem nouilunij uitulum
armenti fœtum immacula
tum, & sex agnos, & arie
tem immaculatũ. Fiet eti
am coctio arieti. Et co-
ctio uitulo erit manaa, &
agnis, quantum feret ma-
nus eius, & oleo hin cocti
oni. Cumq; ingredi uult
princeps, per uiam ælam
portæ egredietur. Cum
autem intrauerit populus
terræ coram domino in so
lennitatibus, qui ingredic
tur per uiam portæ quæ
ad Aquilonem, ut adoret,
is egredietur per uiam por
tæ, quæ est uersus Austrũ.
Qui ingredietur per uiam
portæ quæ est ad Aquilo
nem, non reuertetur per
uiam portæ qua ingressus
est, sed è regione illius e-
gredietur. Ac princeps in
medio eorum, cum ingre
diuntur, cum eis intrabit,
cum uero egrediētur hi,
exibit. Atque in solen-
nitatibus & in nundinis si
ent manaa, coctio uitulo,
& coctio arieti & agnis,
pro ut feret manus eius, et
olei hin coctioni. Si uerò
fecerit dux cõfessionis so-
lidũ incensum salutaris do
mino,

ἓξ ἀμνοὺς ἀμώμους, κριὸν ἄμωμον,
καὶ μαναὰ, καὶ πέμμα τῷ κριῷ, καὶ
τοῖς ἀμνοῖς θυσία, δόμα χειρὸς αὐ-
τοῦ. καὶ ἐλαίου τὸ ἶν, τῷ πέμματι,
καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας μό-
σχον υἱὸν βουκολίου ἄμωμον, καὶ ἓξ
ἀμνοὺς, καὶ κριὸν ἄμωμον. ἔσται καὶ
πέμμα τῷ κριῷ. καὶ πέμμα τῷ μό-
σχῳ ἔσται μαναὰ, καὶ τοῖς ἀμνοῖς,
καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐτοῦ, καὶ
ἐλαίου τὸ ἶν τῷ πέμματι. καὶ ἐν τῷ
εἰσπορεύεσθαι τὸν ἀφηγούμενον, κα-
τὰ τὴν ὁδὸν τοῦ αἰλὰμ τῆς πύλης ἐξε-
λεύσεται. καὶ ὅταν εἰσπορεύηται ὁ λα-
ὸς τῆς γῆς, ἐναντίον κυρίου ἐν ταῖς
ἑορταῖς, ὁ εἰσπορευόμενος κατὰ τὴν
ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν προσ-
κυνεῖν, ἐξελεύσεται κατὰ τὴν ὁδὸν
τῆς πύλης τῆς πρὸς νότον. ὁ εἰσπορευό-
μενος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς
πρὸς βορρᾶν, οὐκ ἀναστρέψει κατὰ
τὴν ὁδὸν τῆς πύλης, ἣν εἰσελήλυθεν,
ἀλλ᾽ ἢ κατ᾽ εὐθὺ αὐτῆς ἐξελεύσεται.
καὶ ὁ ἀφηγούμενος ἐν μέσῳ αὐτῶν
ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς, εἰσε-
λεύσεται μετ᾽ αὐτῶν, καὶ ἐν τῷ ἐκ-
πορεύεσθαι αὐτοὺς ἐξελεύσεται. καὶ
ἐν ταῖς ἑορταῖς καὶ ἐν ταῖς πανη-
γύρεσιν ἔσται τὰ μαναὰ, πέμμα τῷ
μόσχῳ, καὶ πέμμα τῷ κριῷ καὶ τοῖς
ἀμνοῖς, καθὼς ἂν ἐκποιῇ ἡ χεὶρ αὐ-
τοῦ. καὶ ἐλαίου τὸ ἶν, τῷ πέμματι.
ἐὰν δὲ ποιήσῃ ὁ ἀφηγούμενος ὁμολο-
γίας ὁλοκαύτωμα σωτηρίου τῷ κυ-
ρίῳ,

ρίῳ, καὶ ἀνοίξῃ ἑαυτῷ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς, καὶ ποιήσῃ τὸ ὁλοκαύτωμα αὐτοῦ, καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ, ὃν τρόπον ποιήσει ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων. καὶ ἐξελεύσεται, καὶ κλείσῃ τὰς θύρας μετὰ τὸ ἐξελθεῖν αὐτὸν, καὶ ἀμνὸν ἐνιαύσιον ἄμωμον, καὶ ποιήσῃ εἰς ὁλοκαύτωμα, καθ' ἡμέραν τῷ κυρίῳ. πρωῒ πρωῒ ποιήσει αὐτὸν, καὶ μαναὰ ποιήσῃ ἐπ' αὐτῷ. πρωῒ πρωῒ ἕκτον τοῦ μέτρου, καὶ ἐλαίου τὸ τρίτον τοῦ ἵν, τοῦ ἀναμίξαι τὴν σεμίδαλιν μαναὰ τῷ κυρίῳ. πρόσταγμα αἰώνιον διὰ παντὸς ποιήσεται τὸν ἀμνὸν, καὶ τὸν μαναὰ, καὶ τὸ ἔλαιον ποιήσετε τὸ πρωῒ, ὁλοκαύτωμα διὰ παντός. τάδε λέγει κύριος κύριος, ἐὰν δῷ ὁ ἀφηγούμενος δόμα ἑνὶ, ἐκ τῶν υἱῶν αὐτοῦ, ἐκ τῆς κληρονομίας αὐτοῦ, τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις αὐτῶν, αὕτη ἐν κληρονομίᾳ. ἐὰν δὲ δῷ δόμα ἐκ τῆς κληρονομίας αὐτοῦ, ἑνὶ τῶν παίδων αὐτοῦ, καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς ἀφέσεως, καὶ ἀποδοθήσεται τῷ ἀφηγουμένῳ. πλὴν τῆς κληρονομίας τῶν υἱῶν αὐτοῦ ἑαυτοῖς ἔσται, καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος ἐκ τῆς κληρονομίας τοῦ λαοῦ, καταδυναστεῦσαι τοὺς ἐκ τῆς κατασχέσεως αὐτῶν ἀπὸ τῆς κληρονομίας αὐτοῦ, κατακληρονομήσει τοῖς υἱοῖς αὐτοῦ, ὅπως μὴ διασκορπίζηται ὁ λαός μου, ἕκαστος ἀπὸ τῆς

κατα-

mino, et aperuerit sibi portam spectantem ad Ortus, & fecerit solidum incensum eius & salutaris eius, quemadmodum faciet in die feriarum. Et egredietur, & claudet portas, postquam egressus fuerit ipse. Qui agnum anniuersariũ immaculatum faciet |solidum sacrificium domino. quotidie mane mane faciet illud, & manaa faciet super eo, mane mane sextam partem mensuræ, & olei tertiam partem hin, ad miscendũ similam, manaa domino. Institutum perpetuum semper efficietur agnus & manaa, & oleum, facieris mane solida sacrificia semper. Hæc dicit dominus dominus. Si dederit princeps donum uni de filijs suis ex hæreditate sua, hoc possesio erit hæreditaria. Sin autem dederit donum uni seruorum suorum, durabit ei usque ad annũ remißionis, tum reddetur principi. Solum hæreditas ad ipsos filios suos pertinet, nec accipiet princeps ex hæreditate populi, ut opprimat eos de possesione sua. Hæreditatem dabit filiis suis, ut non dispergatur populus meus à

H posses-

possessione sua. Adduxit autem me in uiam, quae contra tergum portae, in exedram sanctorum sacerdotum, respicientem ad Aquilonē. Et ecce locus illic separatus. Dixitq; ad me, Iste locus est, ubi coquent sacerdotes ea, quae fiunt pro ignorantia, & quae pro peccato, & ibi coquēt manaa omnino, ne efferant in atrium exterius, ad sanctificandum populum. Et eduxit me in atriū exterius, & circumduxit me per quatuor partes atrij. Ecce autem atriū iuxta latera atrij, atria parua, longitudine cubitorū triginta, dimensio eadem in istis quatuor. Et exedrae circum ista quatuor, & coquinae factae subter exedris in circuitu. Et dixit ad me, Hae domus coquorum, ubi coquent ij, qui ministrant domui sacrificia populi.

Caput XLVII Et introduxit me ad uestibula domus, & ecce aqua egrediebatur de loco subdiali domus ad orientem, quia facies domus respiciebat ad orientem. Aqua uero descendebat à latere dextro, contra meridiem, ad altare. Eduxitq; me per uiam portae, quae ad aquilonē, & circumduxit me p̄ uiā portae extra, ad

κατασχέσεως αὐτοῦ. καὶ εἰσήγαγέ με εἰς τὴν ὁδὸν κατὰ νώτου τῆς πύλης, εἰς τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων, τὴν βλέπουσαν πρὸς βοῤῥᾶν. καὶ ἰδοὺ ἐκεῖ τόπος κεχωρισμένος, καὶ εἶπε πρός με, οὗτος ὁ τόπος ἐστὶν, οὗ ἑψήσουσιν ἐκεῖ οἱ ἱερεῖς τὰ ὑπὲρ τῆς ἀνομίας, καὶ τὰ ὑπὲρ τῆς ἁμαρτίας, καὶ ἐκεῖ πέψουσι τὸ μαναὰ τὸ παράπαν, τοῦ μὴ ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, τοῦ ἁγιάζειν τὸν λαόν. καὶ ἐξήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, καὶ περιήγαγέ με ἐπὶ τὰ τέσσαρα μέρη τῆς αὐλῆς. καὶ ἰδοὺ αὐλὴ κατὰ τὰ κλίτη τῆς αὐλῆς, αὐλὴ μικρὰ, μῆκος πήχεων τεσσαράκοντα, καὶ εὖρος πήχεων τριάκοντα, μέτρον ἐν ταῖς τέσσαρσι. καὶ ἐξέδραι κύκλῳ ἐν αὐταῖς, κύκλῳ ταῖς τέσσαρσι. καὶ μαγειρεῖα γεγονότα ὑποκάτω τῶν ἐξεδρῶν κύκλῳ. καὶ εἶπε πρός με, οὗτοι οἱ οἶκοι τῶν μαγείρων, οὗ ἑψήσουσιν ἐκεῖ οἱ λειτουργοῦντες τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.

Καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου, καὶ ἰδοὺ ὕδωρ ἐξεπορεύετο ὑποκάτωθεν τοῦ αἰθρίου τοῦ οἴκου κατὰ ἀνατολὰς, ὅτι τὸ πρόσωπον τοῦ οἴκου ἔβλεπε κατὰ ἀνατολὰς, καὶ τὸ ὕδωρ κατέβαινεν ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ, κατὰ νότου ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐξήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βοῤῥᾶν, καὶ περιήγαγέ με τὴν ὁδὸν τῆς πύλης ἔξωθεν,

πρὸς

πρὸς τὴν πύλην τῆς αὐλῆς τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ ἰδοὺ τὸ ὕδωρ κατεφέρετο ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ, καθὼς ἔξοδος ἀνδρὸς ἐξεναντίας. καὶ μέτρον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διεμέτρησε χιλίους ἐν τῷ μέτρῳ. καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἀφέσεως, καὶ διεμέτρησε χιλίους ἐν τῷ μέτρῳ, καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ ἕως τῶν μηρῶν. καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ὕδωρ ἕως ὀσφύος. καὶ διεμέτρησε χιλίους, καὶ οὐκ ἠδύνατο διελθεῖν, ὅτι ἐξύβριζε τὸ ὕδωρ ὡς ῥοῖζος χειμάῤῥου ὃ οὐ διαβήσονται. καὶ εἶπε πρός με, εἰ ἑώρακας υἱὲ ἀνθρώπου; καὶ ἀπήγαγέ με, καὶ ἐπέστρεψέ με ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ, ἐν τῇ ἐπιστροφῇ μου. καὶ ἰδοὺ ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν καὶ ἔνθεν. καὶ εἶπε πρός με, τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς τὴν γαλιλαίαν τὴν πρὸς ἀνατολὰς, καὶ κατέβαινον ἐπὶ τὴν ἀραβίαν, καὶ ἤρχετο ἕως ἐπὶ τὴν θάλασσαν, ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς, καὶ ὑγιάσει τὰ ὕδατα, καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζώντων ἐκζεόντων, ἐπὶ πάντα ἐφ᾽ ἃ ἂν ἐπέλθῃ ὁ ποταμὸς, ἐκεῖ ζήσεται. καὶ ἔσται ἐκεῖ ἰχθὺς πολὺς σφόδρα, ὅτι ἥκει ἐκεῖ τὸ ὕδωρ τοῦτο, καὶ ὑγιάσει, καὶ ζήσεται πᾶν ἐφ᾽ ὃ ἂν ἐπέλθῃ ὁ ποταμός. καὶ ἔσονται, καὶ στήσονται ἐπ᾽ αὐτοὺς ἁλιεῖς, ἀπὸ ἀγαδδὶν ἕως ἀναγαλλείμ. ψυγμὸς σαγηνῶν

ἔσται,

ad portam atrii respicientis ad orientem. Ecce autem ubi aqua deducitur à latere dextro, tanquã exitus uiri ex aduerso, in cuius manu erat regula, & dimensus est mille regula. Ac transiuit in aqua, aqua dimissionis, & mensus est mille regula, et transiit in aqua usque ad genua, & mensus est mille, & transiit aqua usq; ad lumbum. & mensus est mille, nec potuit transire ultra, quia intumuerat aqua quasi impetus torrentis, qui uadari nõ potest. Et dixit ad me. Vidisti'ne fili hominis? Et abduxit me, cõuertitq; me ad ripam fluminis, in cõuersione mea. Ecce autem in ripa fluminis arbores multę ualde, hinc inde. Dixitq; mihi, Hæc aqua, quæ fluuit in Galilæam, quæ est ad orientem, & quæ descendit in Arabiã, & uenit usq; ad mare, ad aquã exit*, sanabit aquas, fietq; ut quæcunq; anima animalium bulliẽtium, ad quã ueniet fluuius, uiuat. Eritq; illic magna pisciũ copia, quia uenit illuc aqua hæc, & sanabit, et uiuet omne id, ad q̃d uenerit fluuius. Et erit, stabũtq; apud eos illic piscatores, ab Agaddin usque ad Anagallim. Siccatio sagena

 erit,

erit, per seipsam erit. Pisces eius, sunt ueluti pisces maris magni, copia maxima. Et in exitu eius, & in conuersione eius, & in exundatione eius non sanabunt, in sales data sunt. Atque in fluminis ripa succrescet hinc inde quoduis lignum ad uescendum aptum, nulla uetustate cõsumetur apud ipsum, neq; deficiet fructus eius, nouationis suæ primitiua dabit, quia aquę eorum ex sanctis egrediuntur. Et erit fructus eorum cibus, & ascensio eorum sanitas. Hæc dicit dominus deus. Hos terminos possidebitis terræ, duodecim tribubus filiorum Israel, adiectio funiculi. Eamq; quisque possidebit tanquã frater suus, in quã extuli manũ meam, ut darem patribus eorum. Peruenietq; terra hęc ad uos hæreditate. Hi uero sunt termini terræ. Ad Aquilonem, à mari magno descendente, & diuidente introitum Seddada, Hæmath, Berotham, Samarim, quæ inter terminos Damasci, & inter terminos Emath atria Saunan, quæ sunt super terminos Auranitidis. Hi termini à mari, ab atrio Aunan, termini Damasci, & quæ ad Aquilonem, contra

tra

ἔσται, καθ' ἑαυτὴν ἔσται. καὶ οἱ ἰχθύες αὐτῆς, ὡς ἰχθύες τῆς θαλάσσης τῆς μεγάλης, πλῆθος πολὺ σφόδρα. καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ, καὶ ἐν τῇ ἀποστροφῇ αὐτοῦ, καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ, τὰ τενάγη αὐτοῦ οὐ μὴ ὑγιάσωσιν, εἰς ἅλας δέδονται. καὶ ἐπὶ τοῦ ποταμοῦ ἀναβήσεται, καὶ ἐπὶ τοῦ χείλους αὐτοῦ ἔνθεν καὶ ἔνθεν, πᾶν ξύλον βρώσιμον οὐ μὴ παλαιωθῇ ἐπ' αὐτοῦ, οὐδὲ μὴ ἐκλείπῃ ὁ καρπὸς. τῆς καινότητος αὐτοῦ πρωτοβολήσει, διότι τὰ ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ἐκπορεύεται. καὶ ἔσται ὁ καρπὸς αὐτῶν εἰς βρῶσιν, καὶ ἀνάβασις αὐτῶν εἰς ὑγίειαν. τάδε λέγει κύριος ὁ θεός. ταῦτα τὰ ὅρια κατακληρονομήσετε τῆς γῆς, ταῖς δώδεκα φυλαῖς τῶν υἱῶν Ἰσραήλ, πρόσθεσις σχοινίσματος. καὶ κατακληρονομήσετε αὐτὴν ἕκαστος καθὼς ὁ ἀδελφὸς αὐτοῦ, εἰς ἣν ἦρα τὴν χεῖρά μου, τοῦ δοῦναι αὐτὴν τοῖς πατράσιν αὐτῶν, καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κληρονομίᾳ. καὶ ταῦτα τὰ ὅρια τῆς γῆς, πρὸς βορρᾶν ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης τῆς καταβαινούσης, καὶ περισχιζούσης τῆς εἰσόδου σεδδαδά, αἱμάθ, βηρωθάμ, σαμαρείμ, τὴν ἀνὰ μέσον ὁρίων δαμασκοῦ, καὶ ἀνὰ μέσον ὁρίων ἡμάθ, αὐλαὶ τοῦ σαυνάν, αἵ εἰσιν ἐπάνω τῶν ὁρίων αὐρανίτιδος. ταῦτα τὰ ὅρια ἀπὸ τῆς θαλάσσης. ἀπὸ τῆς αὐλῆς τοῦ αἰνάν, ὅρια δαμασκοῦ, καὶ τὰ πρὸς βορρᾶν κα-

τὰ

τὰ βοῤῥᾶ. καὶ τὸ ὅριον ἡμὰθ, τὸ ὅριον βοῤῥᾶ. κατὰ πρόσωπον ἀνατολῶν, ἀνὰ μέσον τῆς αὐρανίτιδος, καὶ ἀνὰ μέσον δαμασκοῦ, καὶ ἀνὰ μέσον τῆς γαλααδίτιδος, καὶ ἀνὰ μέσον τῆς γῆς τοῦ ἰσραήλ. ὁ ἰορδάνης διορίζει ἐπὶ τὴν θάλασσαν, τὴν πρὸς ἀνατολὰς φοινικῶνος. ταῦτα τὰ πρὸς ἀνατολάς, καὶ τὰ πρὸς νότον καὶ λίβα ἀπὸ θαιμὰν καὶ φοινικῶνος, ἕως ὕδατος μαριμὼθ κάδδης, παρεκτεῖνον ἐπὶ τὴν θάλασσαν τὴν μεγάλην. τοῦτο τὸ μέρος νότος καὶ λίψ, τοῦτο τὸ μέρος τῆς θαλάσσης τῆς μεγάλης διορίζει, ἕως κατέναντι τῆς εἰσόδου ἡμὰθ, ἕως εἰσόδου αὐτοῦ. ταῦτά ἐστι τὰ πρὸς θάλασσαν ἡμάθ. καὶ διαμερίσετε τὴν γῆν ταύτην αὐτοῖς, ταῖς φυλαῖς τοῦ ἰσραὴλ βαλεῖτε αὐτὴν ἐν κλήρῳ ὑμῖν, καὶ τοῖς προσηλύτοις τοῖς παροικοῦσιν ἐν μέσῳ ὑμῶν, οἵτινες ἐγέννησαν υἱοὺς ἐν μέσῳ ὑμῶν. καὶ ἔσονται ὑμῖν ὡς αὐτόχθονες ἐν τοῖς υἱοῖς ἰσραήλ. μεθ' ὑμῶν φάγονται ἐν κληρονομίᾳ ἐν μέσῳ τῶν φυλῶν τοῦ ἰσραὴλ, καὶ ἔσονται ἐν φυλῇ προσηλύτων ἐν τοῖς μετ' αὐτῶν, ἐκεῖ δώσετε κληρονομίαν αὐτοῖς, λέγει κύριος ὁ θεός.

Καὶ ταῦτα τὰ ὅρια τῶν φυλῶν ἀπὸ τῆς ἀρχῆς τῆς πρὸς βοῤῥᾶν, καὶ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχίζοντος ἐπὶ τὴν εἴσοδον τῆς ἡμὰθ αὐλῆς τοῦ αἰλὰμ, ὅριον δαμασκοῦ πρὸς βοῤῥᾶν κατὰ μέρος

tra Aquilonem. Terminusque Emath, terminus est aquilonis, uersus faciem orientis, inter Auranitiden & inter Damascũ, & inter Galaaditidem, et inter terrã Israel. Iordanes determinat ad mare quod ad orientem palmeti. Hęc quæ ad orientem. Hæc uero quę ad Austrum & Aphricum, à Thæman & palmeto, usque ad aquam Marimoth Cades, extendens ad mare magnum. Hanc partem Auster, & Aphricus hanc partẽ maris magni determinat, usque ad aditum Emath qui è regione est, usque ad introitum eius. Ista sunt quę ad mare Emath. Diuidetis autem terram hanc ipsis tribubus Israel, capietis eam sortito & aduenę qui habitant in medio uestrum, qui genuerunt filios in medio uestri. Et erũt uestri quasi indigenæ in filiis Israel, uobiscum comedent in hæreditate, in medio tribuum Israel, & erũt in tribu aduenarum, in aduenis iis, qui cum illis sunt, ibi dabitis hæreditatem illis, dicit dominus deus.

Caput XLVIII

Et hi termini tribuũ ab initio quod est ab Aquilone, pars descensus diuidentis ad introitũ Emath atrii Ænon, terminus Damasci ad Aquilonem, ad

partē Emath atrii. Eritq; illis ea, quæ uersus Orientem usque ad mare Dan, una. Et à terminis Dan quæ ad Orientem usque ad mare Aser, una. Et à terminis Aser ab his quæ ad Orientem usque ad ea quæ ad mare Nephtalim, una. Et à terminis Nephthalim, ab oriente usque ad ea quæ ad mare Manasse, una. Et à terminis Manasse ab Oriente usque ad ea quæ ad mare Ephraim, una. Atque à terminis Ephraim, ab his quæ ad Orientem usque ad ea quæ ad mare Ruben, una. Deinde à terminis Ruben ab his quæ ad Orientem, usque ad ea quæ ad mare Iuda, una. Et à terminis Iuda ab his quæ ad Orientem usque ad ea, quæ ad mare, erit initium separationis, quinque & uiginti millia latitudinis, et longitudo ut una ex iis partibus quæ uersus orientem sunt, usque ad mare. Fietq; sanctum in medio eorum, primitię quas separabunt domino, longitudo quinque & uiginti millia, & latitudo decem millia. Et hæ primitiæ sanctorum sacerdotibus ad aquilonē, uiginti quinque millia, & ad mare latitudo decem millia, & ad Orientem latitudo decem millia, & ad Austrum

μέρος ἡμὰθ αὐλῆς. καὶ ἔσται αὐτοῖς τὰ πρὸς ἀνατολὰς ἕως πρὸς θάλασσαν δάν, μία. καὶ ἀπὸ ὁρίων τῶν δὰν τὰ πρὸς ἀνατολὰς, ἕως πρὸς θάλασσαν ἀσὴρ, μία. καὶ ἀπὸ τῶν ὁρίων ἀσὴρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν ἀσὴρ, μία. καὶ ἀπὸ τῶν ὁρίων ἀσὴρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν νεφθαλείμ, μία. καὶ ἀπὸ τῶν νεφθαλεὶμ ἀπὸ τῶν ὁρίων πρὸς ἀνατολὰς τῶν πρὸς θάλασσαν μανασσῆ, μία. καὶ ἀπὸ τῶν ὁρίων μανασσῆ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν ἐφραὶμ, μία. καὶ ἀπὸ τῶν ὁρίων ἐφραὶμ ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν ῥουβὴν, μία. καὶ ἀπὸ τῶν ὁρίων ῥουβὴν, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν ἰούδα, μία. καὶ ἀπὸ τῶν ὁρίων ἰούδα ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν, ἔσται ἡ ἀπαρχὴ τοῦ ἀφορισμοῦ, πέντε καὶ εἴκοσι χιλιάδες εὖρος: καὶ μῆκος καθὼς μία τῶν μερίδων ἀπὸ τῶν πρὸς ἀνατολὰς, καὶ ἕως τῶν πρὸς θάλασσαν. καὶ ἔσται τὸ ἅγιον ἐν μέσῳ αὐτῶν, ἀπαρχὴ, ἣν ἀφοριοῦσι τῷ κυρίῳ, μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος εἴκοσι πέντε χιλιάδες. τούτων ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων τοῖς ἱερεῦσι πρὸς βοῤῥᾶν, πέντε καὶ εἴκοσι χιλιάδες, καὶ πρὸς θάλασσαν εὖρος δέκα χιλιάδες, καὶ πρὸς ἀνατολὰς πλάτος, δέκα χιλιάδες, καὶ πρὸς

νότον

νότον μῆκος εἴκοσι καὶ πέντε χιλιάδας. καὶ τὸ ὄρος τῶν ἁγίων ἔσται ἐν μέσῳ αὐτοῦ τοῖς ἱερεῦσι, τοῖς ἡγιασμένοις υἱοῖς σαδδοὺκ, τοῖς φυλάσσουσι τὰς φυλακὰς τοῦ οἴκου, οἵτινες οὐκ ἐπλανήθησαν ἐν τῇ πλανήσει τῶν υἱῶν ἰσραὴλ, ὃν τρόπον ἐπλανήθησαν οἱ λευῖται. καὶ ἔσται αὐτοῖς ἡ ἀπαρχὴ δεδομένη ἐκ τῶν ἀπαρχῶν τῆς γῆς, ἅγιον τῶν ἁγίων ἀπὸ τῶν ὁρίων τῶν λευιτῶν. τοῖς λευίταις τὰ ἐχόμενα τῶν ὁρίων τῶν ἱερέων, μῆκος πέντε καὶ εἴκοσι χιλιάδες, καὶ εὖρος δέκα χιλιάδες. πᾶν τὸ μῆκος πέντε καὶ εἴκοσι χιλιάδες. οὐ πραθήσεται ἐξ αὐτοῦ, οὐδὲ καταμετρηθήσεται, οὐδὲ ἀφαιρεθήσεται τὰ πρωτογεννήματα τῆς γῆς, ὅτι ἅγιον ἔσται τῷ κυρίῳ. τὰς πέντε χιλιάδας τὰς περισσὰς ἐν τῷ πλάτει ἐπὶ ταῖς πέντε καὶ εἴκοσι χιλιάσι, προτείχισμα ἔσται τῇ πόλει εἰς κατοικίαν καὶ διάστημα αὐτοῦ. καὶ ἔσται ἡ πόλις ἐν μέσῳ αὐτοῦ, καὶ ταῦτα τὰ μέτρα αὐτοῦ, ἀπὸ τῶν πρὸς βοῤῥᾶν πεντακόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς νότον πεντακόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς ἀνατολὰς πεντακόσιοι καὶ τέσσαρες χιλιάδες, καὶ ἀπὸ τῶν πρὸς θάλασσαν τετρακισχίλιοι πεντακόσιοι. καὶ ἔσται διάστημα τῇ πόλει πρὸς βοῤῥᾶν, διακόσιοι πεντήκοντα, καὶ πρὸς νότον διακόσιοι πεντήκοντα, καὶ πρὸς ἀνατολὰς διακό-

Austrum uiginti & quinque millia. Et mons sanctorum erit in medio eius sacerdotibus, consecratis filii Sadduc qui obseruant domus custodias, qui non errauerunt in errore filiorum Israel, ita ut errarunt Leuitæ. Eisq; dabuntur primitiæ ex primitiis terræ, sanctum sanctorum, à terminis Leuitarum. At Leuitis, quę sunt iuxta terminos sacerdotum, longitudo uigintiquinque millia, & latitudo decem millia. omnis longitudo uigintiquinque millia. Non uenundabuntur ex eo, neq; norma dirigentur, neque auferentur primitiæ terrę, quia sacrum est domino. Quinque millia superflua in latitudine ad quinque & uiginti millia mœnia erunt urbi ad domũ eius et spaciũ eius. Eritq; ciuitas in medio eius. Et istæ mẽsuræ eius, ab his quæ ad Aquilonem, quingenta et quatuor millia, & ab his quæ ad Meridiem quingẽta quatuor millia, & ab his quæ ad Orientẽ quingenta & quatuor millia, & ab his quæ ad mare quatuor millia quingenta. Et erit spacium ciuitati ad Aquilonem, ducenta quinquaginta, & ad Meridiem ducenta quinquaginta, & ad Ortus

ducenta quinquaginta, & ad mare ducenta quinquaginta, reliquumq; longitudinis, quod iuxta primitias sanctorum decem millia ad orientem, & decem milia ad mare. Attinebuntq; primitiæ ad sanctum, fientq; fruges eius in panes his qui operantur ciuitatem. At qui operantur ciuitatem, erunt operarij ex omnibus tribubus Israel. Omnes primitiæ in quinque & uiginti millia, per quinque & uiginti millia. Quadrangulum separabitis primitias sancti à possessione ciuitatis, reliquum ex eo principis erit, & ex hoc à primitiis sancti, & in possessionem ciuitatis iuxta faciem per quinque & uiginti millium longitudinem, usque ad terminos qui ad Orientem, & ad mare, ad faciem quinq; & uiginti millia, usque ad terminos, qui ad mare adiuncti partibus principis. Et erunt primitiæ sanctorum, & consecratio domus in medio eius. Atque à Leuitarum possessione, à possessione in medio ducum erit. Inter terminos Iuda, & inter terminos Beniamin, principi erit. Residuum autem tribuũ ab his, quæ ad Orientem usque ad ea, quæ ad mare Benia-

διακόσιοι πεντήκοντα, καὶ πρὸς θάλασσαν διακόσιοι πεντήκοντα, καὶ τὸ περισσὸν τοῦ μήκους τὸ ἐχόμενον ἀπὸ τῶν ἀπαρχῶν τῶν ἁγίων, δέκα χιλιάδες πρὸς ἀνατολὰς, καὶ δέκα χιλιάδες πρὸς θάλασσαν. καὶ ἔσονται ἀπαρχαὶ τοῦ ἁγίου, ἔσται τὰ γεννήματα αὐτῆς εἰς ἄρτους τοῖς ἐργαζομένοις τὴν πόλιν. οἱ δὲ ἐργαζόμενοι τὴν πόλιν ἐργῶνται αὐτὴν ἐκ πασῶν φυλῶν τοῦ ἰσραὴλ, πᾶσα ἡ ἀπαρχὴ, πέντε καὶ εἴκοσι χιλιάδες ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδες. τετράγωνον ἀφοριεῖτε αὐτοῦ τὴν ἀπαρχὴν τοῦ ἁγίου, ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως. τὸ δὲ περισσὸν τῷ ἀφηγουμένῳ ἐκ τούτου. καὶ ἐκ τούτου ἀπὸ τῶν ἀπαρχῶν τοῦ ἁγίου, καὶ εἰς τὴν κατάσχεσιν τῆς πόλεως κατὰ πρόσωπον ἐπὶ πέντε καὶ εἴκοσι χιλιάδες μήκους, ἕως τῶν ὁρίων τῶν πρὸς ἀνατολὴν καὶ πρὸς θάλασσαν, ἐπὶ πρόσωπον πέντε καὶ εἴκοσι χιλιάδες ἕως τῶν ὁρίων τῶν πρὸς θάλασσαν, ἐχόμενα τῶν μερίδων τοῦ ἀφηγουμένου. καὶ ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων, καὶ τὸ ἁγίασμα τοῦ οἴκου ἐν μέσῳ αὐτῆς. καὶ ἀπὸ τῆς κατασχέσεως τῶν λευιτῶν, ἀπὸ τῆς κατασχέσεως ἐν μέσῳ τῶν ἀφηγουμένων ἔσται. ἀνὰ μέσον τῶν ὁρίων ἰούδα, καὶ ἀνὰ μέσον τῶν ὁρίων βενιαμὶν, τῷ ἀφηγουμένῳ ἔσται. καὶ τὸ περισσὸν τῶν φυλῶν, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν

βενιαμ

βενιαμὶν, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν βενιαμὶν ἀπὸ τ πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν συμεὼν, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν συμεὼν ἀπὸ τ πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς θάλασσαν ἰσσάχαρ, μία. καὶ ἀπὸ τῶν ὁρίων τ ἰσσάχαρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τ πρὸς θάλασσαν ζαβουλὼν, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν ζαβουλὼν, ἀπὸ τῶν πρὸς ἀνατολὰς ἕως τῶν πρὸς θάλασσαν γὰδ, μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν γὰδ ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως λίβα. καὶ ἔσται τὰ ὅρια αὐτ ἀπὸ θαιμὰν, καὶ ὕδατος μαριμὼθ κάδης κληρονομίας, ἕως τ θαλάσσης τ μεγάλης, αὕτη ἡ γῆ, ἣν βαλεῖτε ἐν κλήρῳ ταῖς φυλαῖς τ ἰσραὴλ. οὗτοι οἱ διαμερισμοὶ αὐτῶν, λέγει κύριος ὁ θεός. καὶ αὗται αἱ διεκβολαὶ τῆς πόλεως αἱ πρὸς βορρᾶν, τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ. καὶ αἱ πύλαι τ πόλεως, ἐπ' ὀνόμασι φυλῶν τ ἰσραήλ. πύλαι τρεῖς πρὸς βορρᾶν, πύλη ῥουβὶν μία, πύλη ἰούδα μία, πύλη λευὶ μία, καὶ τὰ πρὸς ἀνατολὰς τετρακισχίλιοι πεντακόσιοι, καὶ πύλαι τρεῖς, πύλη ἰωσὴφ μία, πύλη βενιαμὶν μία, πύλη δὰν μία. καὶ τὰ πρὸς νότον τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ. καὶ πύλαι τρεῖς, πύλη συμεὼν μία, πύλη ἰσσάχαρ μία, πύλη ζαβουλὼν μία. καὶ τὰ πρὸς θάλασσαν

Beniamin, una. Et à terminis Beniamin, ab his quæ ad Orientem usq; ad ea, quę ad mare Symeon, una. Et à terminis Symeon ab his quæ ad Orientem, usque ad ea quæ ad mare Issachar, una. Et à terminis Issachar, ab his quæ ad Orientem, usque ad ea quæ ad mare Zabulon, una. Et à terminis Zabulon ab his quæ ad Orientem, usque ad ea quę ad mare Gad, una. Et à terminis Gad, usque ea quæ ad Aphricum. Et erunt termini eius à Thæman, & aqua Marimoth Caddes hęreditatis, usq; ad mare magnũ. Hæc est terra, quam in sortem coniicietis tribubus Israel. Hæc distributiones eorum, dicit dominus deus. Et hi sunt exitus ciuitatis, qui ad Aquilonem, quater mille & quingenti regula. Portæ autem ciuitatis nomina habebant tribuum Israel, portę tres ad Aquilonem. Porta Ruben una, porta Iuda una, porta Leui una. Et quæ ad Orientem quater mille quingenti, et portæ tres, porta Ioseph una, porta Beniamin una, porta Dan una. Et quæ ad Austrum, quatuor millia et quingenti mẽsura, portę tres, porta Symeon una, porta Issachar una, porta Zabulõ una. Et quę ad ma-

re quater mille quingenti mensura, portæ tres, porta Gad una, & porta Aser una, & porta Nephthalim una. Ambitus, decem & octo millia, & nomen ciuitatis ex quocunque die fuerit dominus, illic erit nomen eius.

λιασίων, τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ, πύλαι τρεῖς, πύλη γὰδ μία, πύλη ἀσὴρ μία, πύλη νεφθαλεὶμ μία. κύκλωμα, δέκα καὶ ὀκτὼ χιλιάδες. καὶ τὸ ὄνομα τῆς πόλεως, ἀφ᾽ ἧς ἂν ἡμέρας γένηται κύριος, ἐκεῖ ἔσται τὸ ὄνομα αὐτῆς.

DANIEL.

Caput I

N ANNO tertio regni Ioacim regis Iuda uenit Nabuchodonosor rex Babylonis in Hierusalẽ, & obsidebat eam. Et dedit dñs in manu eius Ioacim regẽ Iuda, & partẽ uasorum domus domini, quæ tulit in terrã Sennaar, domum dei sui, & uasa intulit in domum thesauri dei sui. Dixit autem rex Aphanez principi eunuchorum suorum, ut introduceret de filiis captiuitatis Hierusalem, & de semine regni, & de phortommin adolescentes, in quibus nulla esset macula, pulchros aspectu, qui intelligerent omnem sapientiam, qui haberent cognitionem, qui noscerent prudentiam, & in quibus uires essent assistendi in domo coram rege. Et ut docerent eos literas & linguam

Ν ἔτει τρίτῳ βασιλείας ἰωακεὶμ βασιλέως ἰούδα, ἦλθε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος εἰς ἱερουσαλὴμ καὶ ἐπολιόρκει αὐτήν. καὶ ἔδωκε κύριος ἐν χειρὶ αὐτοῦ τὸν ἰωακεὶμ βασιλέα ἰούδα, καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου κυρίου, καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν σενναὰρ οἶκον τοῦ θεοῦ αὐτοῦ, καὶ τὰ σκεύη εἰσήνεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς τῷ ἀσφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ, εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας ἱερουσαλὴμ, καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας, καὶ ἀπὸ τῶν φορθομμὶν νεανίσκους, οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος, καλοὺς τῇ ὄψει, καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ, καὶ γινώσκοντας γνῶσιν, καὶ διανοουμένους φρόνησιν, καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς, ἑστάναι ἐν τῷ οἴκῳ ἐνώπιον τοῦ βασιλέως, καὶ διδάξαι αὐτοὺς γράμματα καὶ

γλῶσσαν

γλῶσσαν χαλδαίων. καὶ διέταξεν
αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡμέρας καθ'
ἡμέραν, ἀπὸ τῆς τραπέζης τοῦ βασι-
λέως, καὶ ἀπὸ τοῦ οἴνου τοῦ πότου αὐτοῦ,
καὶ θρέψαι αὐτοὺς ἔτη τρία, καὶ μετὰ
ταῦτα στῆναι ἐνώπιον τοῦ βασιλέως.
καὶ ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν ἰού-
δα δανιὴλ καὶ ἀνανίας, καὶ ἀζαρί-
ας, καὶ μισαήλ. καὶ ἐπέθηκεν αὐτοῖς
ὁ ἀρχιευνοῦχος ὀνόματα, τῷ δανιὴλ
βαλτάσαρ, καὶ τῷ ἀνανίᾳ σιδράχ,
καὶ τῷ μισαὴλ μισάκ, καὶ τῷ ἀζαρίᾳ
ἀβδεναγώ. καὶ ἔθετο δανιὴλ ἐν τῇ
καρδίᾳ αὐτοῦ, ὡς οὐ μὴ ἀλισγη-
θῇ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως,
καὶ ἐν τῷ οἴνῳ τοῦ πότου αὐτοῦ. καὶ
ἠξίωσε τὸν ἀρχιευνοῦχον, ὡς οὐ μὴ
ἀλισγηθῇ. καὶ ἔδωκεν ὁ θεὸς τὸν
δανιὴλ εἰς ἔλεον καὶ οἰκτιρμοὺς,
ἐνώπιον τοῦ ἀρχιευνούχου. καὶ εἶπεν
ὁ ἀρχιευνοῦχος τῷ δανιήλ, φοβοῦ-
μαι ἐγὼ τὸν κύριόν μου τὸν βασι-
λέα, τὸν ἐκτάξαντα τὴν βρῶσιν καὶ
τὴν πόσιν ὑμῶν, μήποτε ἴδῃ τὰ
πρόσωπα ὑμῶν παρὰ τὰ παιδά-
ρια τὰ συνήλικα ὑμῶν, καὶ κατα-
δικάσητε τὴν κεφαλήν μου τῷ βασι-
λεῖ. καὶ εἶπε δανιὴλ πρὸς ἀμελ-
σάδ, ὃν κατέστησεν ὁ ἀρχιευνοῦχος
ἐπὶ δανιὴλ καὶ ἀνανίαν καὶ μισαὴλ
καὶ ἀζαρίαν, πείρασον δὴ παῖδάς
σου ἡμέρας δέκα. καὶ δότωσαν ἡμῖν
ἀπὸ τῶν σπερμάτων τῆς γῆς, καὶ
φαγόμεθα, καὶ ὕδωρ πιόμεθα, καὶ

ὀφθεί

linguam Chaldæorum. Et
constituit eis rex quotidi-
anum uictum à mensa re-
gis, & à uino potus eius,
quo nutrirẽtur annos tres,
et postea starent coram re
ge. Fuerunt autem in eis
de filiis Iuda Daniel &
Ananias & Azarias, &
Misael. Et imposuit eis
princeps eunuchorum no
mina, Daniel Baltasar, &
Ananiæ Sidrach, & Misa
el Misac, & Azariæ Ab
denago. Induxit autẽ Da-
niel in cor suum, ne conta
minaretur in mensa regis,
& in uino potus eius. Ro
gauitq; principem eunu-
chorum, ne contaminare-
tur. Et dedit deus Daniel
in misericordiam & mise-
rationes coram principe
eunuchorũ. Et dixit prin-
ceps eunuchorum Danie-
li, Timeo ego dominum
meum regem, qui cõstitui-
it cibum et potum uestrũ,
ne cũ uideat facies uestras
tristiores, quàm puerorũ
æqualium uestrorum, capi
tis condemnatus regi sũ.
Tunc dixit Daniel ad A-
melsal, quem præfecit prin
ceps eunuchorũ Daniel
& Ananiæ, & Misael &
Azariæ, Experire, quæso
seruos tuos dies decem,
& dent nobis de semini-
bus terræ, & edemus,
& aquam bibemus, &

uideantur

uideantur coram te formę nostræ & formæ puerorũ comedentium mensam regis, quod tum tibi uisum fuerit, cum seruis tuis agito. Itaque audiuit eos, tentauitq́ eos dies decem. Et post finem decem dierum uisæ sunt formæ eorũ bonę, firmęq́ carnibus supra omnes pueros comedentes mẽsam regis. Quare Amelsad auferebat cœnam eorum, & uinum poculi eorum, & dabat eis semina. Dedit autem eis deus intelligentiã & prudentiam in omni literatura & sapientia. Et Daniel intellexit quamlibet uisionem, ac somnia. Verũ post finem dierum de quibus dixerat rex, ut introducerentur, introduxit eos princeps eunuchorum in conspectum Nabuchodonosor. Et loquutus est cum eis rex. Nec inuenti sunt ex omnibus illis, similes Daniel & Ananię, & Misael & Azariæ, steteruntq́ in conspectu regis. Atq́ in quolibet sermone sapientię scientięq́, quem quæsiuit ab eis rex, inuenit eos decuplo præstantiores, quàm omnes incantatores & magos, qui sunt in omni regno eius. Fuit'que Daniel usque ad annum primum Cyri regis.

In

ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν, καὶ αἱ ἰδέαι τῶν παιδαρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως, καὶ καθὼς ἐὰν ἴδῃς, ποίησον μετὰ τῶν παίδων σου. καὶ εἰσήκουσεν αὐτῶν, καὶ ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα. καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμερῶν, ὡράθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ καὶ ἰσχυραὶ ταῖς σαρξίν, ὑπὲρ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως. καὶ ἐγένετο ἀμελσὰδ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν, καὶ τὸν οἶνον τοῦ πόματος αὐτῶν, καὶ ἐδίδου αὐτοῖς σπέρματα. καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ. καὶ δανιὴλ συνῆκεν ἐν πάσῃ ὁράσει καὶ ἐνυπνίοις. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν, ὧν εἶπεν ὁ βασιλεὺς εἰσαγαγεῖν αὐτούς, καὶ εἰσήγαγεν αὐτοὺς ὁ ἀρχιευνοῦχος ἐναντίον ναβουχοδονόσορ, καὶ ἐλάλησε μετ' αὐτῶν ὁ βασιλεύς. καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν, ὅμοιοι δανιὴλ καὶ ἀνανίᾳ καὶ μισαὴλ καὶ ἀζαρίᾳ. καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως, καὶ ἐν παντὶ ῥήματι σοφίας καὶ ἐπιστήμης, ὅσα ἐζήτησε παρ' αὐτῶν ὁ βασιλεύς, εὗρεν αὐτοὺς δεκαπλασίονας, παρὰ πάντας τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους τοὺς ὄντας ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐγένετο δανιὴλ ἕως ἔτους ἑνὸς κύρου τοῦ βασιλέως.

Ἐν

Ἐν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας ναβουχοδονόσορ, ἐνυπνιάσθη ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέστη τὸ πνεῦμα αὐτοῦ, καὶ ὁ ὕπνος αὐτοῦ ἐγένετο ἀπ᾽ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς, καλέσατε τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους καὶ τοὺς φαρμακοὺς, καὶ τοὺς χαλδαίους, τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ τὸ ἐνύπνιον αὐτοῦ. καὶ ἦλθον, καὶ ἔστησαν ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς, ἐνυπνιάσθην, καὶ ἐξέστη τὸ πνεῦμά μου, τοῦ γνῶναι τὸ ἐνύπνιον. καὶ ἐλάλησαν οἱ χαλδαῖοι τῷ βασιλεῖ συριστὶ, βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. σὺ εἶπον τὸ ἐνύπνιον τοῖς παισί σου, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελοῦμεν. ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε τοῖς χαλδαίοις, ὁ λόγος ἀπ᾽ ἐμοῦ ἀπέστη. ἐὰν οὖν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ, εἰς ἀπώλειαν ἔσεσθε, καὶ οἱ οἶκοι ὑμῶν διαρπαγήσονται. ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίσητέ μοι, δόματα καὶ δωρεὰς καὶ τιμὴν πολλὴν λήψεσθε παρ᾽ ἐμοῦ. πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν ἀπαγγείλατέ μοι. ἀπεκρίθησαν δεύτερον, καὶ εἶπον, ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον τοῖς παισὶν αὐτοῦ, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγελοῦμεν. καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν, ἐπ᾽ ἀληθείας οἶδα ἐγὼ, ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε.

καὶ

In anno secundo regni Nabuchodonosor, somniauit Nabuchodonosor somnium, & alienatus est spiritus eius, & somnium eius fuit ab eo. Dixitq; rex, uocate incantatores, & magos & maleficos, & Chaldæos, ut annuncient regi somniũ eius. Venerunt ergo, steteruntq; coram rege. Tum dixit eis rex, Somniaui, & abalienatus est spiritus meus, ut scirem somnium. Loquuti'que sunt Chaldæi Syriacè, Rex in æternum uiuæ, tu dic somnium seruis tuis, nos coniecturam eius annunciabimus. Et respondit rex, & dixit Chaldæis, Sermo à me recessit, si igitur non notum feceritis mihi somnium & coniecturam eius, in interitum ruetis, & domus uestræ diripiẽtur. Si autem somniũ & coniecturã eius notam feceritis mihi, dona & munera, & honorem multum accipietis à me. Itaque & somnium & coniecturam eius annunciate mihi. Tũ iterum responderunt, dixeruntq; Rex dicat somnium seruis suis, & coniecturam eius indicabimus. Respondit autem rex, & dixit, In ueritate noui ego, quod tẽpus uos redimitis.

Et

Et quia uidetis quod desti
tit à me uerbum. Si igitur
somnium non renunciaue
ritis mihi, sciã sermonem
mendacẽ uos corrup:ũq;
composuisse, quem dicatis
coram me, donec tempus
praetereat. Somnium me-
um dicite mihi, quo sciam
etiam eius coniecturã uos
interpretaturos. Respon-
derunt iterũ Chaldaei co-
rã rege, & ita dicunt, Nõ
est homo in arida, qui pos-
sit uerbum regis notum fa
cere, quia omnis rex ma-
gnus, nec princeps de e-
iusmodi uerbo interrogat
incantatorem, Chaldęum.
Quia sermo quem rex in-
terrogat, grauis, nec ullus
est qui renunciet eum co-
ram rege, nisi dij quorum
non est habitatio cum ul-
la carne. Tunc rex in furo
re & ira multa iussit per-
dere omnes sapientes Ba-
bylonis. Sententia ergo e-
grediebatur, ac sapientes
interficiebantur, & quae-
rebant Daniel & amicos
eius ut interficerent. Tũc
Daniel respõdit cõsiliũ et
sententiã Arioch principi
coquorũ regis, q egressus
fuerat ad occidendũ sapiẽ
tes Babylõis, et interroga
bat eũ, dicens, Princeps re
gis, quamobrẽ egressa est
sententia tam impudens à
facie regis? Notũ fecit au-
tem Arioch uerbum Da-
niel. Et Daniel intrauit,
& petijt, ut tempus det ei,
&

καὶ ὅτι εἴδετε, ὅτι ἀπέστη ἀπ' ἐμοῦ
τὸ ῥῆμα. ἐὰν οὖν τὸ ἐνύπνιον μὴ
ἀναγγείλητέ μοι, οἶδα ὅτι ῥῆμα
ψευδὲς καὶ διεφθαρμένον συνέθε-
σθε εἰπεῖν ἐνώπιόν μου, ἕως οὗ ὁ και-
ρὸς παρέλθῃ. τὸ ἐνύπνιόν μου εἴπα-
τέ μοι, καὶ γνώσομαι ὅτι καὶ τὴν σύγ-
κρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι. καὶ ἀπε-
κρίθησαν πάλιν οἱ χαλδαῖοι ἐνώ-
πιον τοῦ βασιλέως, καὶ λέγουσιν, οὐκ
ἔστιν ἄνθρωπος ἐπὶ τῆς ξηρᾶς, ὅς τὸ
ῥῆμα τοῦ βασιλέως δυνήσεται γνω-
ρίσαι, καθότι πᾶς βασιλεὺς μέγας
καὶ ἄρχων ῥῆμα τοιοῦτον οὐκ ἐπερω-
τᾷ ἐπαοιδὸν χαλδαῖον. ὅτι ὁ λόγος
ὃν ὁ βασιλεὺς ἐπερωτᾷ, βαρύς, καὶ
ἕτερος οὐκ ἔστιν ὃς ἀναγγελεῖ αὐτὸν
ἐνώπιον τοῦ βασιλέως, ἀλλ' οἱ θεοί,
ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης
σαρκός. τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ
ὀργῇ πολλῇ εἶπεν, ἀπολέσαι πάν-
τας τοὺς σοφοὺς βαβυλῶνος. καὶ τὸ δό-
γμα ἐξῆλθε, καὶ οἱ σοφοὶ ἀπεκτείνον-
το. καὶ ἐζήτησαν δανιὴλ καὶ τοὺς φίλους
αὐτοῦ ἀνελεῖν. τότε ὁ δανιὴλ ἀπεκρίθη
βουλὴν καὶ γνώμην τῷ ἀριὼχ τῷ ἀρ-
χιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν
ἀνελεῖν τοὺς σοφοὺς βαβυλῶνος, καὶ
ἐπυνθάνετο αὐτοῦ λέγων, ἄρχων
τοῦ βασιλέως, περὶ τίνος ἐξῆλθεν
ἡ γνώμη ἡ ἀναιδὴς ἐκ προσώπου τοῦ
βασιλέως; ἐγνώρισε δὲ ὁ ἀριὼχ τὸ
ῥῆμα τῷ δανιήλ. καὶ δανιὴλ εἰσῆλθε,
καὶ ἠξίωσεν, ὅπως χρόνον δῷ αὐτῷ,
καὶ

καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγείλῃ
τῷ βασιλεῖ. καὶ εἰσῆλθε δανιὴλ εἰς
τὸν οἶκον αὐτοῦ, καὶ τῷ ἀνανίᾳ καὶ
τῷ ἀζαρίᾳ καὶ τῷ μισαὴλ, τοῖς φί-
λοις αὐτοῦ τὸ ῥῆμα ἐγνώρισε. καὶ οἰκ-
τιρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ οὐρα-
νοῦ ὑπὲρ τοῦ μυστηρίου τούτου, ὅπως μὴ
ἀπόλωνται δανιὴλ καὶ οἱ φίλοι αὐτοῦ,
μετὰ τῶν ἐπιλοίπων σοφῶν βαβυλῶ-
νος. τότε τῷ δανιὴλ ἐν ὁράματι τῆς
νυκτὸς μυστήριον ἀπεκαλύφθη. καὶ
εὐλόγησε τὸν θεὸν τοῦ οὐρανοῦ δα-
νιὴλ, καὶ εἶπεν, εἴη τὸ ὄνομα τοῦ θεοῦ
εὐλογημένον, ἀπὸ τοῦ αἰῶνος καὶ
ἕως τοῦ αἰῶνος. ὅτι ἡ σοφία καὶ ἡ
σύνεσις αὐτοῦ ἐστι, καὶ αὐτὸς ἀλλοιοῖ
καιροὺς καὶ χρόνους, καθιστᾷ βασι-
λεῖς καὶ μεθιστᾷ, διδοὺς σοφίαν τοῖς
σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι σύ-
νεσιν. καὶ αὐτὸς ἀποκαλύπτει βαθέα
καὶ ἀπόκρυφα, γινώσκων τὰ ἐν τῷ
σκότει, καὶ τὸ φῶς μετ᾽ αὐτοῦ ἐστι. σὺ
ὁ θεὸς τῶν πατέρων ἡμῶν ἐξομολο-
γοῦμαι καὶ αἰνῶ, ὅτι σοφίαν καὶ δύνα-
μιν ἔδωκάς μοι, καὶ ἐγνώρισάς μοι
ἃ ἠξιώσαμεν παρὰ σοῦ, καὶ τὸ ῥῆμα
τοῦ βασιλέως ἐγνώρισάς μοι. καὶ ἦλ-
θε δανιὴλ πρὸς ἀριὼχ, ὃν κατέστη-
σεν ὁ βασιλεὺς ἀπολέσαι τοὺς σο-
φοὺς βαβυλῶνος. καὶ εἶπεν αὐτῷ,
τοὺς σοφοὺς βαβυλῶνος μὴ ἀπολέσῃς.
εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέ-
ως, καὶ τὴν σύγκρισιν τῷ βασιλεῖ
ἀναγγελῶ. τότε ἀριὼχ ἐν σπουδῇ
αὐτ

& coniecturam eius enun
ciet regi. Et ingressus est
Daniel in domum suã, &
Ananiæ & Misael, &
Azariæ amicis suis sermo
nem indicauit. Ac misera
tiones quærebant à deo
cœli super mysterio hoc,
ne perirent Daniel & ami
ci eius cum reliquis sapien
tibus Babylonis. Tunc
Daniel in uisione noctis
mysterium retectum est.
Et laudauit deũ cœli Da-
niel, & dixit, Sit nomen
dei laudatum à seculo &
usque in seculum, quia sa-
pientia & intelligentia e-
ius est, & ipse mutat tem-
pora & annos, constituit
reges & transfert, dans sa
pientiam sapientibus, &
prudentiam ijs, qui habẽt
intelligentiã. Et ipse pate
facit profunda & abscon
dita, nouit eà quæ in tene-
bris, & lumen cum eo est.
Tibi deus patrum meorũ
cõfiteor, & laudo, quia sa
pientiam & uirtutẽ dedi-
sti mihi, & nota fecisti mi
hi ea, quæ petij abs te, &
uerbum regis notum feci-
sti mihi. Et uenit Daniel
ad Arioch, quem consti-
tuit rex, ut perderet sapi-
entes Babylonis. Et dixit
ei, Sapientes Babylonis
ne perdas, introduc aũt me
in conspectũ regis, & con
iecturã regi annunciabo.
Tũc Arioch in festinatiõe
intro.

introduxit Daniel in conspectum regis, cui dixit, Inueni uirum ex filiis captiuitatis Iudaeae, qui coniecturam regi annunciabit. Et respondit rex, et dixit Danieli, cui nomen Baltasar, Potes'ne mihi indicare somnium quod uidi, & coniecturā eius? Et respondit Daniel coram rege, & ait. Mysteriū quod rex interrogat, non est sapientium, magorū, incantatorum, aruspicū, annunciare regi. Sed est deus in coelo qui patefacit mysteria, & nota fecit Nabuchodonosor quae oportet fieri in nouissimis diebus. Somnium tuum, & uisiones capitis tui in cubili tuo haec sunt. Tu rex, cogitationes tuae in cubili tuo ascenderunt, quid oporteat fieri post haec. Verum qui patefacit mysteria, nota fecit tibi, quae oportet fieri. Nec mihi in sapiētia quadam quae in me est supra omnes qui uiuunt, mysterium hoc patefactum est, sed ideo, ut coniecturam regi ostendam, ut cogitationes cordis tui scias. Tu rex uidebas, & ecce imago una magna. Et imago illa, & facies eius praestans, quae stabat ante faciem tuam, aspectus eius terribilis. Imago cuius caput auri puri. Manus

&

εἰσήγαγε τὸν Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ, εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς Ἰουδαίας, ὃς τὸ σύγκριμα τῷ βασιλεῖ ἀναγγελεῖ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε τῷ Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, εἰ δύνασαί μοι ἀναγγεῖλαι τὸ ἐνύπνιον, ὃ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ; καὶ ἀπεκρίθη Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπε. τὸ μυστήριον ὃ ὁ βασιλεὺς ἐπερωτᾷ, οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, γαζαρηνῶν ἀναγγεῖλαι τῷ βασιλεῖ. ἀλλ' ἔστι θεὸς ἐν οὐρανῷ ὁ ἀποκαλύπτων μυστήρια, καὶ ἐγνώρισε τῷ βασιλεῖ Ναβουχοδονόσορ, ἃ δεῖ γενέσθαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν. τὸ ἐνύπνιόν σου, καὶ ἡ ὅρασις τῆς κεφαλῆς σου ἐπὶ τῆς κοίτης σου, τοῦτό ἐστι. σὺ βασιλεῦ, οἱ διαλογισμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν, τί δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ἀποκαλύπτων μυστήρια, ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι. καὶ ἐμοὶ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη, ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν τῷ βασιλεῖ γνωρίσαι, ἵνα τοὺς διαλογισμοὺς τῆς καρδίας σου γνῷς. σὺ βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία μεγάλη. καὶ ἡ εἰκὼν ἐκείνη καὶ ἡ ὄψις αὐτῆς ὑπερφερὴς, ἑστῶσα πρὸ προσώπου σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά. εἰκὼν, ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ, αἱ χεῖρες,

καὶ

καὶ τὸ στῆθος, καὶ οἱ βραχίονες αὐτῆς, ἀργυροῖ. ἡ κοιλία καὶ οἱ μηροὶ, χαλκοῖ. αἱ κνῆμαι, σιδηραῖ. οἱ πόδες μέρος μέν τι σιδηροῦν, καὶ μέρος δέ τι ὀστράκινον. ἐθεώρεις, ἕως οὗ ἀπετμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. τότε ἐλεπτύνθησαν εἰσάπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκὸς, ὁ ἄργυρος, ὁ χρυσὸς, καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς. καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς. καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα, ἐγενήθη εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. τοῦτό ἐστι τὸ ἐνύπνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως. σὺ βασιλεῦ βασιλεὺς βασιλέων, ᾧ ὁ θεὸς τὴν βασιλείαν ἰσχυρὰν καὶ κραταιὰν καὶ ἔντιμον ἔδωκεν ἐν παντὶ τόπῳ, ὅπου κατοικοῦσιν οἱ υἱοὶ τῶν ἀνθρώπων, θηρία τε ἀγροῦ καὶ πετεινὰ οὐρανοῦ καὶ ἰχθύας τῆς θαλάσσης ἔδωκεν ἐν τῇ χειρί σου, καὶ κατέστησέ σε κύριον πάντων. σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ, καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα, ἥττων σου. καὶ βασιλεία τρίτη, ἥτις ἐστὶν ὁ χαλκὸς, ἣ κυριεύσει πάσης τῆς γῆς. καὶ βασιλεία τετάρτη, ἥτις ἔσται ἰσχυρὰ ὡς σίδηρος. ὃν τρόπον ὁ σίδηρος λεπτύνει, καὶ δαμάσει πάντα, οὕτως

πάντα

& pectus & brachia eius argentea, uenter & femora ærea, tibię ferreę, pedes partim ferrei partim fictiles. Cõtemplabaris, donec abscisus est lapis ex monte sine manibus, qui contudit imaginem super pedes ferreos & fictiles, & comminuit eos omnino. Tũc cõminuta sunt omnino testa, ferrum, æs, argentum, aurum, quę facta sunt, quasi puluis ab area æstiua. Sustulitq; eos uehemẽtia uẽti, locus non est inuentus illis. Porrò lapis qui percussit imaginẽ, factus est mõs magnus, qui impleuit omnem terram. Hoc est somnium, iam coniecturam eius dicemus coram rege. Tu rex, rex regum, cui deus cœli regnũ firmum, & ualidum & gloriosum dedit in omni loco, in quo habitant filii hominum, bestias agri, & uolatilia cœli piscesq; maris dedit in manum tuam, & constituit te dominum omnium. Tu es caput aureum, & post te surget regnũ aliud, minus tuo. Et regnum tertium, quod est ęs, quod dominabitur omni terræ. Et regnum quartum erit firmum tanquã ferrũ. Quemadmodum ferrũ comminuit, & domat omnia, ita

 omnia

omnia comminuet, & domabit. Quoniam autem uidisti pedes & digitos, partim testaceos, partim ferreos, regnum diuisum erit, quiddam de radice ferrea erit in eo, quemadmodum uidisti ferrum mixtum testa. Cumq; digiti pedum partim sint ferrei partim testacei, pars quędā regni erit firma, ac ex eo fragile. Quādoquidem uidisti ferrum mixtum testę, commixti erunt in semine hominum, nec adhęrebit hic cum illo, ut nec ferrū miscetur cum testa. Porrò in diebus regū illorum suscitabit deus cœli regnum quod in æternum nō corrumpetur, cuius regnum populo alteri nō relinquetur. Comminuet et uentilabit omnia regna, & hoc consistet in æternum. Hoc modo uidisti, de monte abscissum esse lapidem sine manibus, & comminuisse testam, ferrum, æs, argentum, aurū. Deus magnus nota fecit regi quæ oportet fieri in posterum, uerumq; somnium, & fidelis coniectura eius. Tunc rex Nabuchodonosor cecidit in faciē, et Danielē adorauit, et

manaa

πάντα λεπτυνεῖ, καὶ δαμάσει. καὶ ὅτι εἶδες τοὺς πόδας καὶ τοὺς δακτύλους, μέρος μέν τι ὀστράκινον, μέρος δέ τι σιδηροῦν, βασιλεία διῃρημένη ἔσται, καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς ἔσται ἐν αὐτῇ, ὃν τρόπον εἶδες τὸν σιδηροῦν ἀναμεμιγμένον τῷ ὀστράκῳ. καὶ οἱ δάκτυλοι τῶν ποδῶν, μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον, μέρος δέ τι τῆς βασιλείας ἔσται ἰσχυρόν, καὶ ἀπ' αὐτῆς ἔσται συντριβόμενον. ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ, συμμιγεῖς ἔσονται ἐν σπέρματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος μετὰ τούτου, καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ ὀστράκου. καὶ ἐν ταῖς ἡμέραις τῶν βασιλειῶν ἐκείνων, ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασιλείαν, ἥτις εἰς τοὺς αἰῶνας οὐ διαφθαρήσεται. καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται. λεπτυνεῖ, καὶ λικμήσει πάσας τὰς βασιλείας, καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας. ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν. ὁ θεὸς ὁ μέγας ἐγνώρισε τῷ βασιλεῖ, ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. τότε ὁ βασιλεὺς ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον, καὶ τῷ δανιὴλ προσεκύνησε, καὶ

μαναὰ

μανναὰ καὶ εὐωδίας εἶπε σπεῖσαι αὐ-
τῷ. καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, εἶπε
τῷ δανιὴλ, ἐπ' ἀληθείας ὁ θεὸς ὑ-
μῶν, αὐτός ἐστι θεὸς θεῶν, καὶ κύ-
ριος τῶν βασιλέων, ὁ ἀποκαλύπτων
μυστήρια, ὅτι ἠδυνήθης ἀποκαλύ-
ψαι τὸ μυστήριον τοῦτο. καὶ ἐμεγάλυ-
νεν ὁ βασιλεὺς τὸν δανιὴλ, καὶ δόμα-
τα μεγάλα καὶ πολλὰ ἔδωκεν αὐ-
τῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης
χώρας βαβυλῶνος, καὶ ἄρχοντα σα-
τραπῶν, ἐπὶ πάντας τοὺς σοφοὺς βα-
βυλῶνος. καὶ δανιὴλ ᾐτήσατο πα-
ρὰ τοῦ βασιλέως, καὶ κατέστησεν ἐπὶ
τὰ ἔργα τῆς χώρας βαβυλῶνος τὸν σι-
δρὰχ, μισὰχ, ἀβδεναγώ. καὶ δανιὴλ
ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

Ἔτους ὀκτωκαιδεκάτου ναβουχοδονό-
σορ βασιλεὺς ἐποίησεν εἰκόνα χρυ-
σῆν, ὕψος αὐτῆς πηχέων ἑξήκοντα,
εὖρος αὐτῆς πηχέων ἕξ, καὶ ἔστησεν αὐ-
τὴν ἐν πεδίῳ δεειρᾶ, ἐν χώρᾳ βαβυ-
λῶνος. καὶ ἀπέστειλε συναγαγεῖν τοὺς
ὑπάτους, καὶ τοὺς στρατηγοὺς, καὶ
τοὺς τοπάρχας, ἡγουμένους καὶ τυ-
ράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν, καὶ
πάντας τοὺς ἄρχοντας τῶν χωρῶν,
ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκό-
νος, ἧς ἔστησε ναβουχοδονόσορ ὁ βα-
σιλεύς. καὶ συνήχθησαν οἱ τοπάρ-
χαι, ὕπατοι, στρατηγοὶ, ἡγούμε-
νοι, τύραννοι, μεγάλοι οἱ ἐπ' ἐξουσι-
ῶν, καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν
εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἧς

manaa & bonos odores
dixit libare ei. Et respon-
dens rex dixit Daniel, In
ueritate deus uester ipse
est deus deorum, & domi-
nus dominorum, & rex re-
gum, qui patefacit myste-
ria, siquidem potuisti rete-
gere mysterium hoc. Ma-
gnumq; fecit rex Daniel,
& dona magna & multa
dedit ei, & præfecit eum
omni regioni Babylonis,
& principem satraparum
omnibus sapientibus Ba-
bylonis. Cumq; Daniel
postulasset à rege, præfe-
cit operibus regionis Ba-
bylonis Sidrach, Misach,
Abdenago. Daniel uero
erat in atrio regis.

Anno decimo octauo Nabuchodonosor rex fe- Cap. III.
cit imaginem auream, cu-
ius altitudo cubitorum se-
xaginta, latitudo cubi-
torum sex, statuitq; eam
in campo Duran in regio-
ne Babylonis. Misit autẽ
conuocatum consules &
imperatores, & topar-
chas, duces, & tyrannos,
et eos qui in potestatibus,
& oẽs principes regionũ,
ut conuenirent ad dedi-
cationem imaginis, quam
statuit Nabuchodonosor
rex. Et congregati sunt to-
parchæ, consules, impera-
tores, duces, tyrãni, magni
in potestatibus, & omnes
principes regionum ad de-
dicationẽ imaginis, quam

ſtatuit Nabuchodonoſor rex, & ſtabãt in cõſpectu imaginis, quã ſtatuit Nabuchodonoſor. Et præco clamabat pro uiribus, Vobis dicitur gentes, populi, tribus, linguæ, quacunque hora audieritis uocem tubæ, fiſtulæq; & citharæ, ſambucæq; & pſalterij, & ſymphoniæ, & omnis generis muſicorũ, cadentes adorate imaginem auream, quam ſtatuit Nabuchodonoſor rex. Et qui non cadens adorauerit, eadem hora immittetur in fornacem ignis ardentem. Contigit ergo, cum audiſſent populi uocem tubæ, fiſtulæq; & citharæ, ſambucæq; & pſalterij, & omnis generis muſicorum, cadentes populi, tribus, linguę, adorauerũt imaginem auream, quam ſtatuit Nabuchodonoſor rex. Tũc acceſſerũt uiri Chaldæi, & accuſauerunt Iudæos. Et anticipantes dixerunt Nabuchodonoſor regi, Rex in æternum uiue. Tu rex feciſti decretum, omnem hominem qui audierit uocem tubæ, fiſtulæq; & citharæ, ſambucæq;, & pſalterij, & ſymphoniæ, & omnis generis muſicorum, & non cadens adorauerit imaginẽ auream, immittatur in fornacẽ ignis ardentem. Sunt igitur uiri

ἔστησεν ναβουχοδονόσορ ὁ βασιλεύς, καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος ἧς ἔστησεν ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ, ὑμῖν λέγεται ἔθνη, λαοί, φυλαί, γλῶσσαι, ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησε ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ αὐτῇ τῇ ὥρᾳ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ ἐγένετο, ὅτε ἤκουσαν οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησεν ναβουχοδονόσορ ὁ βασιλεύς. τότε προσῆλθον ἄνδρες χαλδαῖοι, καὶ διέβαλον τοὺς ἰουδαίους. καὶ ὑπολαβόντες εἶπον ναβουχοδονόσορ τῷ βασιλεῖ, βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι. σὺ βασιλεῦ ἔθηκας δόγμα, πάντα ἄνθρωπον ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἰσὶν οὖν

ἄνδρες

ἄνδρες ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας βαβυλῶνος, σιδράχ, μισάχ, ἀβδεναγώ, οἱ ἄνδρες ἐκεῖνοι οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, καὶ τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣ ἔστησας, οὐ προσκυνοῦσι. τότε ὁ ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν, ἀγαγεῖν τὸν σιδράχ, μισάχ καὶ ἀβδεναγώ. καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. καὶ ἀπεκρίθη ναβουχοδονόσορ, καὶ εἶπεν αὐτοῖς, εἰ ἀληθῶς σιδράχ, μισάχ, ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣ ἔστησα, οὐ προσκυνεῖτε; νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ ἣ ἔστησα, ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ τίς ἐστι θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; καὶ ἀπεκρίθησαν σιδράχ, μισάχ, ἀβδεναγώ, λέγοντες τῷ βασιλεῖ ναβουχοδονόσορ, οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. ἔστι γὰρ θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης. καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς.

καὶ

uiri Iudæi, quos præfecisti operibus regionis Babylonis, Sidrach, Misach, Abdenago, uiri illi non obedierunt rex decreto tuo, neque deos tuos colunt, neque imaginem auream, quam statuisti, adorant. Tunc Nabuchodonosor in furore & ira iussit adduci Sidrach, Misac & Abdenago. Et ducti sunt in conspectum regis. Respondit[q;] Nabuchodonosor, & dixit eis, Vere'ne Sidrach, Misac & Abdenago, deos meos nõ colitis, imaginem auream nõ adoratis? Nũc ergo estote parati, ut cum audieritis uocem tubæ, fistulæ[q;], & citharæ sambucæ[q;], & psalterij, & symphoniæ, & omnis generis musicorum, cadentes adoretis imaginem, quam feci, si autem non adoraueritis, eadem hora immittemini in fornacem ignis ardentem. Ecquis est deus qui eripiet uos ex manibus meis? Respondit autem Sidrach, Misac & Abdenago, dicentes regi Nabuchodonosor, Non necesse habemus de hoc sermone respondere tibi. Est enim deus noster in cœlis, cui nos seruimus, potens ad eripiendum nos ex fornace ignis ardenti, & ex manibus tuis rex liberabit nos.

I 3 Et

Et si non, notum tibi sit rex, nos deos tuos non colere, nec imaginem auream, quam statuisti adorare. Tunc Nabuchodonosor repletus est furore, & aspectus faciei illius immutatus est aduersus Sidrach, Misac & Abdenago, iussitq; incendere fornacem septuplo, donec in finē succendatur. Virosq; robustos uiribus iussit ut ligarēt Sidrach, Misach & Abdenago, immitterentq; in fornacem ignis ardentem. Tunc uiri illi ligati sunt cum sarabaris suis, & tiaris, & ocreis, & indumentis suis, & missi sunt in medium fornacis ignis ardentis, quoniā uerbum regis præstitit. Et fornax incensa est supra modum septuplo. Et tres isti, Sidrach, Misach & Abdenago, ceciderunt in medium fornacis ignis ardentis ligati, & deambulabant in medio flāmę, laudantes deum. Et Nabuchodonosor audiuit laudātes eos, et admirat⁹ est. Et cū celeritate surrexit, & ait optimatibus suis, Non'ne uiros tres iniecimus in medium ignis uinctos. Et dixerūt regi, Vere rex. Et dixit rex, Hic ego uideo uiros quatuor solutos

καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. τότε ὁ ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ σιδρὰχ, μισὰχ καὶ ἀβδεναγὼ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως τοῦ εἰς τέλος ἐκκαῇ. καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε, πεδήσαντας τὸν σιδρὰχ, μισὰχ καὶ ἀβδεναγὼ, ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν, καὶ τιάραις, καὶ περικνημῖσι καὶ ἐνδύμασιν αὐτῶν. καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσεν. καὶ ἡ κάμινος ἐξεκαύθη ὑπὲρ ἐκ περισσοῦ ἑπταπλασίως. καὶ οἱ τρεῖς οὗτοι σιδρὰχ, μισὰχ καὶ ἀβδεναγὼ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι, καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς, ὑμνοῦντες τὸν θεόν. Καὶ ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν, καὶ ἐθαύμασε. καὶ ἐξανέστη ἐν σπουδῇ, καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ, οὐχὶ ἄνδρας τρεῖς ἐβάλομεν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς πεπεδημένους; καὶ εἶπον τῷ βασιλεῖ, ἀληθῶς βασιλεῦ. καὶ εἶπεν ὁ βασιλεὺς, ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυ-

λελυμένους, καὶ περιπατοῦντας ἐν
μέσῳ τοῦ πυρὸς, καὶ διαφθορὰ οὐκ ἔ-
στιν ἐν αὐτοῖς. καὶ ἡ ὅρασις τοῦ τε-
τάρτου, ὁμοία υἱῷ θεοῦ. τότε προσῆλ-
θεν ναβουχοδονόσορ πρὸς τὴν θύραν
τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης,
καὶ εἶπε, σιδρὰχ, μισὰχ καὶ ἀβδονα-
γὼ, οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλ-
θετε καὶ δεῦτε. καὶ ἐξῆλθε σιδρὰχ, μι-
σὰχ καὶ ἀβδοναγὼ ἐκ μέσου τοῦ πυ-
ρός. καὶ συνάγονται οἱ σατράπαι καὶ
οἱ στρατηγοὶ καὶ οἱ τοπάρχαι, καὶ οἱ
δυνατοὶ τοῦ βασιλέως, καὶ ἐθεώρουν
τοὺς ἄνδρας, ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ
τοῦ σώματος αὐτῶν, καὶ ἡ θρὶξ τῆς κε-
φαλῆς αὐτῶν οὐκ ἐφλογίσθη, καὶ
καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώ-
θη, καὶ ὀσμὴ πυρὸς οὐκ ἦν ἐν αὐτοῖς.
καὶ προσεκύνησεν ἐνώπιον αὐτῶν
ὁ βασιλεὺς τῷ κυρίῳ, καὶ ἀπεκρίθη
ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ εἶ-
πεν, εὐλογητὸς ὁ θεὸς τοῦ σιδρὰχ, μι-
σὰχ, καὶ ἀβδοναγὼ, ὃς ἀπέστειλε
τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετο τοὺς
παῖδας αὐτοῦ, ὅτι ἐπεποίθεισαν ἐπ'
αὐτῷ. καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλ-
λοίωσαν, καὶ παρέδωκαν τὰ σώμα-
τα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λα-
τρεύσωσι, μηδὲ προσκυνήσωσι παν-
τὶ θεῷ, ἀλλ' ἢ τῷ θεῷ αὐτῶν. καὶ ἐ-
γὼ ἐκτίθεμαι δόγμα, πᾶς λαὸς, φυ-
λὴ, γλῶσσα, ἣ ἂν εἴπῃ βλασφημί-
αν κατὰ τοῦ θεοῦ σιδρὰχ, μισὰχ καὶ
ἀβδοναγὼ, εἰς ἀπώλειαν ἔσονται,
καὶ

solutos, & ambulantes in medio ignis, & corruptio non est in eis, & uisio quarti similis filio dei. Tunc accessit Nabuchodonosor ad ostium fornacis ignis ardentis, & ait, Sidrach, Misac, Abdenago, Serui dei altissimi egredimini, & uenite. Igitur egressi sunt Sidrach, Misac & Abdenago de medio ignis. Et congregantur satrapæ & magistratus, & toparchæ, & potentes regis, & contemplabantur uiros, quod corporibus ignis non est dominatus, neq; capillus capitis eorum inflammatus, neq; sarabara eorum mutata, nec ullus odor ignis fuit in eis. Ac adorauit in conspectu eorum rex dominum, & respondit Nabuchodonosor rex. Et dixit, Laudatus deus Sidrach, Misac & Abdenago, qui misit angelum suum, & eruit seruos suos, quod confi erunt ei, quod uerbum regis immutauerunt, quod tradiderunt corpora eorum in ignem, ne seruirēt, neque adorarent ullum deum, nisi deum suum. Quare ego decretum facio, Quicunq; populus, tribus, lingua, quæ dixerit blasphemiā contra deū Sidrach, Misach et Abdenago, in interitum erunt.

& domus eorum in direptionem, quia nō est deus alius qui possit ita liberare. Tunc rex promouit Sidrach, Misac & Abdenago in regiõe Babylõis. Nabuchodonosor rex omnibus populis, tribubus, linguis, habitantibus in omni terra, pax uobis augescat. Signa & portenta, quæ fecit mecum deus altissimus, placuit corā me annunciare uobis. Quàm magnum ac firmum regnum eius, regnum sempiternum, eiusq; potestas in ætates & ætates.

Cap.IIII Ego Nabuchodonosor abundans eram in domo mea, florens in throno meo, somnium uidi, quod terruit me, & perturbatus sum in cubili meo, & uisiones capitis mei conturbauerunt me, & per me factum est decretum, ut introducerentur ad me omnes sapientes Babylonis, ut coniecturam somnij notam facerent mihi. Et ingressi sunt incantatores, magi, Gazareni, Chaldæi, & somnium recitaui coram illis, at coniecturam eius non notam fecerunt mihi. Tandem uenit Daniel, cuius nomen Baltasar iuxta nomē dei mei, qui spiritum dei sanctum

in

καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν, καθότι οὐκ ἔστι θεὸς ἕτερος, ὅστις δυνήσεται ῥύσασθαι οὕτως. τότε ὁ βασιλεὺς κατεύθυνε τὸν σεδράχ, μισὰχ καὶ ἀβδεναγὼ, ἐν τῇ χώρᾳ βαβυλῶνος, καὶ ηὔξησεν αὐτοὺς, καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν ἰουδαίων, τῶν ὄντων ἐν τῇ βασιλείᾳ αὐτοῦ. ναβουχοδονόσορ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς, γλώσσαις, τοῖς κατοικοῦσιν ἐν πάσῃ τῇ γῇ, εἰρήνη ὑμῖν πληθυνθείη. τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησε μετ' ἐμοῦ ὁ θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐναντίον ἐμοῦ ἀναγγεῖλαι ὑμῖν, ὡς μεγάλα καὶ ἰσχυρὰ ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

Ἐγὼ ναβουχοδονόσορ εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου, καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου ἐνύπνιον εἶδον, καὶ ἐφοβέρισέ με. καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάραξάν με. καὶ δι' ἐμοῦ ἐτέθη δόγμα, τοῦ εἰσαγαγεῖν ἐνώπιόν μου πάντας τοὺς σοφοὺς βαβυλῶνος, ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσί μοι. καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ, μάγοι, γαζαρηνοὶ, χαλδαῖοι, καὶ τὸ ἐνύπνιον ἐγὼ εἶπα ἐνώπιον αὐτῶν. καὶ τὴν σύγκρισιν αὐτοῦ οὐκ ἐγνώρισάν μοι, ἕως ἦλθε δανιὴλ, οὗ τὸ ὄνομα βαλτάσαρ, κατὰ τὸ ὄνομα τοῦ θεοῦ μου, ὃς πνεῦμα θεοῦ ἅγιον

ἐν

ἐν ἑαυτῷ ἔχει, καὶ τὸ ἐνύπνιον ἐνώπιον αὐτοῦ εἶπα. Βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν, ὃν ἔγνων ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί, καὶ μυστήριον οὐκ ἀδυνατεῖ σοι, ἄκουσον τὴν ὅρασιν τοῦ ἐνυπνίου μου ὃ εἶδον, καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπόν μοι. καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου ἐπὶ τῆς κοίτης μου, ἐθεώρουν, καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς, καὶ τὸ ὕψος αὐτοῦ πολύ. καὶ ἐμεγαλύνθη τὸ δένδρον, καὶ ἴσχυσε, καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ, καὶ τὸ κύτος αὐτοῦ εἰς τὰ πέρατα πάσης τῆς γῆς. τὰ φύλλα αὐτοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολύς, καὶ τροφὴ πάντων ἐν αὐτῷ, καὶ ὑπὸ κάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ, ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου, καὶ ἰδοὺ εἴρ, καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη, καὶ ἐφώνησεν ἐν ἰσχύϊ, καὶ οὕτως εἶπεν. ἐκκόψατε τὸ δένδρον, καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ, καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ, καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ. σαλευθήτωσαν τὰ θηρία ὑποκάτωθεν αὐτοῦ, καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ. πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ ἐάσατε, καὶ ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθή-

σεται

in seipso habet, & somniū coram eo narraui. Baltasar princeps incātatorum noui spiritum dei sanctum esse in te, & arcanum præstare potes. Audi uisionem somnij mei, quod uidi, & coniecturam eius explica mihi. Hæ autem uisiones capitis mei in cubili meo. Videbam, & ecce arbor in medio terræ, cuius altitudo est excellens, & magna facta est arbor, ac præstitit, eiusq; altitudo peruenit usque ad cœlum, & latitudo eius ad terminos terræ, & folia eius pulchra, et fructus eius frequens in qua cibus omnium. At subter eam habitabant bestiæ agrestes, & in ramis eius habitabant aues cœli, ex ea nutriebatur omnis caro. Vidēbā in uisione noctis, in cubili meo, ecce autem ir, isq; sanctus de cœlo descendit, & clamauit cum uehementia, & sic dixit. Excidite arborem, & amputate ramos eius, & excutite folia eius, & dispergite fructum eius, commoueantur bestiæ subter eā, & aues de ramis eius. Veruntamen naturam radicum eius in terra sinite, & in uinculo ferreo & æreo, & in herba quæ foris, et in rore cœli diuersa

I 5 buur.

bitur, & cum bestijs pars eius in herba terræ. Cor eius ab hominibus commutabitur, & cor bestiæ dabitur ei, & septem tempora mutabuntur super eũ. Per decretum ir sermo, & uerbum sanctorum erat interrogatio, ut cognoscant uiuentes, dominum esse altissimum regni hominum, eiq; qui placet, illud dabit, ac abiectionem hominum collocabit ad illud. Hoc somnium uidi ego rex Nabuchodonosor, tu uero Baltasar coniecturã dic, quia omnes sapientes regni mei nõ possunt coniecturam eius ostendere, at tu Daniel potes, quia spiritus dei sanctus est in te. Tunc Daniel cuius nomẽ Baltasar, stupefactus est ad horam unam. & cogitationes eius conturbabãt eum. Et respondit rex, et ait, Baltasar, somnium et coniectura ne urgeat te. Respondit Baltasar, et dixit, Domine, eueniat somnium ijs, qui te oderunt, et coniectura eius inimicis tuis. Arbor quam uidisti magnam factam & roboratam, cuius proceritas peruenit in coelum, et latitudo eius in omnem terram, folia eius florida, et fructus eius multus, et cibus omnibus in ea. Subter eam inhabitabant

bestiæ

σεται, καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ ἐν τῷ χόρτῳ τῆς γῆς. ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται, καὶ καρδία θηρίου δοθήσεται αὐτῷ, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ᾽ αὐτόν. διὰ συγκρίματος ἶρ ὁ λόγος, καὶ ῥῆμα ἁγίων τὸ ἐπερώτημα, ἵνα γνῶσιν οἱ ζῶντες ὅτι κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν, καὶ ἐξουδένωμα ἀνθρώπων ἀναστήσει ἐπ᾽ αὐτήν. τοῦτο τὸ ἐνύπνιον ὃ εἶδον ἐγὼ ὁ βασιλεὺς Ναβουχοδονόσορ, καὶ σὺ Βαλτάσαρ τὸ σύγκριμα εἰπόν, ὅτι πάντες οἱ σοφοὶ τῆς βασιλείας μου οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δηλῶσαι, σὺ δὲ Δανιὴλ δύνασαι, ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί. τότε Δανιὴλ, οὗ τὸ ὄνομα Βαλτάσαρ, ἀπηνεώθη ὡσεὶ ὥραν μίαν, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν. καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε, Βαλτάσαρ, τὸ ἐνύπνιον καὶ ἡ σύγκρισις μὴ κατασπευσάτω σε. ἀπεκρίθη Βαλτάσαρ, καὶ εἶπε, κύριε, ἔστω τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐχθροῖς σου. τὸ δένδρον ὃ εἶδες τὸ μεγαλυνθὲν καὶ τὸ ἰσχυκὸς, οὗ τὸ ὕψος ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν γῆν, καὶ τὰ φύλλα αὐτοῦ εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς, καὶ τροφὴ πᾶσιν ἐν αὐτῷ, ὑποκάτω αὐτοῦ κατῴκουν

τὰ

τὰ θηρία τὰ ἄγρια, καὶ ἐν τοῖς κλά-
δοις αὐτοῦ κατεσκήνωσαν τὰ ὄρνεα τοῦ
οὐρανοῦ. σὺ εἶ βασιλεῦ, ὅτι ἐμεγαλύν-
θης, καὶ ἴσχυσας, καὶ ἡ μεγαλωσύνη
σου ἐμεγαλύνθη, καὶ ἔφθασεν εἰς τὸν
οὐρανὸν, καὶ ἡ κυρεία σου εἰς τὰ πέ-
ρατα τῆς γῆς. καὶ ὅτι εἶδεν ὁ βασιλεὺς
εἶρ, τὸν ἅγιον καταβαίνοντα ἐκ τοῦ
οὐρανοῦ, καὶ εἶπεν, ἐκτίλατε τὸ δέν-
δρον, καὶ διαφθείρατε αὐτὸ, πλὴν
τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ γῇ
ἐάσατε ἐν δεσμῷ σιδηρῷ καὶ χαλ-
κῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω, καὶ ἐν τῇ
δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται. καὶ με-
τὰ θηρίων ἀγρίων ἡ μερὶς αὐτοῦ, ἕως
οὗ ἑπτὰ καιροὶ ἀλλοιωθῶσιν ἐπ' αὐ-
τόν. τοῦτο ἡ σύγκρισις αὐτοῦ βασιλεῦ,
καὶ σύγκριμα ὑψίστου τοῦτ' ἐστιν, ὃ ἔφ-
θασεν ἐπὶ τὸν κύριόν μου τὸν βασι-
λέα. καί σε ἐκδιώξουσιν ἀπὸ τῶν ἀν-
θρώπων, καὶ μετὰ θηρίων ἀγρίων ἔ-
σται ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν
ψωμιοῦσί σε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐραν-
οῦ αὐλισθήσῃ. καὶ ἑπτὰ καιροὶ ἀλλα-
γήσονται ἐπί σε, ἕως οὗ γνῷς ὅτι κυ-
ριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀν-
θρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐ-
τήν. καὶ ὅτι εἶπεν, ἐάσατε τὴν φυὴν
τῶν ῥιζῶν τοῦ δένδρου ἐν τῇ γῇ, ἡ βασι-
λεία σου σοὶ μενεῖ, ἀφ' ἧς ἂν γνῷς
τὴν ἐξουσίαν τὴν ἐπουράνιον. διὰ τοῦ-
το βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοί,
καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις
λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν
οἰκ-

bestiæ agrestes, & in ra-
mis eius habitabant aues
cœli. Tu es rex, quia ma-
gnus es factus, ac præstiti-
sti, & magnitudo tua au-
cta est, & peruenit ad cœ-
lum, & dominatio tua in
terminos terræ. Quoniam
autem uidit rex ir sanctum
descendentem de cœlo,
qui dixit, Euellite arbo-
rem, eamq; corrumpite,
ueruntamen germen radi-
cum eius in terra sinite, et
in uinculo ferreo et ære,
et in herba, quę foris, et in
rore cœli diuersabitur, et
cũ bestijs agrestibus pars
eius, donec septem tempo
ra mutentur de illa. Cuius Iob 40
est hæc coniectura, rex, et Infra 5
decretũ altissimi est, quod
peruenit ad dominum me
um regem. Et te expellẽt
ab hominibus, et cum be-
stiis agrestibus erit habita
tio tua, et herba quasi bo-
uem nutrient te, et in rore
cœli habitabis. Et septem
tempora mutabũtur in te,
donec scias dominari al-
tissimum regno hominum
q̃d, cui uult, dabit. Quod
autem dixit, Sinite uim ra
dicum arboris in terra, re
gnũ tuum tibi manet, ex q̃
cognoueris potestatẽ cœle
stẽ. Propterea, rex, cõsiliũ
meũ placeat tibi, et pecca
ta tua in misericordijs re-
dime, et iniq̃tates tuas in
mise-

miserationibus pauperũ. Forsitan erit clemens erga scelera tua deus. Hæc omnia prçuenerunt super Nabuchodonosor regem. Post duodecim menses, cũ in templo regni eius in Babylone deambularet, respondit rex, et ait, Nonne hæc est Babylon magna, quam ego ædificaui in domum regni in robore firmitatis meæ, in honorem gloriæ meæ? Adhuc sermone in ore regis existente, uox de cœlo delapsa est, Tibi dicitur, Nabuchodonosor rex, regnũ tuũ recessit à te. Et ab hominibus te expellent, & cum bestijs agrestibus habitatio tua, & fœno quasi bouem cibabunt te, & septem tempora mutabuntur super te, donec scias dominari excelsum regno hominum, et cui uult, illud dare. Eadem hora sermo completus est de Nabuchodonosor, & ab hominibus expulsus est, & fœnũ ut bos comedit, & à rore cœli corpus eius tinctum est, donec capilli eius quasi leonum creuerũt, & ungues eius quasi auium. Et post finem dierum ego Nabuchodonosor oculos meos in cœlum extuli, et mens mea ad me reuersa est, & altissimũ celebraui, et uiuentẽ in ęternũ laudaui, & gloria affeci. Quia

οἰκτιρμοῖς πενήτων. ἴσως ἔσται μακρόθυμος τοῖς παραπτώμασί σου ὁ θεός. ταῦτα πάντα ἔφθασαν ἐπὶ ναβουχοδονόσορ τὸν βασιλέα. μετὰ δωδεκάμηνον, ἐπὶ τῷ ναῷ τῆς βασιλείας αὐτοῦ, ἐν βαβυλῶνι περιπατῶν ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπεν, οὐχ αὕτη ἐστὶ βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα εἰς οἶκον βασιλείας, ἐν τῷ κράτει τῆς ἰσχύος μου, εἰς τιμὴν τῆς δόξης μου; ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, φωνὴ ἀπ' οὐρανοῦ ἐγένετο, σοὶ λέγεται ναβουχοδονόσορ βασιλεῦ, ἡ βασιλεία σου παρῆλθεν ἀπό σου. καὶ ἀπὸ τῶν ἀνθρώπων σε ἐκδιώξουσι, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου, καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπί σε, ἕως οὗ γνῷς ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἂν δόξῃ, δώσει αὐτήν. αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ ναβουχοδονόσορ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη, καὶ χόρτον ὡς βοῦς ἤσθιε, καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ αἱ τρίχες αὐτοῦ ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ ὡς ὀρνέων. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν, ἐγὼ ναβουχοδονόσορ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ' ἐμὲ ἐπεστράφησαν, καὶ τῷ ὑψίστῳ εὐλόγησα, καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶνας ᾔνεσα, καὶ ἐδόξασα, ὅτι

ὅτι ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν, καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν εἰς οὐδὲν ἐλογίσθησαν. καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ ἐν τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς. καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ, καὶ ἐρεῖ αὐτῷ, τί ἐποίησας; αὐτῷ τῷ καιρῷ αἱ φρένες μου ἐπεστράφησαν ἐπ' ἐμέ, καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον. καὶ ἡ μορφή μου ἐπέστρεψεν ἐπ' ἐμέ. καὶ οἱ τύραννοί μου, καὶ οἱ μεγιστᾶνές μου ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου ἐκραταιώθην, καὶ μεγαλωσύνη περισσοτέρα προσετέθη μοι. νῦν οὖν ἐγὼ ναβουχοδονόσορ αἰνῶ καὶ ὑπερυψῶ, καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ, ὅτι πάντα τὰ ἔργα αὐτοῦ ἀληθινά, καὶ αἱ τρίβοι αὐτοῦ κρίσεις, καὶ πάντας τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ δύναται ταπεινῶσαι.

Quia potestas eius potestas æterna, & regnum eius in ætates & ætates. Et omnes habitantes terram pro nihilo æstimati sunt. Ac pro sua uoluntate agit, & in uirtute cœli, & in habitatione terræ. Nemo est qui resistat manui eius, & dicat ei, q̃d fecisti? Eo tempore mens mea reuersa est ad me, & ad honorẽ regni mei ueni. Et forma mea reuersa est ad me, & tyranni mei & optimates mei quæsierunt me, & in regnum meum firmatus sum, & magnitudo amplior addita est mihi. Nũc ergo ego Nabuchodonosor laudo, & in altum pro ueho, gloriosèq; prædico regem cœli, quia omnia opera eius uera, & semitę eius iudicia, & omnes ambulantes in superbia potest humiles efficere.

Βαλτάσαρ ὁ βασιλεὺς ἐποίησε δεῖπνον μέγα τοῖς μεγιστᾶσιν αὐτοῦ, ἀνδράσι χιλίοις. καὶ κατέναντι τῶν χιλίων ὁ οἶνος, καὶ πίνων Βαλτάσαρ εἶπεν ἐν τῇ γεύσει τοῦ οἴνου, τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξήνεγκε ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ ἐκ τοῦ ναοῦ τοῦ ἐν ἱερουσαλήμ, καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ, καὶ αἱ παράκοιτοι αὐτοῦ.

καὶ

Cap. V

Baltasar rex fecit cœnam magnã magnatibus eius, uiris mille. Et coram mille uinum, ac bibens Baltasar, iussit in gustu uini, afferri uasa aurea & argentea, quę asportauit Nabuchodonosor pater eius è templo, quod est in Hierusalẽ, ut bibant eis rex, & optimates eius, & cõcubinæ eius & coniuges eius.

Et

Et illata sunt aurea uasa & argentea, quæ apportauerunt de tẽplo dei, q̃d est Hierusalẽ, et bibebãt in eis rex & optimates eius, & concubinæ eius & uxores eius, bibebant uinum, & laudauerunt deos aureos & argenteos & æreos, & ferreos, & ligneos, & lapideos. Et deum sempiternum non laudauerũt qui habet potestatem spiritus ipsorum. Eadem hora exierunt digiti manus hominis, qui scribebant è regione lampadis, in superficie parietis domus regis. Et rex uidebat articulos manus scribẽtis. Tunc regis forma immutata est, & cogitationes eius conturbauerunt eum, & uincula lumborum eius soluebantur, & genua eius collidebantur. Et clamauit rex pro uiribus, ut introducerentur magi & Chaldæi & Gazareni. Dixitq; sapientibus Babylonis. Quicunq; legerit scripturã hanc, & coniecturam eius notam fecerit mihi, purpura uestietur, & torques aurea in collo eius, & tertius in regno meo imperabit. Itaque ingressi sunt omnes sapientes regis, & non potuerunt scripturam legere, neque coniecturam ostendere

καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ, ἃ ἐξενήνοχεν ἐκ τοῦ ναοῦ τοῦ θεοῦ ἐν ἱερουσαλὴμ, καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες αὐτοῦ, καὶ αἱ παλλακαὶ αὐτοῦ καὶ αἱ παράκοιτοι αὐτοῦ ἔπινον οἶνον. καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους. καὶ τὸν θεὸν τὸν αἰώνιον οὐκ εὐλόγησαν, τὸν ἔχοντα τὴν ἐξουσίαν τοῦ πνεύματος αὐτῶν. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀνθρώπου, καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ τοίχου τοῦ οἴκου τοῦ βασιλέως. καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστραγάλους τῆς χειρὸς τῆς γραφούσης, τότε τοῦ βασιλέως ἡ μορφὴ ἠλλοιώθη, καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάραξαν αὐτὸν, καὶ οἱ σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο, καὶ τὰ γόνατα αὐτοῦ συνεκροτοῦντο. καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ, τοῦ εἰσαγαγεῖν μάγους, χαλδαίους, γαζαρηνούς. καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε τοῖς σοφοῖς Βαβυλῶνος, ὃς ἂν ἀναγνῷ τὴν γραφὴν ταύτην, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει. καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως, καὶ οὐκ ἠδύναντο τὴν γραφὴν ἀναγνῶναι, οὐδὲ τὴν σύγκρισιν

γνωρίσαι τῷ βασιλεῖ. καὶ ὁ βασιλεὺς βαλτάσαρ ἐταράχθη, καὶ ἡ μορφὴ αὐτοῦ ἠλλοιώθη ἐπ' αὐτῷ, καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο. καὶ εἰσῆλθεν ἡ βασίλισσα εἰς τὸν οἶκον τοῦ πότου. καὶ ἀπεκρίθη ἡ βασίλισσα, καὶ εἶπε, βασιλεῦ εἰς τὸν αἰῶνα ζῆθι. μὴ ταρασσέτωσάν σε οἱ διαλογισμοί σου, καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω. ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου, ἐν ᾧ πνεῦμα θεοῦ. καὶ ἐν ταῖς ἡμέραις τοῦ πατρός σου, γρηγόρησις καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ. καὶ ὁ βασιλεὺς ναβουχοδονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν, μάγων, χαλδαίων, γαζαρηνῶν κατέστησεν αὐτόν, ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ φρόνησις καὶ σύνεσις, συγκρίνων ἐνύπνια, καὶ ἀναγγέλλων κρατούμενα, καὶ λύων συνδέσμους, Δανιήλ, καὶ ὁ βασιλεὺς ἐπέθηκεν ὄνομα αὐτῷ, βαλτάσαρ. νῦν οὖν κληθήτω, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖ σοι. τότε Δανιὴλ εἰσήχθη ἐνώπιον τοῦ βασιλέως. καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιήλ, σὺ εἶ ὁ Δανιήλ, ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, ἧς ἤγαγεν ὁ βασιλεὺς ὁ πατήρ μου; ἤκουσα περὶ σοῦ, ὅτι πνεῦμα θεοῦ ἐν σοί, καὶ γρηγόρησις καὶ σύνεσις, καὶ σοφία περισσὴ εὑρέθη ἐν σοί. καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοί, μάγοι, γαζαρηνοί, ἵνα τὴν γραφὴν ταύτην ἀναγνῶσί μοι, καὶ οὐκ ἠδυνήθησαν ἀναγ-

ostēdere regi. Et rex Baltasar conturbatus est, & forma eius immutata est, etiam optimates eius conturbati sunt. Et regina ingressa est in domum conuiuij. Et respondit regina & dixit, Rex in æternum uiue. nō conturbent te cogitationes tuæ, & forma tua non mutetur, est uir in regno tuo, in quo spiritus dei est, & in diebus patris tui, uigilantia intelligentiaq̃ inuenta est in eo. Et rex Nabuchodonosor pater tuus principem incantatorum, magorum, Chaldæorum Gazarenorum constituit eum. Nam spiritus excellens in eo, & prudentia et intelligentia, coniectura cognoscens somnia, & annuncians occulta, & soluēs nodos, Daniel, & rex imposuit ei nomen Baltasar. Nunc ergo uocetur, & coniecturam eius annūciabit tibi. Tunc Daniel introductus est ad regem. Et dixit rex Daniel, Tu ne es Daniel de filijs captiuitatis Iudææ, quam adduxit rex pater meus? Audiui de te, spiritum dei esse in te, & uigilantiam et intelligentiam, & sapientiam abundantem inuentam esse in te. At iam ingressi sunt ad me sapientes, magi, Gazareni, ut scripturam hanc legant, & non potuerunt annun-

Sup. 2. 3
Infra 4

annunciare mihi. Et ego audiui de te, posse te coniecturas conijcere. Nunc ergo si potueris scripturã hanc legere, & coniecturam eius notam facere mihi, purpurã indues, & torques aurea erit in collo tuo, & tertius in regno meo imperabis. Dixit autem Daniel coram rege, Dona tua tibi sint, & munus domus tuæ alteri da, ego scripturam legam regi, & coniecturam eius notam faciam tibi, rex. Deus altissimus regnum & magnificentiã, & honorem & gloriam dedit Nabuchodonosor patri tuo, ac propter magnificentiam quam dedit ei, omnes populi, tribus, linguæ tremebant, timebantq; faciem eius. Quos uolebat, ipse interficiebat. & quos uolebat, ipse percutiebat. & quos uolebat ipse, prouehebat, & quos uolebat ipse, humiles reddebat. At uerò cum elatum esset cor eius, & spiritus eius firmatus esset ut efferretur, depositus est à throno regni sui,, & honor ablatus est ab eo, & ab hominibus expulsus est. Et cor eius cum bestiis datũ est. Et cũ onagris habitatio eius, & fœno quasi bouem nutriebãt eum. Et de rore cœli corpus eius tinctũ est, usq; quo

ἀναγγεῖλαί μοι. καὶ ἐγὼ ἤκουσα περί σου, ὅτι δύνασαι κρίματα συγκρῖναι. νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ταύτην ἀναγνῶναι, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσαί μοι, πορφύραν ἐνδύσει, καὶ ὁ μανιάκης ὁ χρυσοῦς ἔσται ἐπὶ τῷ τραχήλῳ σου, καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξεις. καὶ εἶπε Δανιὴλ ἐνώπιον τοῦ βασιλέως, τὰ δόματά σου σοὶ ἔστω, καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός. ἐγὼ δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ, καὶ τὴν σύγκρισιν αὐτῆς γνωρίσω σοι βασιλεῦ. ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ τὴν μεγαλωσύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκε Ναβουχοδονόσορ τῷ πατρί σου, καὶ ἀπὸ τῆς μεγαλωσύνης, ἧς ἔδωκεν αὐτῷ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ. οὓς ἐβούλετο αὐτὸς, ἀνῄρει. καὶ οὓς ἐβούλετο αὐτὸς, ἔτυπτεν. καὶ οὓς ἐβούλετο αὐτὸς, ὕψου. καὶ οὓς ἐβούλετο αὐτὸς ἐταπείνου. καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας, καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ' αὐτοῦ, καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη. καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη, καὶ μετὰ τῶν ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν ἐψώμιζον αὐτόν. καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ τὸ σῶμα αὐτοῦ ἐβάφη, ἕως οὗ γνῶ

ὃ ἔγνω, ὅτι κυριεύει κύριος, ὁ θεὸς ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων, καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν. καί σὺ ὁ υἱὸς αὐτοῦ βαλτάσαρ, οὐκ ἐταπείνωσας τὴν καρδίαν σου κατενώπιον τοῦ θεοῦ. οὐ πάντα ταῦτα ἔγνως; καὶ ἐπὶ τὸν κύριον, θεὸν τοῦ οὐρανοῦ ὑψώθης, καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου, καί σὺ καὶ οἱ μεγιστᾶνές σου, καὶ αἱ παλλακαί σου, καὶ αἱ παράκοιτοί σου οἶνον ἐπίνετε ἐν αὐτοῖς. καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀργυροῦς καὶ σιδηροῦς καὶ ξυλίνους καὶ λιθίνους, οἳ οὐ βλέπουσι, καὶ οἳ οὐκ ἀκούουσι, καὶ οὐ γινώσκουσιν, ᾔνεσας· καὶ τὸν θεὸν οὗ ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοί σου, αὐτὸν οὐκ ἐδόξασας. διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρὸς, καὶ τὴν γραφὴν ταύτην ἐνέταξε. καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη, μανὴ, θεκὲλ, φάρες. τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος. μανὴ, ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου, καὶ ἐπλήρωσεν αὐτήν. θεκὲλ, ἐστάθη ἐν ζυγῷ, καὶ εὑρέθη ὑστεροῦσα. φάρες, διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη μήδοις καὶ πέρσαις. καὶ εἶπε βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν δανιὴλ πορφύραν, καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ. καὶ ἐκήρυξε περὶ αὐτοῦ, εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ. ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη βαλτάσαρ ὁ βα-

quo cognouit dominum deum altissimum regno mortalium, eique qui placeat, dare illud. Tu uero filius eius cum sis Baltasar, nō demisisti cor tuum coram deo. Non'ne omnia hæc nosti? Et contra dominum deum cœli elatus es, et uasa domus eius attulisti coram te, et tu et optimates tui, et concubinæ tuæ et coniuges tuæ uinum bibebatis in eis. Et deos aureos et argenteos et ferreos, et ligneos et lapideos, qui neque uident, neque audiunt, neque cognoscunt, laudasti. Et deum in cuius manu spiritus tuus, et omnes uiæ tuæ, ipsum non gloria affecisti. Hanc ob causam à facie eius missus est articulus manus, et scripturam hanc ordinauit. Et hæc scriptura ordinata, MANE, THECEL, PHARES. hęc cō iectura uerbi. Mane, dimensus est deus regnum tuum, et impleuit illud. Thecel, appensum est in statera et inuentum est posterius. Phares, diuisum est regnū tuum, et datum est Medis et Persis. Cum iussit Baltasar, uestierunt Danielem purpura, et torquem auream circumposuerunt collo eius, et prędicauit de eo, esse eum principem tertiū in regno suo. In eadem nocte interfectus est Baltasar rex

rex Chaldæus, & Darius Medus suscepit regnum, cum esset annorum sexaginta duorum.

Cap. VI Placuit autem Dario, præfecitq; regno satrapas centum uiginti, ut essent in toto regno suo, illisq; ordinarios tres, ex quibus erat Daniel unus, ut redderent illis satrapæ rationem, ne rex fatigaretur. Daniel uero superabat eos, siquidem spiritus abundans erat in eo. Ideo rex constituit eũ in uniuerso regno suo. Et ordinarii & satrapæ quærebant occasionẽ ut inuenirent contra Danielem, sed ullam occasionem & delictum peccatum non inuenerunt contra eum, quia fidelis erat. Et dixerunt ordinarij, non inueniemus cõtra Daniel occasionem, nisi in legitimis dei sui. Tunc ordinarij & satrapæ assistebant regi, cui dicebant, Dari rex in æternum uiue. Cõsilium inierunt omnes, qui in regno tuo, magistratus, & toparchæ, cõstituendi statuto regio, et sanciendi edictũ, ut quicunq; petierit petitionem ab ullo deo uel homine, usque ad dies triginta, nisi à te, rex, conjciatur in foueam leonum. Nunc ergo rex statue finitionem.

ut

ὁ βασιλεὺς ὁ χαλδαῖος, καὶ Δαρεῖος ὁ μῆδος παρέλαβε τὴν βασιλείαν, ὢν ἐτῶν ἑξήκοντα δύο.

Καὶ ἤρεσεν ἐνώπιον Δαρείου, καὶ κατέστησεν ἐπὶ τῆς βασιλείας σατράπας ἑκατὸν εἴκοσι, τοῦ εἶναι αὐτοὺς ἐν ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἐπάνω αὐτῶν τακτικοὺς τρεῖς, ὧν ἦν Δανιὴλ εἷς ἐξ αὐτῶν, τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σατράπας λόγον, ὅπως ὁ βασιλεὺς μὴ ἐνοχλῆται. καὶ ἦν Δανιὴλ ὑπὲρ αὐτούς, ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ, καὶ ὁ βασιλεὺς κατέστησεν αὐτὸν ἐφ᾽ ὅλης τῆς βασιλείας αὐτοῦ. καὶ οἱ τακτικοὶ καὶ οἱ σατράπαι ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ Δανιήλ, καὶ πᾶσα πρόφασις καὶ παράπτωμα καὶ ἀμπλάκημα οὐχ εὑρέθη κατ᾽ αὐτοῦ, ὅτι πιστὸς ἦν. καὶ εἶπον οἱ τακτικοί, οὐχ εὑρήσομεν κατὰ Δανιὴλ πρόφασιν, εἰ μὴ ἐν νομίμοις θεοῦ αὐτοῦ. τότε οἱ τακτικοὶ καὶ οἱ σατράπαι παρέστησαν τῷ βασιλεῖ, καὶ εἶπαν αὐτῷ, Δαρεῖε βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλείας σου στρατηγοὶ καὶ σατράπαι, ὕπατοι καὶ τοπάρχαι, τοῦ στῆσαι στάσει βασιλικῇ, καὶ ἐνισχῦσαι ὁρισμόν, ὅπως ὅς τις αἰτήσῃ αἴτημα παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου, ἕως ἡμερῶν τριάκοντα, ἀλλ᾽ ἢ παρὰ σοῦ βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων. νῦν οὖν βασιλεῦ στῆσον τὸν ὁρισμὸν

ὅπως

ἵνα μὴ ἀλλοιωθῇ τὸ δόγμα περσῶν καὶ μήδων. τότε ὁ βασιλεὺς δαρεῖος ἐπέταξε γραφῆναι τὸ δόγμα. καὶ δανιὴλ ἡνίκα ἔγνω ὅτι ἐνετάγη τὸ δόγμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ αἱ θυρίδες ἀνεῳγμέναι αὐτῷ ἐν τοῖς ὑπερῴοις κατέναντι ἱερουσαλήμ. καὶ καιροὺς τρεῖς τῆς ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ, καὶ προσευχόμενος, καὶ ἐξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ, καθὼς ἦν ποιῶν ἔμπροσθεν. τότε οἱ ἄνδρες ἐκεῖνοι παρετήρησαν, καὶ εὗρον τὸν δανιὴλ ἀξιοῦντα καὶ δεόμενον τοῦ θεοῦ αὐτοῦ. καὶ προσελθόντες λέγουσι τῷ βασιλεῖ, βασιλεῦ, οὐχ ὁρισμὸν ἔταξας, ὅπως πᾶς ἄνθρωπος ὃς ἂν αἰτήσῃ παρὰ παντὸς θεοῦ καὶ ἀνθρώπου αἴτημα, ἕως ἡμερῶν τριάκοντα, ἀλλ' ἢ παρὰ σοῦ, βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λεόντων; καὶ εἶπεν ὁ βασιλεύς, ἀληθινὸς ὁ λόγος, καὶ τὸ δόγμα μήδων καὶ περσῶν οὐ παρελεύσεται. καὶ τότε ἀπεκρίθησαν, καὶ λέγουσιν ἐνώπιον τοῦ βασιλέως, δανιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, οὐχ ὑπετάγη τῷ δόγματί σου, καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖται παρὰ τοῦ θεοῦ αὐτοῦ τὰ αἰτήματα αὐτοῦ. τότε ὁ βασιλεὺς ὡς τὸ ῥῆμα ἤκουσε, πολὺ ἐλυπήθη ἐπ' αὐτῷ, καὶ περὶ τοῦ δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐτόν, καὶ ἕως ἑσπέρας ἦν ἀγωνιζόμενος τοῦ ἐξελέσθαι αὐτόν.

ut non mutetur decretum Persarum & Medorum. Tunc rex Darius præcepit scribi decretum. Verum Daniel cũ cognouisset, statutum esse decretũ, ingressus est in domum suam, & fenestræ apertæ ipsi in cœnaculis suis uersus Hierusalem, & temporibus trinis diei procumbebat in genua sua, & orabat, & confitens coram deo suo, id quod antea fecit. Tunc uiri illi obseruauerunt, & inuenerunt Danielem orantem & obsecrantem deum suum. Et accedentes dicunt regi, Rex non'ne edictum sanxisti, ut omnis homo, qui petierit ab ullo uel deo uel homine petitionem usque ad dies triginta, nisi à te, rex, mittetur in foueam leonum? Et dixit rex, Verus sermo, & decretum Medorum & Persarum non præteribit. Tunc responderunt, & dicunt coram rege, Daniel qui de filiis captiuitatis Iudeę, non est subiectus decreto tuo, & temporibus trinis diei petit à deo suo petitiones suas. Porro rex ut audiuit uerbum, magnum ex eo dolorem cepit, & pro Daniel contendit, ut liberaret eum, et usq; ad uesperã erat certans, ut eriperet eum.

eum. Tunc uiri illi dicunt regi, Scito rex, decretum Medis & Persis, omne edictum et statutum, quod rex statuerit, nõ immutari oportere. Cumq; rex iussisset, adduxerunt Daniel, et immiserũt eum in foueã leonum. Dixit autẽ rex, Daniel, Deus tuus, cui tu seruis continuè, ipse liberabit te. Et attulerunt lapidem unum, quem imposuerunt ori foueæ, quem obsignauit rex anulo suo, & in anulo optimatum suorum, ne mutaretur res in Daniel. Et abijt rex in domum suam, & dormiuit incœnatus, nec cibos attulerunt ei, & somnus recessit ab eo. Cæterum cõclusit deus ora leonum, necq; molesti fuerunt Daniel. Tũc rex surrexit mane in luce, & cum festinatione uenit ad foueam leonum. Cumq; appropinquaret foueæ, ad Danielẽ uoce contenta clamauit, Daniel serue dei uiuentis, deus'ne tuus, quem tu colis continuè, potuit liberare te ex ore leonum? Et dixit Daniel regi, Rex in secula uiue. Deus meus misit angelum suum, & obturauit ora leonum, &

αὐτόν. τότε οἱ ἄνδρες ἐκεῖνοι λέγουσι τῷ βασιλεῖ, γνῶθι βασιλεῦ, ὅτι τὸ δόγμα μήδοις καὶ πέρσαις, τοῦ πᾶν ὁρισμὸν καὶ στάσιν, ἣν ἂν ὁ βασιλεὺς στήσῃ, οὐ δεῖ παραλλάξαι. τότε ὁ βασιλεὺς εἶπε, καὶ ἤγαγον τὸν δανιήλ, καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων. καὶ εἶπεν ὁ βασιλεὺς τῷ δανιήλ, ὁ θεός σου, ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, αὐτὸς ἐξελεῖταί σε. καὶ ἤνεγκαν λίθον ἕνα, καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου. καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ, καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ δανιήλ. καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐκοιμήθη ἄδειπνος, καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ, καὶ ὁ ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ. καὶ ἀπέκλεισεν ὁ θεὸς τὰ στόματα τῶν λεόντων, καὶ οὐ παρηνώχλησαν τῷ δανιήλ. τότε ὁ βασιλεὺς ἀνέστη τὸ πρωῒ ἐν τῷ φωτί, καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν λεόντων. καὶ ἐν τῷ ἐγγίζειν αὐτὸν τῷ λάκκῳ, τῷ δανιὴλ φωνῇ ἰσχυρᾷ ἐβόησε, δανιήλ, ὁ δοῦλος τοῦ θεοῦ τοῦ ζῶντος, ὁ θεὸς ᾧ σὺ λατρεύεις ἐνδελεχῶς, εἰ ἠδυνάσθη ἐξελέσθαι σε ἐκ στόματος λεόντων; καὶ εἶπε δανιὴλ τῷ βασιλεῖ, βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. ὁ θεός μου ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐνέφραξε τὰ στόματα τῶν λεόντων,

καὶ

καὶ οὐκ ἐλυμήναντό με, ὅτι κατέναντι αὐτοῦ εὐθύτης εὑρέθη ἐν ἐμοί, καὶ ἐνώπιον δέ σου βασιλεῦ παράπτωμα οὐκ ἐποίησα. τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ, καὶ τὸν Δανιὴλ εἶπεν ἀνοίγναι ἐκ τοῦ λάκκου. καὶ ἀνηνέχθη Δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ, ὅτι ἐπίστευσε τῷ θεῷ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς, καὶ ἤγαγον τοὺς ἄνδρας τοὺς διαβάλλοντας τὸν Δανιὴλ, καὶ εἰς τὸν λάκκον τῶν λεόντων ἐνεβλήθησαν αὐτοὶ, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ γυναῖκες αὐτῶν. καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρίευσαν αὐτῶν οἱ λέοντες, καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν. τότε Δαρεῖος ὁ βασιλεὺς ἔγραψε πᾶσι τοῖς λαοῖς, φυλαῖς, γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ, εἰρήνη ὑμῖν πληθυνθείη. ἐκ προσώπου μου ἐτέθη δόγμα, τοῦ ἐν πάσῃ ἀρχῇ τῆς βασιλείας μου εἶναι τρέμοντας καὶ φοβουμένους ἀπὸ προσώπου τοῦ θεοῦ Δανιήλ. ὅτι αὐτός ἐστι θεὸς ζῶν, καὶ μένων εἰς τοὺς αἰῶνας, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται, καὶ ἡ κυρεία αὐτοῦ ἕως τέλους. ἀντιλαμβάνεται, καὶ ῥύεται, καὶ ποιεῖ σημεῖα καὶ τέρατα ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, ὅστις ἐξείλετο τὸν Δανιὴλ ἐκ στόματος τῶν λεόντων. καὶ Δανιὴλ κατηύθυνεν ἐν τῇ βασιλείᾳ Δαρείου, καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ Πέρσου.

Ἐν

& non nocuerunt mihi, quia coram eo integritas inuenta est in me, neq; coram te, rex, delictum feci. Rex ergo uehementer lætatus est de eo, & Danielem iussit educere ex lacu. Et eductus est Daniel ex lacu, nec ulla labes est inuenta in eo, quia credidit in deo suo. Cum iussisset rex, adduxerunt uiros accusatores Daniel qui in foueam leonum immissi sunt, ipsi & filij eorum, & uxores eorũ, nec peruenerant ad pauimentũ laci, usquequo dominati sunt eis leones, & oia ossa eorum comminuerunt. Tunc Darius rex scripsit omnibus populis, tribubus, linguis habitantibus in omni terra, Pax uobis augescat. A facie mea sancitum est decretum, ut in omni imperio regni mei contremiscant, & timeant faciem dei Danielis. quoniam ipse est deus uiuens, & permanens in sempiternum, nec regnũ eius corrumpetur, & dominatus eius ad finẽ usq;. Defendit, & liberat, & facit signa, & portenta in cœlo, & in terra, qui liberauit Daniel ex ore leonum. Porrò Daniel prouectus est, in regno Darij, & in regno Cyri Persæ.

Cap. VII

In primo anno Baltasar regis Chaldæorum, Daniel somnium uidit, & uisiones capitis sui in cubili suo, & somnium scripsit, principium sermonum suorum. Ego Daniel uidebam in uisione mea nocte. Ecce autem quatuor uenti cœli irruerunt in mare magnum, & quatuor bestiæ magnæ ascendentes de mari differẽtes inter se. Prima quasi leæna, & alæ eius aquilæ, aspiciebam donec euulsæ sunt alæ eius. Et sublata est à terra, & in pedibus hominis stetit, & cor hominis datum est ei. Et ecce bestia secunda similis urso, & in partem unam stetit, & tria latera in ore eius inter dentes eius. Et sic dicebant ei, Surge, ede carnes multas. Post ipsam aspiciebã, & ecce alia bestia quasi pardalis, super quam alæ quatuor uolucris, & quatuor capita bestiæ, & potestas data est illi. Post hoc aspiciebam, & ecce bestia quarta terribilis & stupenda, & fortis uehementer, cuius dentes ferrei magni, comedebat ac cõminuebat, et reliqua pedibus suis conculcabat, et ea differens precipuè, præter omnes

Ἐν τῷ πρώτῳ ἔτει Βαλτάσαρ βασιλέως χαλδαίων, δανιὴλ ἐνύπνιον εἶδε, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον αὐτοῦ ἔγραψεν, ἀρχὴν λόγων αὐτοῦ. ἐγὼ δανιὴλ ἐθεώρουν ἐν ὁράματί μου τῆς νυκτὸς, καὶ ἰδοὺ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ προσέβαλλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, καὶ τέσσαρα θηρία μεγάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης, διαφέροντα ἀλλήλων. τὸ πρῶτον, ὡσεὶ λέαινα, καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ, ἐθεώρουν, ἕως οὗ ἐξετίλη τὰ πτερὰ αὐτῆς. καὶ ἐξήρθη ἀπὸ τῆς γῆς, καὶ ἐπὶ ποδῶν ἀνθρώπου ἐστάθη, καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. καὶ ἰδοὺ θηρίον ἕτερον ὅμοιον ἄρκτῳ, καὶ εἰς μέρος ἓν ἐστάθη. καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς, ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. καὶ οὕτως ἔλεγον αὐτῇ, ἀνάστηθι, φάγε σάρκας πολλάς. ὀπίσω αὐτοῦ ἐθεώρουν, καὶ ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις. καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς, καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ, καὶ ἐξουσία ἐδόθη αὐτῇ. ὀπίσω τούτου ἐθεώρουν, καὶ ἰδοὺ θηρίον τέταρτον, καὶ φοβερὸν καὶ ἔκθαμβον, καὶ ἰσχυρὸν περισσῶς, καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, μεγάλοι, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει, καὶ αὐτὸ διαφέρον περισσῶς, παρὰ

παντ

πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ, καὶ κέρατα δέκα αὐτῷ. προσενόουν τοῖς κέρασιν αὐτοῦ, καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν ἀνέβη ἐν μέσῳ αὐτῶν, καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξεῤῥιζώθη ἀπὸ προσώπου αὐτοῦ. καὶ ἰδοὺ ὀφθαλμοὶ ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου ἐν τῷ κέρατι τούτῳ, καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἐποίει πόλεμον πρὸς τοὺς ἁγίους. ἐθεώρουν ἕως οὗ οἱ θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. ποταμὸς πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν. ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων, ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον, καὶ ἀπώλετο, καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός. καὶ τῶν λοιπῶν θηρίων μετεστάθη ἡ ἀρχὴ, καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς ἕως χρόνου καὶ καιροῦ. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς, καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ

καὶ

omnes bestias ante eam, & cornua decem illi. Cōsiderabam cornua eius, & ecce cornu aliud paruum ascendit in medio eorum, & tria cornua eorum quę ante eam radicitus euulsa sunt à facie eius. Et ecce oculi quasi oculi hominis in cornu isto, & os loquēs magna, gerebatq; bellum cum sanctis. Spectabā donec throni positi sunt, & antiquus dierum sedit, & uestimētum eius quasi nix album, & capillus capitis eius, quasi lana munda, thronus eius flāma ignis, rotæ eius ignis ardēs. Fluuius ignis trahebat, qui egrediebatur ante eam, mille millia ministrabant ei, & decies centena millia adstabant ante illum. Iudicium sedit, & libri aperti sunt. Aspiciebam tunc propter uocem sermonū grandium, quos cornu illud loquebatur, donec interfecta est bestia illa, & perijt, & corpus eius datum est in combustionem ignis. Et reliquatum bestiarū trāsmutatus est principatus, & diuturnitas uitæ data est eis usq; ad tempus & tempus. Aspiciebam in uisione noctis, & ecce cum nubibus cœli quasi filius hominis ueniebat, & usque ad antiquum dierum peruenit, & ad eum allatus est. Et ei datus est principatus,

&

& honos & regnum, & omnes populi, tribus, linguæ ipsi seruiebant. Potestas eius potestas æterna, quæ non transibit, nec regnum eius corrumpetur. Horruit spiritus meus. Ego Daniel in habitu meo, & uisiones capitis mei conturbauerunt me. Accessi autem ad unum ex ijs qui astabant, ex quo quærebam expositionem horum omnium. Qui dixit mihi expositionem, & coniecturam sermonũ notã fecit mihi. Hę bestię magnę quatuor, quatuor regna surgent in terra, quæ auferentur. Et accipient regnum sancti altissimi, & obtinebunt illud usque in ætates, & usque ætates ætatum. Verum diligenter quærebam de quarta bestia, quippe quæ multum differebat ab aliis bestiis, bestia terribilis admodum. dentes cuius ferrei, & ungues ærei, edens & comminuẽs, & reliquas pedibus suis conculcabat. Et de cornibus eius decem, in capite eius, & de altero ascendente & excutienti priora tria, cornu illud cuius oculi & os loquitur magna, & uisio eius maior reliquis. Spectabam, & cornu illud gerebat bellum cum sanctis, eisque fuit superior, donec

uenit

καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ διαφθαρήσεται. ἔφριξε τὸ πνεῦμά μου, ἐγὼ Δανιὴλ, ἐν τῇ ἕξει μου, καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασσόν με. καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων, καὶ τὴν ἀκρίβειαν ἐζήτουν παρ' αὐτοῦ περὶ πάντων τούτων. καὶ εἶπέ μοι τὴν ἀκρίβειαν, καὶ τὴν σύγκρισιν τῶν λόγων ἐγνώρισέ μοι. ταῦτα τὰ θηρία τὰ μεγάλα τὰ τέσσαρα, τέσσαρες βασιλεῖαι ἀναστήσονται ἐπὶ τῆς γῆς, αἳ ἀρθήσονται, καὶ παραλήψονται τὴν βασιλείαν ἅγιοι ὑψίστου, καὶ καθέξουσιν αὐτὴν ἕως αἰῶνος, καὶ ἕως αἰῶνος τῶν αἰώνων. καὶ ἐζήτουν ἀκριβῶς περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι ἦν διάφορον παρὰ πᾶν θηρίον, θηρίον φοβερὸν περισσῶς. οἱ ὀδόντες αὐτοῦ σιδηροῖ, καὶ οἱ ὄνυχες αὐτοῦ χαλκοῖ, ἐσθίον καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα ἐν τῇ κεφαλῇ αὐτοῦ, καὶ τοῦ ἑτέρου τοῦ ἀναβαίνοντος, καὶ ἐκτινάξοντος τῶν προτέρων τρία, κέρας ἐκεῖνο ᾧ οἱ ὀφθαλμοὶ καὶ τὸ στόμα λαλοῦν μεγάλα, καὶ ἡ ὅρασις αὐτοῦ μείζων τῶν λοιπῶν. ἐθεώρουν, καὶ τὸ κέρας ἐκεῖνο ἐποίει πόλεμον μετὰ τῶν ἁγίων, καὶ ἴσχυσε πρὸς αὐτούς, ἕως

ἕως

ου ἦλθεν ὁ παλαιὸς τῶν ἡμερῶν, καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου. καὶ ὁ καιρὸς ἔφθασε, καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. καὶ εἶπε, τὸ θηρίον τὸ τέταρτον, βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις ὑπερέξει πάσας τὰς βασιλείας, καὶ καταφάγεται πᾶσαν τὴν γῆν, καὶ συμπατήσει αὐτὴν, καὶ κατακόψει. καὶ τὰ δέκα κέρατα αὐτοῦ, δέκα βασιλεῖς ἀναστήσονται. καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος, ὃς ὑπεροίσει κακοὺς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς ταπεινώσει, καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους ὑψίστου πλανήσει, καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον, καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν, καὶ ἥμισυ καιροῦ, καὶ τὸ κριτήριον καθίσει, καὶ τὴν ἀρχὴν μεταστήσουσι, τοῦ ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους. καὶ ἡ βασιλεία καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη τῶν βασιλέων τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἐδόθη ἁγίοις ὑψίστου. καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύσουσι καὶ ὑπακούσονται. ἕως ὧδε τὸ πέρας τοῦ λόγου. ἐγὼ Δανιήλ, οἱ διαλογισμοί μου συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοιώθη ἐπ' ἐμοί, καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου συνετήρησα.

Ἐν ἔτει τρίτῳ τῆς βασιλείας Βαλτάσαρ τοῦ βασιλέως, ὅρασις ὤφθη πρός

uenit antiquus dierum, & iudicium dedit sanctis altissimi. Et tempus prӕuenit, & regnũ obtinuerunt sancti. Et dixit, Bestia quarta regnum quartum erit in terra, quod superabit omnia regna, & deuorabit omnem terram, & conculcabit eam atque contundet. Porrò decem cornua eius, decem reges surgent. Et post eos surget alius, qui superabit malos omnes qui ante fuerunt, regesque tres opprimet, et sermones contra altissimum loquetur, & sanctos altissimi seducet, & cogitabit mutare tempora & legẽ, & dabitur in manu eius usque ad tempus tempora, & dimidiũ temporis. Et tribunal demittet, & principatum transferent, ut perdant, & ut destruant usque in finem. Et regnũ & potestas, et amplitudo regum eorum, qui sunt subter omne cœlum, data sunt sanctis altissimi, Et regnum eius regnum æternum, & omnes principatus ipsi seruient, & obedient. Hactenus terminus sermonis. Ego Daniel, cogitationes meæ conturbauerunt me, & facies mutata est mihi, et uerbum in corde meo conseruaui.

Cap. VIII

In anno tertio regni Baltasar regis, uisio uisa est

ad me. Ego Daniel post illud quod apparuit mihi principio, eram autem in Susis castro, quod est in regione Ailã. Et uidi in uisione, et erã in porta atrij, ac extuli oculos meos, & uidi. Et ecce aries unus stans ante Vbal, cui erant cornua, & cornua excelsa, & unum excelsius altero. Sed id quod erat longius creuit ad extrema. Et uidi arietem cornu petentem contra mare & Aquilonem, & Austrum. Nullæ bestiæ stabant coram eo, nec erat qui liberaret de manu eius, fecitq; pro sua uoluntate, ac magnus est effectus. Ego cõsiderabam, & ecce hircus caprarum ueniebat ab Aphrico in facie totius terrę. Et hirco cornu conspicuum inter oculos, qui uenit usq; ad arietem cornua habentem, quem uidi stantem ante Vbal, & cucurrit ad eum in impetu roboris sui. Vidiq; cũ peruenientẽ usq; ad arietẽ, et cõcitatus est cõtra eũ, et pcussit arietẽ, & cõtriuit utrũque eius cornu. Nec erant uires arieti standi coram eo. Et iecit eum in terrã, & conculcauit eum. Nec fuit qui liberaret arietem de manu eius. Et hircus caprarum magnus effectus est usq; ualde, & cum iam uiribus ualeret ipse, contri-

πρός με. ἐγὼ δανιὴλ μετὰ τὴν ὀφθεῖσάν μοι τὴν ἀρχήν, καὶ ἤμην ἐν σούσοις τῇ βάρει, ἥ ἐστιν ἐν χώρᾳ αἰλάμ. καὶ εἶδον ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ οὐβάλ. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον. καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ οὐβάλ, καὶ αὐτῷ κέρατα, καὶ τὰ κέρατα ὑψηλά, καὶ τὸ ἓν ὑψηλότερον τοῦ ἑτέρου, καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτων. καὶ εἶδον τὸν κριὸν κερατίζοντα κατὰ θάλασσαν καὶ βοῤῥᾶν, καὶ νότον, καὶ πάντα τὰ θηρία οὐ στήσονται ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χειρὸς αὐτοῦ, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη. καὶ ἐγὼ ἤμην συνιών, καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ τῷ τράγῳ κέρας θεωρητὸν ἀνὰ μέσον τῶν ὀφθαλμῶν. καὶ ἦλθεν ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος, οὗ εἶδον ἑστῶτος ἐνώπιον οὐβάλ, καὶ ἔδραμε πρὸς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος αὐτοῦ. καὶ εἶδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ, καὶ ἐξηγριώθη πρὸς αὐτόν. καὶ ἔπαισε τὸν κριόν, καὶ συνέτριψε ἀμφότερα τὰ κέρατα αὐτοῦ. καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ. καὶ ἔῤῥιψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτόν, καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη ἕως σφόδρα, καὶ ἐν τῷ ἰσχύσαι αὐτόν, συνε-

συνετρίβη τὸ κέρας αὐτοῦ τὸ μέγα. καὶ ἀνέβη ἕτερα κέρατα τέσσαρα ὑποκάτω αὐτοῦ, εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν ἐξῆλθε κέρας ἓν ἰσχυρὸν, καὶ ἐμεγαλύνθη περισσῶς, πρὸς τὸν νότον καὶ τὴν ἀνατολὴν, καὶ ἐμεγαλύνθη ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ. καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῶν ἄστρων, καὶ συνεπάτησεν αὐτά. καὶ ἕως οὗ ὁ ἀρχιστράτηγος ῥύσηται τὴν αἰχμαλωσίαν, καὶ δι' αὐτὸν θυσία ἐταράχθη, καὶ ἐγενήθη, καὶ κατευωδώθη αὐτῷ. καὶ τὸ ἅγιον ἐρημωθήσεται. καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία, καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη. καὶ ἐποίησε, καὶ εὐωδώθη. καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος, καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνὶ τῷ λαλοῦντι, ἕως πότε ἡ ὅρασις στήσεται ἡ θυσία ἡ ἀρθεῖσα, καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα, καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συμπατηθήσεται; καὶ εἶπεν αὐτῷ, ἕως ἑσπέρας καὶ πρωΐ, ἡμέραι δισχίλιαι τριακόσιαι, καὶ καθαρισθήσεται τὸ ἅγιον. καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με, ἐγὼ δανιὴλ, τὴν ὅρασιν, καὶ ἐζήτουν σύνεσιν, καὶ ἰδοὺ ἔστη ἐνώπιον ἐμοῦ ὡς ὅρασις ἀνδρὸς, καὶ ἤκουσα φωνὴν ἀνδρὸς ἀνὰ μέσον τοῦ οὐβὰλ, καὶ ἐκάλεσε, καὶ εἶπε, γαβριὴλ, συνέτισον ἐκεῖνον τὴν ὅρασιν. καὶ ἦλθε, καὶ ἔστη ἐχόμενος τῆς στάσεώς

contritum est cornu eius magnum. Et ascenderunt alia cornua quatuor subter illud in quatuor uentos cœli. Et ex uno eorum egressum est cornu unum robustum, quod uehementer magnum est effectum ad Austrum & ad Orientē, et magnificatum est usque ad militiam cœli. Et cecidit in terram de militia cœli & de stellis, quas cōculcauit & usq; ad summum imperatorem tenuerit captiuitatem, ac per eum sacrificium conturbatū est, eiq; obtigit, ac prospere successit, sacrumq; uastabitur. Etiam datum est sacrificio scel⁹, humiq; ꝓstrata est iustitia. Quod fecit, et ꝓspere successit. Et audiui unum sanctum loquentē, & dixit unus sanctus Phelmoni alloquēti, Quādiu uisio stabit, sacrificium ablatum, & peccatum uastitatis, quod datū est, & sanctum & fortitudo conculcabitur? Et dixit ei, Vsq; ad uesperam & mane, dies duo mille et trecenti, & mundabitur sanctū. Et factum est cum uiderem ego Daniel uisionem, quærerémq; notitiam, & ecce stetit in conspectu meo quasi uisio uiri. Et audiui uocē uiri inter Vbal, & uocauit, & dixit, Gabriel interpretare huic uisionem. Et uenit, & stetit adhærens stationi

ſtationi meæ. Et cum uenit is, turbatus ſum, & cado in faciẽ meã. Et dixit ad me, Intellige fili hominis, adhuc enim ad temporis finem uiſio. Et cum loqueretur ipſe mecum, cado in faciem meam ad terram, & tetigit me, & ſtatuit me in pedes. Et dixit, Ecce ego nota facio tibi futura in extremis iræ, adhuc enim in temporis finem. Aries, quẽ uidiſti, habens cornua, rex Perſarum & Medorum. Hircus caprarum, rex eſt Græcorum. Et cornu magnum, quod erat inter oculos eius, rex eſt ipſe primus. Quo contrito, [ſub eo ſteterunt quatuor cornua, quatuor reges de gente eius conſurgent, et non uiribus illius. Verũ in extremis regni eorum, completis peccatis, conſurget rex impudens facie, qui intelliget problemata, cuius ualida eſt firmitas, et non e robore ſuo. Mirabiliaq́ꝫ corrumpet, & proſperabitur, & faciet, uexabitq́ꝫ fortes & populum ſanctum, & iugum ſupplicij dirigetur. Dolus in manu eius, & in corde eius magnus efficitur, & dolo interficiet multos, & in interitu multorum ſtabit, atq́ꝫ adeo contra principem principum ſtabit, ac quaſi oua manu conteret.

στάσεώς μου. καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην, καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ εἶπε πρός με, σύνες υἱὲ ἀνθρώπου. ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ, πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἥψατό μου, καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας. καὶ εἶπεν, ἰδοὺ ἐγὼ γνωρίζω σοὶ τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς. ἔτι γὰρ εἰς καιροῦ πέρας. ὁ κριὸς ὃν εἶδες, ὁ ἔχων τὰ κέρατα, βασιλεὺς Μήδων καὶ Περσῶν. ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς Ἑλλήνων. καὶ τὸ κέρας τὸ μέγα ὃ ἦν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος. καὶ τοῦ συντριβέντος, οὗ ἔστησαν τέσσαρα κέρατα ὑποκάτω, τέσσαρες βασιλεῖς ἐκ τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτῶν, πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν, ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιῶν προβλήματα, καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ, καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. καὶ θαυμαστὰ διαφθείρῃ, καὶ κατευθύνῃ, καὶ ποιήσει, καὶ φθερεῖ ἰσχυρούς, καὶ λαὸν ἅγιον, ὁ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευθύνῃ. δόλος ἐν χειρὶ αὐτοῦ, καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλούς, καὶ ἐπὶ ἀπωλείας πολλῶν στήσεται. καὶ ἐπ' ἄρχοντα ἀρχόντων στήσεται, καὶ ὡς ᾠὰ ἐν χειρὶ συντρίψει.

Et

καὶ ἡ ὅρασις τῆς ἑσπέρας καὶ τῆς πρωΐας τῆς ῥηθείσης, ἀληθής ἐστι. καί σὺ σφράγισον τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλάς. καὶ ἐγὼ Δανιὴλ ἐκοιμήθην, καὶ ἐμαλακίσθην ἡμέρας. καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως, καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν συνιῶν.

Ἐν τῷ πρώτῳ ἔτει Δαρείου τοῦ υἱοῦ Ἀσουήρου, ἀπὸ τοῦ σπέρματος τῶν Μήδων, ὃς ἐβασίλευσεν ἐπὶ τὴν βασιλείαν Χαλδαίων, ἐν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ, ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τῶν ἀριθμῶν τῶν ἐτῶν, ὃς ἐγενήθη λόγος κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως Ἱερουσαλὴμ ἑβδομήκοντα ἔτη. καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν θεὸν, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν, ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ προσευξάμην πρὸς κύριον, τὸν θεόν μου. καὶ ἐξομολογησάμην, καὶ εἶπα, κύριε ὁ θεὸς ὁ μέγας καὶ θαυμαστὸς, ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε, καὶ τοῖς φυλάσσουσι τὰς ἐντολάς σου. ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν ἀπὸ τῶν ἐντολῶν σου καὶ ἀπὸ τῶν κριμάτων σου. καὶ οὐκ ἠκούσαμεν τῶν δούλων σου τῶν προφητῶν, οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασιλεῖς ἡμῶν, καὶ ἄρχοντας ἡμῶν, καὶ πατέρας ἡμῶν, καὶ πρὸς πάντα τὸν

λαὸν

Et uisio, uespere et mane, quae dicta est, uera est. Et tu signa uisionem, quia in dies multos. Et ego Daniel dormiui, & elangui dies. Cumq; surgerē, faciebam opera regis, uisionēq; admirabar, nec erat qui intelligeret.

Cap. IX

In primo anno Darij filij sueri de semine Medorum, qui dominabatur regno Chaldaeorum, in anno uno regni eius ego Daniel intellexi ex libris annalium, quomodo factus sit sermo domini ad Hieremiam prophetam, implendos esse uastitatis Hierusalem septuaginta annos. Dediq; faciem meam ad dominum deum, ut quaererem orationē & deprecationē in ieiuniis & sacco, & cinere oraui ad dominum, deum meum, & cōfessus sum, Et dixi, Domine deus magne, & admirabilis, custodiens testamentum tuum, & misericordiam diligentibus te, & custodientibus mandata tua. Peccauimus, iniquè fecimus, impiè egimus, à mandatis tuis, & iudiciis tuis. Nec audiuimus seruos tuos prophetas, qui loquebantur in nomine tuo ad reges nostros, & principes nostros, & patres nostros, & ad omnem

popu-

populum terræ. Tibi do-
mine iustitia, & nobis ig-
nominia faciei, ut hoc die,
uiro Iuda, & habitātibus
Hierusalem, & omni Isra-
el, tam propinquis, quàm
remotis, in omni terra in
quas dissеminasti eos in
sceleribus eorum, quibus
scelerate egerunt in te do
mine. Nobis ignominia
faciei, & regibus nostris,
et principibus nostris, qui
peccauimus tibi. Domino
deo nostro miserationes
& benignitates, quia re-
cessimus à dño, nec audi-
uimus uocem dñi dei no-
stri, ut ambularemus in le
gitimis eius, quę dedit an
te faciē nostrā, per manus
seruorum suorū propheta-
rum. Et omnis Israel trāf-
gressa est legem tuam, &
declinauit ne audiret uo-
cem tuam. Venit ergo ad
nos execratio & iuramen
tum, quod scriptum est in
lege Moysis serui dei, si-
quidem peccauimus ei.
Et statuit sermones suos,
quos loquutus est in nos,
& in iudices nostros, qui
iudicauerunt nos, se indu-
cturum ad nos mala ma-
gna, qualia nō fuerunt sub
omni cœlo, talia facta
sunt in Hierusalem. Quem
admodū scriptū est in lege
Moysi, oīa mala ista uene-
rūt ad nos. Nec rogauim⁹
faciē dñi dei nostri, ut rece
deremus ab iniquitatibus
nostris, & intelligeremus
in

λαὸν τῆς γῆς. σοὶ κύριε ἡ δικαιοσύ-
νη σου, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώ-
που, ὡς ἡ ἡμέρα αὕτη, ἀνδρὶ ἰούδα,
καὶ τοῖς ἐνοικοῦσιν ἱερουσαλὴμ, καὶ
παντὶ ἰσραὴλ, τοῖς ἐγγὺς καὶ τοῖς
μακρὰν, ἐν πάσῃ τῇ γῇ οὗ διέσπει-
ρας αὐτοὺς ἐκεῖ, ἐν ἀθεσίᾳ αὐτῶν
ᾗ ἠθέτησάν σε κύριε. ἡμῖν ἡ αἰσχύ-
νη τοῦ προσώπου, καὶ τοῖς βασιλεῦσιν
ἡμῶν καὶ τοῖς ἄρχουσιν ἡμῶν, οἵτι-
νες ἡμάρτομέν σοι. κυρίῳ τῷ θεῷ ἡ-
μῶν οἱ οἰκτιρμοὶ, καὶ οἱ ἱλασμοὶ, ὅ-
τι ἀπέστημεν ἀπὸ κυρίου, καὶ οὐκ εἰ-
σηκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ
ἡμῶν, πορεύεσθαι ἐν τοῖς νόμοις
αὐτοῦ, οἷς ἔδωκε κατὰ πρόσωπον ἡ-
μῶν ἐν χερσὶ τῶν δούλων αὐτοῦ τῶν προ-
φητῶν. καὶ πᾶς ἰσραὴλ παρέβη-
σαν τὸν νόμον σου, καὶ ἐξέκλιναν τοῦ
μὴ ἀκοῦσαι τῆς φωνῆς σου. καὶ ἐπῆλ-
θεν ἐφ' ἡμᾶς ἡ κατάρα, καὶ ὁ ὅρκος
ὁ γεγραμμένος ἐν νόμῳ μωϋσέως
δούλου τοῦ θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ.
καὶ ἔστησε τοὺς λόγους αὐτοῦ, οὓς ἐλάλη-
σεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς κριτὰς
ἡμῶν, οἳ ἔκριναν ἡμᾶς ἐπάγειν ἐφ'
ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν
ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, κατὰ
τὰ γενόμενα ἐν ἱερουσαλὴμ, κα-
θὼς γέγραπται ἐν νόμῳ μωϋσῆ, πάν-
τα τὰ κακὰ ταῦτα ἦλθον ἐφ' ἡμᾶς.
καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου
τοῦ θεοῦ ἡμῶν, ἀποστρέψαι ἀπὸ τῶν
ἀδικιῶν ἡμῶν, καὶ τοῦ συνιέναι
ἐν

ἐν πάσῃ ἀληθείᾳ. καὶ ἐγρηγόρησε κύριος ὁ θεὸς ἡμῶν ἐπὶ τὴν κακίαν ἡμῶν, καὶ ἐπήγαγεν αὐτὴν ἐφ᾽ ἡμᾶς, ὅτι δίκαιος ὁ θεὸς ἡμῶν ἐπὶ πᾶσαν τὴν ποίησιν αὐτοῦ ἣν ἐποίησε, καὶ οὐκ εἰσηκούσαμεν τῆς φωνῆς αὐτοῦ. καὶ νῦν κύριε ὁ θεὸς ἡμῶν ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς αἰγύπτου, ἐν χειρὶ κραταιᾷ, καὶ ἐποίησας σεαυτῷ ὄνομα ὡς ἡ ἡμέρα αὕτη, ἡμάρτομεν, ἠνοήσαμεν, ἠδικήσαμεν. κύριε ἐν πᾶσι ἡ ἐλεημοσύνη σου, ἀποστραφήτω δὴ ὁ θυμός σου, καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου ἱερουσαλὴμ ὄρους ἁγίου σου, ὅτι ἡμάρτομεν ἐν ταῖς ἀδικίαις ἡμῶν, καὶ τῶν πατέρων ἡμῶν ἱερουσαλὴμ, καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν ἐγένετο, καὶ ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν. καὶ νῦν εἰσάκουσον κύριε ὁ θεὸς ἡμῶν τῆς προσευχῆς τοῦ δούλου σου, καὶ τῶν δεήσεων αὐτοῦ· καὶ ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά σου, τὸ ἔρημον, ἕνεκέν σου. κλῖνον ὁ θεός μου τὸ οὖς σου, καὶ ἄκουσον. ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ ἰδὲ τὸν ἀφανισμὸν ἡμῶν καὶ τῆς πόλεώς σου, ἐφ᾽ ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ᾽ αὐτῆς. ὅτι οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡμεῖς ῥιπτοῦμεν τὸν οἰκτιρμὸν ἡμῶν ἐνώπιόν σου, ἀλλ᾽ ἐπὶ τοὺς οἰκτιρμούς σου τοὺς πολλοὺς κύριε. εἰσάκουσον κύριε, ἱλάσθητι κύριε, πρόσχες κύριε, ποίησον, καὶ μὴ χρονίσῃς ἕνεκέν σου, κύριε ὁ θεός

in omni ueritate. Et uigilauit dominus deus noster malitiæ, & adduxit ea in nos, quia iustus dñs deus noster in omni opere suo, quod fecit, cuius uocem non audiuimus. Iam ergo domine deus noster, qui eduxisti populum tuũ de terra Ægypti in manu forti, & fecisti tibijpsi nomẽ, ut hic dies. Peccauimus, stultè fecimus, iniustè egimus. Dñe in omnibus misericordia tua, auertatũ obsecro furor tuus, & ira tua à ciuitate tua Hierusalem montis sancti tui, quia peccauimus in iniquitatibus nostris, & patrum nostrorum Hierusalẽ, & populus tuus in opprobrium factus est etiam omnibus, qui circũ nos sunt. Et iam exaudi domine deus noster orationem serui tui, et deprecationes eius, & ostende faciem tuam sacrario tuo deserto, propter te. Inclina deus mi aurem tuam, & audi, aperi oculos tuos, & uide uastitatẽ nostram, & ciuitatis tuæ, in qua inuocatum est nomen tuum. Nec enim in iustitijs nostris proiicimus miserationem nostram coram te, sed in miserationes tuas multas dñe. Exaudi dñe, placare domine, attẽde domine, fac, & ne cunctaris propter te, domine mi

mi deus, siquidem nomen
tuum inuocatum est ad ci
uitatem tuã, & ad populũ
tuum. Ceterum adhuc me
loquente & orante, et cõ-
memorante peccata mea,
& peccata populi mei Is-
raei, et proiiciente miseri-
cordiã meam, coram dño
deo meo, a monte sancto
dei mei, et adhuc me lo-
quente in oratione, et ec-
ce uir Gabriel, quem uide
rã in uisione principio uo
lans, tetigitq; me, quasi
horã sacrificii uespertini.
Et erudiuit me, et locutus
est mecum, et dixit, Dani-
el nũc egressus sum, ut prę
berẽ intelligentiã. In prin
cipio deprecationis tuæ
egressus est sermo, et ego
ueni ut annunciarem tibi,
quia uir desideriorũ es tu.
Et animaduerte per uer-
bum, et intellige per uisio
nem. Septuaginta hebdo-
mades concisæ sunt popu-
lo tuo, et ciuitati sanctæ,
quibus consumetur pecca
tũ, et signentur peccata, et
deleant̃ iniquitates, et ex
pientur iniustitiæ, et addu
catur iustitia sempiterna,
et obsignetur uisio ac ua-
ticinatio, et ungatur sanctũ
sanctorum. Et cognosces
et intelliges ab exitu ser-
monis, ut respondeat̃ et ut
ædificet̃ Hierusalẽ, usq; ad
Christũ ducẽ, hebdoma-
des septẽ et hebdomades
sexagĩta una. Et reuertet̃, et
ędificabit̃ platea et mœnia
&

θεός μου, ὅτι τὸ ὄνομά σου ἐπεκλήθη
ἐπὶ τὴν πόλιν σου, καὶ ἐπὶ τὸν λαόν
σου. καὶ ἔτι μου λαλοῦντος καὶ προ-
σευχομένου, καὶ ἐξαγορεύοντος τὰς
ἁμαρτίας μου καὶ τὰς ἁμαρτίας τοῦ
λαοῦ μου ἰσραὴλ, καὶ ῥιπτοῦντος τὸν
ἔλεόν μου ἐναντίον κυρίου τοῦ θεοῦ
μου, παρὰ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ
μου, καὶ ἔτι μου λαλοῦντος ἐν τῇ προ-
σευχῇ, καὶ ἰδοὺ ὁ ἀνὴρ γαβριὴλ, ὃν
εἶδον ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετό-
μενος, καὶ ἥψατό μου, ὡσεὶ ὥραν
θυσίας ἑσπερινῆς. καὶ συνέτισέ με,
καὶ ἐλάλησε μετ' ἐμοῦ, καὶ εἶπε, δα-
νιὴλ, νῦν ἐξῆλθον συμβιβάσαι σε. ἐν
ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λό-
γος, καὶ ἐγὼ ἦλθον ἀναγγεῖλαί σοι,
ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ, καὶ ἐννοή-
θητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ
ὀπτασίᾳ. ἑβδομήκοντα ἑβδομάδες
συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ
ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντε-
λεσθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγί-
σαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι τὰς
ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδι-
κίας, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην
αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ
προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγί-
ων. καὶ γνώσῃ, καὶ συνήσεις ἀπὸ ἐξό-
δου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκο-
δομῆσαι ἱερουσαλὴμ, ἕως χριστοῦ ἡ-
γουμένου ἑβδομάδες ἑπτὰ, καὶ ἑβδο-
μάδες ξά. καὶ ἐπιστρέψει, καὶ οἰκοδο-
μηθήσεται πλατεῖα καὶ περίτειχος.
καὶ

καὶ ἐκκενωθήσονται οἱ καιροί. καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑξήκοντα δύο, ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῷ. τὴν δὲ πόλιν, καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου τάξει ἀφανισμοῖς. καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἥμισυ τῆς ἑβδομάδος καταπαύσει θυσιαστήριον καὶ θυσίας, καὶ πτερυγίου ἀπὸ ἀφανισμοῦ, καὶ ἕως συντελείας, καὶ σπουδῆς τάξει ἐπὶ ἀφανισμῷ, καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία. καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων ἔσται, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

Ἐν ἔτει τρίτῳ Κύρου τοῦ βασιλέως Περσῶν λόγος ἀπεκαλύφθη τῷ Δανιήλ, οὗ τὸ ὄνομα ἐπεκλήθη Βαλτάσαρ. καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγάλη, καὶ σύνεσις ἐδόθη αὐτῷ ἐν τῇ ὀπτασίᾳ. ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας ἡμερῶν, ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγον, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθον εἰς τὸ στόμα μου, καὶ ἄλειμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομάδων ἡμερῶν. ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου, καὶ ἐγὼ

ἤμην

& euacuabuntur tempora. Et post hebdomadas sexaginta duas destruetur unctio, & iudiciũ non erit in eo. Sed ciuitatẽ & sanctum dissipabit cum duce ueniente, & succidentur in diluuio, & usq; ad finem belli concisi ordinabit uastationibus. Et firmabit testamentum multis hebdomada una. Et dimidia septimana deficiet altare & sacrificia & pinnaculi præ uastitatione, ad consummationẽ usq; & diligentiam constituet ad interitum, ac confirmabit testamentum multis septimana una. Verum in medio septimanæ tolletur sacrificium & libamen. Atq; in templo abominatio uastationum erit, & usq; cõsummationẽ temporis consummatio tradetur uastitati.

Cap. X

In anno tertio Cyri regis Persarum, sermo patefactus est Danieli, cuius nomen uocatum est Baltasar. & uerum uerbũ, uisq; magna ac intelligentia data est ei in uisione. In diebus illis ego Daniel lugebam tres hebdomadas dierum, panem expetendum nõ comedi, nec caro et uinũ intrauit in os meũ, nec unguento unctus sum ad fines usq; triũ hebdomadarũ dierum. In die uigesimo quarto mẽsis primi, et ego

L eram

eram orans * fluuij ma-
gni, is est in Decel. * Et le-
uaui oculos meos, et uidi,
& ecce uir unus indutus
facta ueste, & lumbi eius
præcincti in auro Ophaz,
et corpus eius quasi Thar-
sis, & facies eius quasi ui-
sio fulguris, & oculi eius
quasi lampades ignis, &
brachia eius & crura qua-
si uisio æris fulgentis. &
uox sermonum eius quasi
uox turbæ. Vidi aũt ego
Daniel solus uisionem, &
uiri qui mecum erant non
uiderunt uisionem, sed stu-
por magnus oppressit eos,
fugeruntq; præ timore.
Quare ego relictus sum so-
lus, & uidi uisionem ma-
gnam hanc, nec est relicta
in me firmitas, & gloria
mea conuersa est in corru-
ptionem, nec ullum tenui
robur, & audiui uocẽ ser-
monum eius. Verũ cum
audirem uocem uerborũ
eius, prostrata erat facies
mea in terrã. Et ecce ma-
nus tangens me, & erexit
me in genua mea, & arti-
culos manuum mearum,
et dixit ad me, Daniel uir
desideriorũ, intellige per
uerba, quæ ego loquor
ad te. Et sta in statione
tua, quia nunc dimissus
sum ad te. Et cum loque-
retur is ad me sermonem
hunc,

ἤμην ἐρχόμενος. * τοῦ ποταμοῦ τοῦ
μεγάλου, αὐτός ἐστιν ἐν δεκέλ. * καὶ
ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ
ἰδοὺ ἀνὴρ εἷς ἐνδεδυμένος βαδ-
δίν, καὶ ἡ ὀσφὺς αὐτοῦ περιεζωσμέ-
νη χρυσίῳ ὠφάζ, καὶ τὸ σῶμα αὐτοῦ
ὡσεὶ θαρσεῖς, καὶ τὸ πρόσωπον αὐ-
τοῦ ὡς ἡ ὅρασις ἀστραπῆς, καὶ οἱ ὀφ-
θαλμοὶ αὐτοῦ ὡσεὶ λαμπάδες πυ-
ρός, καὶ οἱ βραχίονες αὐτοῦ, καὶ τὰ
σκέλη αὐτοῦ, ὡς ὅρασις χαλκοῦ στίλ-
βοντος. καὶ ἡ φωνὴ τῶν λόγων αὐ-
τοῦ, ὡς φωνὴ ὄχλου. καὶ εἶδον ἐγὼ δα-
νιὴλ μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄν-
δρες οἱ μετ' ἐμοῦ οὐκ εἶδον τὴν ὀπ-
τασίαν, ἀλλ' ἡ ἔκστασις μεγάλη ἐπέ-
πεσεν ἐπ' αὐτούς, καὶ ἔφυγον ἐν φό-
βῳ. καὶ ἐγὼ ὑπελείφθην μόνος, καὶ
εἶδον τὴν ὀπτασίαν τὴν μεγάλην
ταύτην, καὶ οὐχ ὑπελείφθη ἐν ἐμοὶ
ἰσχύς. καὶ ἡ δόξα μου μετεστράφη εἰς
διαφθοράν, καὶ οὐκ ἐκράτησα ἰσ-
χύος, καὶ ἤκουσα τὴν φωνὴν τῶν
λόγων αὐτοῦ. καὶ ἐν τῷ ἀκοῦσαί με
φωνὴν ῥημάτων αὐτοῦ, ἤμην κα-
τανενυγμένος τὸ πρόσωπόν μου ἐ-
πὶ τὴν γῆν. καὶ ἰδοὺ χεὶρ ἁπτομένη
μου ἤγειρέ με ἐπὶ τὰ γόνατά μου,
καὶ ταρσοὺς χειρῶν μου, καὶ εἶπε
πρός με, δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, σ-
ύνες ἐν τοῖς λόγοις οἷς ἐγὼ λαλῶ
πρός σε. καὶ στῆθι ἐπὶ τῇ στάσει σου, ὅτι
νῦν ἀπεστάλην πρός σε. καὶ ἐν τῷ
λαλῆσαι αὐτὸν πρός με τὸν λόγον
τοῦτον,

τόπον, ἀνέστην ἔντρομος. καὶ εἶπε πρός με, μὴ φοβοῦ Δανιὴλ, ὅτι ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἧς ἔδωκας τὴν καρδίαν σου συνιέναι, καὶ κακωθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου, καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου. καὶ ὁ ἄρχων βασιλείας Περσῶν εἱστήκει ἐξεναντίας μου εἴκοσι καὶ μίαν ἡμέραν. καὶ ἰδοὺ Μιχαὴλ εἷς τῶν ἀρχόντων τῶν πρώτων, ἦλθε βοηθῆσαί μοι, καὶ αὐτὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλείας Περσῶν. καὶ ἦλθον συνετίσαι σε ὅσα ἀπαντήσει τῷ λαῷ σου ἐπ' ἐσχάτων τῶν ἡμερῶν, ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ, κατὰ τοὺς λόγους τούτους, ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ κατενύγην. καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων μου, καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα. καὶ εἶπα πρὸς τὸν ἑστῶτα ἐναντίον μου, κύριε ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐντός μου ἐν ἐμοί, καὶ οὐκ ἔσχον ἰσχύν. καὶ πῶς δυνήσεται ὁ παῖς σου κύριε λαλῆσαι μετὰ τοῦ κυρίου μου τούτου; καὶ ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχὺς, καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί. καὶ προσέθετο, καὶ ἥψατό μου, ὡς ὅρασις ἀνθρώπου, καὶ ἐνίσχυσέ με. καὶ εἶπέ μοι, μὴ φοβοῦ ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοί. ἀνδρίζου, καὶ ἴσχυε. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ, ἴσχυσα.

καὶ

hunc, surrexi tremebundus. Et dixit ad me, Ne timeas Daniel, quia à die primo, quo appulisti cor tuum ad intelligendum, et affligendum coram domino deo tuo, exauditi sunt sermones tui, ac ueni propter sermones tuos. Verũ princeps regni Persarũ stetit aduersum me uiginti & una die. Et ecce Michael unus ex principibus primis uenit ad adiuuandum me, quem reliqui cũ principe regis Persarum. Venitq; ut doceam te, quæcunq; occurrent populo tuo in nouissimis diebus, quia adhuc uisio in dies. Et cũ loqueretur ipse mecum iuxta sermones hos, dedi conspectũ in terrã, et compunctus sum. Et ecce quasi similitudo filii hominis tetigit labia mea, & aperui os meũ, & loquutus sum. Et dixi ad stantem coram me, Dñe in uisione tua cõuersa sunt interiora mea in me, nec habuerunt uires, quomodo ergo poterit seruus tuus, dñe, loqui cum dño meo hoc? Neq; ex hoc tempore stabunt in me uires, neque halitus est relictus in me. Et addidit, & tetigit me quasi uisio hominis, qui etiam cõfirmauit me, dixitq; mihi, Ne timeas uir desideriorum, pax tibi, fortiter age, uiresq; habeto. Et cũ loqueretur is mecum, ualui,

Et dixi, Loquaŕ dñs meus, quia corroborasti me. Et dixit, Scis ne cur uenerim ad te? et nunc reuertar ad bellū gerendū cū principe Persarū. Et ego egressus sum, & princeps Græcorū ueniebat. Veruntamen annūciabo tibi quod constitutum est in scriptura ueritatis. Non est ullus qui adiutor sit mecum in hisce, nisi Michael princeps noster.

Cap.XI

Et ego in anno primo Cyri astiti, ut essem firmitas & robur. Ac iam ueritatē annunciabo tibi. Ecce adhuc tres reges surgent in Perside, & quartus ditabiŕ diuitijs magnis super oēs. Et postq̃ præstiterit diuitiis suis, insurget in omnia regna Gręcorū. Et consurget rex potens, & dominabitur potestatibus multis, facietq; pro sua uoluntate. Cumq; steterit regum eius, conteretur, & diuidetur in quatuor uentos cœli, nec uerò in extrema eius, neq; iuxta potestatem eius, qua dominatus est, quia distrahetur regnū eius, & alii præter istos dabitur. Cōfirmabitur aūt rex Austri, ac unus ex principibus eius superabit illum, & dominabitur dominationi multæ in potestate sua. Et post commiscebuntur, & filia regis Austri ingredietur

καὶ εἶπα, λαλείτω ὁ κύριός μου, ὅτι ἐνίσχυσάς με. καὶ εἶπεν, εἰ οἶδας ἵνα τί ἦλθον πρός σε; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ ἄρχοντος τῶν Περσῶν. καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο. ἀλλ' ἢ ἀναγγελῶ σοι ἐντεταγμένον ἐν γραφῇ ἀληθείας, καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων, ἀλλ' ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν.

Audite sermonem domini hunc, quem de uobis assumo luctū. Domus Israel cecidit, non amplius adijcies resurgere. Virgo Israel proiecta est in terrā suam, nec est qui eam erigat. Quia hæc dicit dñs deus, In ea urbe ex qua egrediebāť mille, relinquenť Cap. V

O centum,

centum, & ex qua egrediebantur centum, relinquêtur decem domui Israel. Itaq; hęc dicit dominus ad domum Israel. Quærite me, & uiuetis. neq; quęratis Bæthel, neq; in Galgala ingrediamini, neq; in puteum iuramenti transeatis. Quia Galgala capta in captiuitatem ducetur, fietq; Bæthel quasi nõ esset. Quærite dominum, & uiuite, ne ardeat ut ignis domus Ioseph, ac deuoret eũ, nec sit qui extinguet domũ Israel. Qui facit in excelso iudicium, & iustitiam in terrã collocauit. Qui facit omnia ac mutat, qui uertit auroram in mortis umbram, qui diem nocte obscurat, qui uocat aquam maris, et effundit in faciem terræ, eius nomen est dominus deus, omnipotens. Qui diuidit cõtritionem ad robur, ac miseriã ad munitionem adducit. Odio habuerunt in portis corripientẽ, & sermonem sanctum abominati sunt.
Soph.1 Quocirca hæc dicit dñs. Quoniã percutitis pugnis mendicos, & dona electa suscepistis ab eo, domos politas quas ædificastis, in eis non habitabitis. Vineas desiderabiles plantastis, & non bibetis uinum earum. Quia cognoui multas impietates uestras,

ἑκατὸν, καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατὸν, ὑπολειφθήσονται δέκα τῷ οἴκῳ ἰσραήλ. διότι τάδε λέγει κύριος πρὸς τὸν οἶκον ἰσραήλ, ἐκζητήσατέ με, καὶ ζήσεσθε. καὶ μὴ ἐκζητεῖτε βαιθήλ, καὶ εἰς γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου μὴ διαβαίνετε. ὅτι γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθήσεται, καὶ βαιθὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα. ἐκζητήσατε τὸν κύριον, καὶ ζήσατε, ὅπως μὴ ἀναλάμψει ὡς πῦρ ὁ οἶκος ἰωσὴφ, καὶ καταφάγεται αὐτὸν, καὶ οὐκ ἔσται ὁ σβέσων τὸν οἶκον ἰσραήλ. ὁ ποιῶν εἰς ὕψος κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν. ὁ ποιῶν πάντα καὶ μετασκευάζων, καὶ ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν θανάτου, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, κύριος ὁ θεὸς, ὁ παντοκράτωρ ὄνομα αὐτῷ. ὁ διαιρῶν συντριμμὸν ἐπὶ ἰσχὺν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο. διὰ τοῦτο οὕτως λέγει κύριος, ἀνθ᾽ ὧν κατεκονδυλίζετε πτωχοὺς, καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ᾽ αὐτῶν, οἴκους ξυστοὺς ᾠκοδομήσατε, καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς. ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν. ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν,

ὑμῶν, καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν, καταπατοῦντες δίκαιον, λαμβάνοντες ἀλλάγματα, καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. διὰ τοῦτο ὁ συνιῶν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν. ἐκζητήσατε τὸ καλὸν, καὶ μὴ τὸ πονηρὸν, ὅπως ζήσητε, καὶ ἔσται οὕτως κύριος ὁ θεὸς ὁ παντοκράτωρ μεθ' ὑμῶν. ὃν τρόπον εἴπατε, μεμισήκαμεν τὰ πονηρὰ, καὶ ἠγαπήσαμεν τὰ καλὰ, καὶ ἀποκαταστήσατε ἐν πύλαις κρίμα, ὅπως ἐλεήσῃ κύριος ὁ θεὸς ὁ παντοκράτωρ τοὺς καταλοίπους τοῦ ἰωσήφ. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ἐν πάσαις πλατείαις κοπετὸς, καὶ ἐν πάσαις ὁδοῖς ῥηθήσεται, οὐαὶ οὐαί. κληθήσεται γεωργὸς εἰς πένθος καὶ εἰς κοπετὸν, καὶ εἰς εἰδότας θρῆνον. καὶ ἐν πάσαις ὁδοῖς κοπετὸς, ὅτι διελεύσομαι διὰ μέσου, εἶπε κύριος. οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν τοῦ κυρίου. ἵνα τί αὕτη ὑμῖν ἡ ἡμέρα τοῦ κυρίου; καὶ αὐτή ἐστι σκότος, καὶ οὐ φῶς. ὃν τρόπον ἐὰν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκτος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον, καὶ ἀπερείσῃ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὄφις. οὐχὶ σκότος ἡ ἡμέρα τοῦ κυρίου, καὶ οὐ φῶς; καὶ γνόφος, οὐκ ἔχων φέγγος αὐτή; μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν

uestras, & firma peccata uestra, conculcantes iustũ, accipientes commutationes, & pauperem in portis declinãtes. Idcirco prudens in tempore illo tacebit, quia tempus malũ est. Quærite bonum, & non malũ, ut uiuatis, eritq; ita dominus deus omnipotẽs uobiscum. Quemadmodũ dixistis, odio habuimus mala, & dileximus bona, et restituistis in portis iudicium, ut misereatur dominus deus omnipotens reliquiarum Ioseph. Propterea hæc dicit dominus deus omnipotens, in omnibus plateis plangor, & in omnibus uijs dicetur, uæ uæ. Vocabitur agricola ad luctum & plangorem, & ad eos, qui sciunt lamẽtationem. Et in omnibus uijs plangor, quia transibo per medium, dixit dominus. Vę desiderantibus diem domini. Ad quid ipse uobis dies domini? Hęc caligo est, non lux. Perinde ac si quis fugiat à facie leonis, & occurrat ei ursus, & insiliat in domum, & applicarit manus suas super murum, & mordeat eum serpens. Non'ne tenebræ dies domini, & non lux. & caligo non habens splendorem ea? Odi, proieci ferias uestras, nec odorabor in conuen-

tibus uestris. Itaque si attule
ritis mihi solida sacrificia
& uictimas uestras non ac
cipiam. Et salutare appa
ritionis uestræ non re
spiciam. Aufer à me soni
tum carminum tuorum, et
psalmū instrumentorum
tuorum non audiam. Et
uoluetur quasi aqua iudi
cium: & iustitia quasi tor
rens inuius. Nunquid ho
stias & sacrificia quadra
ginta annos in solitudine
obtulistis mihi domus Is
Act.7 rael? Et portastis taberna
culum Moloch, & sydus
dei uestri Ræphan, figu
ras eorum quas fecistis uo
bis. Transferam uos ultra
Damascum, dicit domi
nus deus, omnipotens no
men illi.

Cap.VI Væ ijs qui contemnūt
Lucæ 6 Sion, & confidunt in mon
tem Samariæ, uindemiarūt
principatus gentium, &
ingressa est ad eos domus
Israel. Transite omnes, &
uidete Calanen: & transi
te illinc in Emarraba, &
descendite in Geth alieni
genarum, optimas ex re
gnis illis omnibus, num
plures sunt termini eorum
terminis uestris. Venientes
ad diem malum appro
pinquantes & attingentes
sabbata falsa, dormien
tes in lectis eburneis,
& exultantes in stratis
suis, & comedentes hœ
dos ex gregibus, & uitu
los ex medio armētorum
lactentes

σιν ὑμῶν. διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίας ὑμῶν, οὐ προσδέξομαι. καὶ σωτηρίου ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι. μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα, καὶ ἡ δικαιοσύνη ὡς χειμάῤῥους ἄβατος. μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι οἶκος ἰσραὴλ τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ; καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν ῥαιφὰν, τοὺς τύπους οὓς ἐποιήσατε ἑαυτοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα δαμασκοῦ, λέγει κύριος ὁ θεὸς, ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

Οὐαὶ τοῖς ἐξουθενοῦσι σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος σαμαρείας, ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον ἑαυτοῖς οἶκος τοῦ ἰσραήλ. διάβητε πάντες, καὶ ἴδετε εἰς καλάνην, καὶ διέλθετε ἐκεῖθεν εἰς ἐμαθ ῥαβὰ, καὶ κατάβητε εἰς γὲθ τῶν ἀλλοφύλων, τὰς κρατίστας ἐκ πασῶν τῶν βασιλειῶν τούτων, εἰ πλείονα τὰ ὅρια αὐτῶν ἐστι τῶν ὑμετέρων ὁρίων. οἱ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ ἐγγίζοντες, καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν, οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ ἔσθοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων

γαλα

γαλαθηνὰ, οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μῦρα χριόμενοι, καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ ἰωσήφ. διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ ἐφραὶμ, ὅτι ὤμοσε κύριος καθ' ἑαυτοῦ, λέγει κύριος ὁ θεὸς τῶν δυνάμεων. διότι βδελύσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν ἰακὼβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα. καὶ ἐξαρῶ πόλιν σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. καὶ ἔσται ἐὰν ὑπολειφθῶσι δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται, καὶ λήψονται οἱ οἰκεῖοι αὐτῶν, καὶ παραβιῶνται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου, καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας, εἰ ἔτι ὑπάρχει παρά σοι; καὶ ἐρεῖ, οὐκ ἔτι. καὶ ἐρεῖ, σίγα ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα κυρίου. διότι ἰδοὺ κύριος ἐντέλλεται, καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι, καὶ τὸν οἶκον τὸν μικρὸν ῥάγμασιν. εἰ διώξονται ἐν πέτραις ἵπποι, εἰ παρασιωπήσονται ἐν θηλείαις; ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρίμα, καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν, οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ ἀγαθῷ, οἱ λέγοντες, οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔσχομεν κέρατα. διότι ἰδοὺ ἐγὼ ἐπεγείρω ἐφ' ὑμᾶς

lactentes, plaudentes ad uocem organorum, sicut stantem putauerunt, & non sicut fugientem. Bibentes defecatum uinum, & primis unguentis uncti, nec patiebantur quicquã propter contritionem Ioseph. Propterea nunc captiui erunt ab initio potentium. Et auferetur hinnitus equi ex Ephraim, quia iurauit dominus per semetipsum, inquit dominus deus exercituum, quoniam abominor ego omnem superbiam Iacob, & regiones eius odio habui. Auferam ciuitatem cum omnibus ijs qui incolunt eã. Fietq; ut, si relicti fuerint decem uiri, morientur, accipientq; familiares eorum, qui cogentur efferre ossa eorum è domo, & dicet præsidibus domus, Nũ adhuc existit apud te? Et dicet, Nõ adhuc. Et dicet, Taceat, non nominauit dñm. Quia ecce dñs mãdabit, et pcutiet domũ magnã confractionibus. Et domum paruã fissuris. Nũ persequentur in petris equi: num tacebunt in fœminis? Quoniam conuerterunt in furorẽ iudicium, & fructum iustitię in amaritudinem, qui lætantur in nullo uerbo bono, qui dicunt, Quia non in fortitudine nostra habuimus cornua. Quia ecce ego suscitabo contra uos

Hiere. 15. 5.
Infra 8

uos, domus Israel, inquit dominus deus exercituũ, gentem, quæ affliget uos, ne ingrediamini in Æmath, & usque ad torrentem occidentis.

Cap.VII Sic ostendit mihi dominus dominus, & ecce fœtus locustarum ueniens in matutino tẽpore, & ecce bruchus unus erat Gog il-
Inf. eodem le rex. Factumq́ est, cum consumptum esse edendo gramen terræ, ut dicerem, Dñe propitius esto. quis suscitabit Iacob? Quando quidẽ paucissimus, pœniteat te domine huius. Ergo hoc non erit, dicit dñs. Sic ostẽdit mihi dñs dñs, & ecce uocauit iudiciũ in igne dñs dñs, & comedit abyssũ multã, & comedit partẽ. Et dixi, Dñe dñe quiesce iam: quis suscitabit Iacob? quia paucissimus est, pœniteat te dñe huius. Neq; hoc erit, dicit dominus. Sic ostendit mihi dominus, ecce uir stabat in muro adamantino, in cuius manu Adamas. Et dixit dominus ad me, Quid tu uides Amos? &
Infra 8 dixi, adamãtem. Et dixit ad me, Ecce ego impono adamantem in medio populi mei Israel, non ultra pergam præterire eum, & delebuntur aræ risus, & ceremoniæ Israel uastabunt, et consurgã super domum Hieroboam in gladio. Et ablegauit

ὑμᾶς, οἶκος ἰσραὴλ, φησὶ κύριος ὁ θεὸς στρατιῶν, ἔθνος, καὶ ἐκθλίψουσιν ὑμᾶς τοῦ μὴ εἰσελθεῖν εἰς ἐμὰθ, καὶ ἕως τοῦ χειμάῤῥου τῶν δυσμῶν.

Οὕτως ἔδειξέ μοι κύριος κύριος, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη ἑωθινὴ, καὶ ἰδοὺ βροῦχος εἷς γὼγ ὁ βασιλεὺς, καὶ ἔσται ἐὰν συντελεσθῇ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα, κύριε κύριε, ἵλεως γενοῦ. τίς ἀναστήσει τὸν ἰακώβ; ὅτι ὀλιγοστός ἐστι, μετανόησον κύριε ἐπὶ τούτῳ. καὶ τοῦτο οὐκ ἔσται, εἶπε κύριος. οὕτως ἔδειξέ μοι κύριος κύριος, καὶ ἰδοὺ ἐκάλεσε τὴν δίκην ἐν πυρὶ κύριος κύριος, καὶ κατέφαγε τὴν ἄβυσσον τὴν πολλὴν, καὶ κατέφαγε τὴν μερίδα. καὶ εἶπον, κύριε κύριε κόπασον δὴ, τίς ἀναστήσει τὸν ἰακώβ; ὅτι ὀλιγοστός ἐστι, μετανόησον κύριε ἐπὶ τούτῳ, καὶ τοῦτο οὐ μὴ γένηται, λέγει κύριος κύριος. οὕτως ἔδειξέ μοι κύριος, καὶ ἰδοὺ ἀνὴρ ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. καὶ εἶπε κύριος πρός με, τί σὺ ὁρᾷς ἀμώς; καὶ εἶπα, ἀδάμαντα. καὶ εἶπε κύριος πρός με, ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου ἰσραὴλ, οὐκ ἔτι μὴ προσθῶ τοῦ παρελθεῖν αὐτὸν, καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ αἱ τελεταὶ τοῦ ἰσραὴλ ἐρημωθήσονται. καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον ἱεροβοὰμ ἐν ῥομφαίᾳ. Καὶ

ἐξαπέ

ἐξαπέστειλεν ἀμασίας ὁ ἱερεὺς βαιθὴλ πρὸς ἱεροβοὰμ βασιλέα ἰσραὴλ λέγων, συστροφὰς ποιεῖται κατὰ σοῦ ἀμὼς ἐν μέσῳ οἴκου ἰσραὴλ, οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν πάντας τοὺς λόγους αὐτοῦ. διότι τάδε λέγει ἀμὼς, ἐν ῥομφαίᾳ τελευτήσει ἱεροβοὰμ, ὁ δὲ ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. καὶ εἶπεν ἀμασίας πρὸς ἀμὼς, ὁ ὁρῶν βάδιζε, ἐκχώρησον σὺ εἰς γῆν ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις. εἰς δὲ βαιθὴλ οὐκ ἔτι προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστὶ, καὶ οἶκος βασιλέως ἐστί. καὶ ἀπεκρίθη ἀμὼς, καὶ εἶπε πρὸς ἀμασίαν, οὐκ ἤμην προφήτης ἐγὼ, οὐδὲ υἱὸς προφήτου, ἀλλ᾽ αἰπόλος ἤμην κνίζων συκάμινα. καὶ ἀνέλαβέ με κύριος ἐκ τῶν προβάτων. καὶ εἶπε κύριος πρός με, βάδιζε καὶ προφήτευσον ἐπὶ τὸν λαόν μου ἰσραήλ. καὶ νῦν ἄκουε λόγον κυρίου. σὺ λέγεις, μὴ προφήτευε ἐπὶ τὸν ἰσραὴλ. καὶ οὐ μὴ ὀχλαγωγήσῃς ἐπὶ τὸν οἶκον ἰακώβ. διὰ τοῦτο τάδε λέγει κύριος, ἡ γυνή σου ἐν τῇ πόλει πορνεύσει, καὶ οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται, καὶ ἡ γῆ σου σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις, ὁ δὲ ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. οὕτως ἔδειξέ μοι κύριος κύριος.

Καὶ

ablegauit Amasias sacerdos Bæthel ad Hieroboam regem Israel, dicēs, Coniurationes facit contra te Amos in medio domus Israel, non poterit terra sustinere ullos sermones eius. Quia hæc dicit Amos, in gladio morietur Hieroboam, at Israel captiuus ducetur è terra sua. Dixit ergo Amasias ad Amos dicens, Tu qui uides, abi, discede in terrā Iuda, & illuc descende, illicq; uaticinaberis. Sed in Bæthel non amplius perges uaticinari, quoniam sanctio est regis, imò domus regis. Et respōdit Amos, & dixit ad Amasiam, Nō eram propheta, neq; filius prophetę, sed caprarius erā uellicās sycomoros. Et assumpsit me dominus ex ouibus. Et dixit dominus ad me, Abi & uaticinare super domum Israel. Et nunc audi uerbum domini. Tu dicis, non uaticinaberis ad Israel, nec plebem sollicitabis in domo Iacob. Propterea hæc dicit dominus, Vox tua in ciuitate scortabitur, & filij tui & filię tuę gladio cadent, & terra tua funiculo metietur, & tu in terra immunda morieris, at Israel captiuus ducetur de terra sua. Sic ostendit mihi dominus dominus.

Cap.VIII Et ecce uas aucupis. Et dixit dominus. Quid tu uides Amos? Et dixi, Vas aucupis. Et dixit dominus ad me. Venit finis ad populum meum Israel, non pergam ultra præterire eum. plorabuntque laquearia templi in illo die, dicit dominus. Frequēs qui cecidit in omni loco, proiiciam silentium. Audite hæc qui conteritis mane pauperem, & ui opprimitis mēdicos à terra, dicentes, Quando transibit mēsis ut lucremur, & sabbata, & aperiamus thesaurū: ad faciendam paruā mensuram, et ad augendam stateram, & faciendum staterам iniquam, ut possideamus argento mendicos, et egentem pro calceamentis. ac ab omni auctione negociabimur: Iurat dominus per superbiam Iacob, si obliuioni tradentur in uictoriam omnia opera eorū. Num propterea non turbabitur terra, & lugebit omnis habitans in ea? Et ascendet quasi flumen consummatio, & descendet quasi fluuius Ægypti. Fietque illo die, dicit dominus, ut occidat sol meridie, & obscuretur die lumen. Et conuertam festa uestra in luctum, & omnia carmina uestra in lamentationes, et inducā in omnē lumbum saccum,

Καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ. καὶ εἶπε, τί σὺ βλέπεις ἀμώς; καὶ εἶπα, ἄγγος ἰξευτοῦ. καὶ εἶπε κύριος πρός με, ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου ἰσραὴλ, οὐ προσθήσω ἔτι τοῦ παρελθεῖν αὐτόν. καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος κύριος. πολὺς ὁ πεπτωκὼς ἐν παντὶ τόπῳ, ἐπιῤῥίψω σιωπήν. ἀκούσατε δὴ ταῦτα οἱ ἐκτρίβοντες εἰς τὸ πρωῒ πένητα, καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς, λέγοντες, πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα, καὶ ἀνοίξομεν θησαυρὸν, τοῦ ποιῆσαι μέτρον μικρὸν, καὶ τοῦ μεγαλῦναι στάθμιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον, τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχούς; καὶ πένητα ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ πάσης πράσεως ἐμπορευσόμεθα; ὀμνύει κύριος καθ᾽ ὑπερηφανίας ἰακὼβ, εἰ ἐπιλησθήσονται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν. καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ; καὶ ἀναχεύσονται ὡς ποταμὸς συντέλεια αὐτῆς, καὶ καταβήσεται ὡς ποταμὸς αἰγύπτου. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς. καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας ᾠδὰς ὑμῶν εἰς θρῆνον, καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον,

σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα. καὶ θήσομαι αὐτὸν ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τῆς γῆς, οὐ λιμὸν ἄρτου, οὐδὲ λιμὸν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον κυρίου. καὶ σαλευθήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον τοῦ κυρίου, καὶ οὐ μὴ εὕρωσιν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι ἐκεῖναι αἱ καλαὶ, καὶ οἱ νεανίσκοι ἐν δίψει. οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ σαμαρείας, καὶ οἱ λέγοντες, ζῇ ὁ θεός σου βηρσαβεὲ, καὶ πεσοῦνται, καὶ οὐ μὴ ἀναστῶσιν ἔτι.

Εἶδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου, καὶ εἶπε, πάταξον ἐπὶ τὸ ἱλαστήριον, καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διάκοψον εἰς κεφαλὰς πάντων. καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενῶ, οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων, καὶ οὐ μὴ διασωθῇ ἐξ αὐτῶν ἀνασωζόμενος. ἐὰν κατορυγῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς, καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανὸν, ἐκεῖθεν κατάξω αὐτούς. ἐὰν κατακρυβῶσιν εἰς τὴν κορυφὴν τοῦ καρμήλου, ἐκεῖθεν ἐξερευνήσω, καὶ λήψομαι αὐτούς. καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ

ἐντε

saccum, & in omne caput caluicium. Constituamque ea quasi luctum dilecti, & eos qui cum illo sunt quasi diem doloris. Ecce dies ueniunt, dicit dominus dominus, & emittam famem in terram, non famem panis, neque famem aquae, sed famem audiendi uerbum domini. Et commouebuntur aquae à mari usque ad mare, & ab Aquilone usque ad orientem circuibunt quaerentes uerbum domini, & non inuenient. Die illo deficient uirgines pulchrae, & adolescentes in siti. Qui iurant per propitiationem Samariae, & qui dicunt, Viuit deus tuus Bersabee, & cadent, et non resurgent ultra.

Cap. IX

Vidi dominum stantem super altare, & dixit, Percute propitiatorium, & commouebuntur uestibula, & disseca in capita omnium. Quorum reliquias gladio interficiam, nec effugiet ex eis fugiens, neque saluabitur ex eis conseruatus. Si perfoderint ad inferum, inde manus mea extrahet eos. Si ascenderint in coelum, inde deducam eos. Si absconditi fuerint in uertice Carmeli, inde scrutabor, & accipiam eos. Si mersi fuerint ex oculis meis in fundamenta maris, ibi

mandabo draconi, & mordebit eos. Et si abierint in captiuitate ante faciem inimicorum suorum, ibi mandabo gladio, & occidet eos. Et ponam oculos meos super eos in mala, et non in bona. Et dominus deus omnipotens qui tangit terram, et commouens eam, & lugebunt omnes habitantes eam, & ascendet quasi fluuius consummatio eius, ac descendet quasi fluuius Ægypti. Qui ædificat in cœlis ascensum eius, & promissionem eius in terra fundans, qui uocat aquam maris, & effundit eam in faciem terræ, dominus omnipotens nomen illi. Nonne ut filij Æthiopum, mihi erit domus Israel, dicit dominus. Non'ne Israel eduxi ex Ægypto, & alienigenas ex Cappadocia, & Syros ex fouea? Ecce oculi domini contra regnum sceleratorum, quod auferam a facie terræ. ueruntamen non ad finem auferam domum Iacob, dicit dominus. Quia ecce ego mando, & uentilabo in omnibus gentibus domum Israel, perinde ac si uentilaretur in uetilabro, nec cadet contritio in terram. Gladio morientur omnes peccatores populi mei,

ἐντελοῦμαι τῷ δράκοντι, καὶ δήξεται αὐτούς. καὶ ἐὰν πορευθῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντελοῦμαι τῇ ῥομφαίᾳ, καὶ ἀποκτενεῖ αὐτούς. καὶ θήσω ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς κακά, καὶ οὐκ εἰς ἀγαθά. καὶ κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ὁ ἐφαπτόμενος τῆς γῆς, καὶ σαλεύων αὐτήν, καὶ πενθήσουσι πάντες οἱ κατοικοῦντες αὐτήν, καὶ ἀναβήσεται ὡς ποταμὸς συντέλεια αὐτῆς, καὶ καταβήσεται ὡς ποταμὸς αἰγύπτου. ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγγελίαν αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, κύριος παντοκράτωρ ὄνομα αὐτῷ. οὐχ ὡς υἱοὶ αἰθιόπων ὑμεῖς ἐστὲ ἐμοὶ ἰσραήλ, λέγει κύριος. οὐ τὸν ἰσραὴλ ἀνήγαγον ἐκ γῆς αἰγύπτου, καὶ τοὺς ἀλλοφύλους ἐκ καππαδοκίας, καὶ τοὺς σύρους ἐκ βόθρου; ἰδοὺ οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρτωλῶν, καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς. πλὴν ὅτι οὐκ εἰς τέλος ἐξαρῶ τὸν οἶκον ἰακώβ, λέγει κύριος. διότι ἰδοὺ ἐγὼ ἐντέλλομαι, καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον ἰσραήλ, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν. ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ λαοῦ

μου,

μου, οἱ λέγοντες, οὐ μὴ ἐγγίσῃ, οὐδὲ μὴ ἔλθῃ ἐφ᾽ ὑμᾶς τὰ κακά. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀναστήσω. καὶ ἀνοικοδομήσω αὐτὴν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων. καὶ πάντα τὰ ἔθνη ἐφ᾽ οὓς ἐπικέκληται τὸ ὄνομά μου, λέγει κύριος ὁ ποιῶν πάντα ταῦτα. ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ καταλήψεται ὁ ἀλοητὸς τὸν τρυγητὸν, καὶ περκάσει ἡ σταφυλὴ ἐν τῷ σπόρῳ, καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ πάντες οἱ βουνοὶ σύμφυτοι ἔσονται. καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἰσραὴλ, καὶ οἰκοδομήσουσι πόλεις τὰς ἠφανισμένας, καὶ κατοικήσουσι. καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ πίονται τὸν οἶνον αὐτῶν. καὶ ποιήσουσι κήπους, καὶ φάγονται τὸν καρπὸν αὐτῶν. καὶ καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῶν, καὶ οὐ μὴ ἐκσπασθῶσιν οὐκ ἔτι ἀπὸ τῆς γῆς αὐτῶν, ἧς ἔδωκα αὐτοῖς, λέγει κύριος ὁ θεὸς παντοκράτωρ.

mei, dicentes, Nequaquã propinquent, neque ueniant in uos mala. In die illo erigam tabernaculum Dauid, quod cecidit. Eáq; restaurabo, quæ ceciderunt ex eis, & euersa eorum restituã. Et ædificabo eum, ut dies æternitatis, ut requirant me superstites ex hominibus, omnesq; gentes in quibus inuocatum est nomen meum, dicit dominus, faciens hæc. Ecce dies ueniunt, dicit dominus, Et comprehendet tritura uindemiam, & maturescet uua in semine, & stillabunt montes dulcedinem, & omnes colles ad satus accipiendos apti erunt. Et conuertam capti-
uitatem populi mei mei I- Ioel. 3
srael, & ædificabunt ciuitates euersas, & habitabunt, & plantabunt uineas, & bibent uinum eorũ, & facient hortos, & comedent fructum eorum. Et plantabo eos in terra eorum, nec euellentur ultra ex terra sua, quam dedi eis, dicit dominus deus omnipotens.

Caput I Visio Abdiæ. Hæc dicit dominus deus Idumeæ. Rumorē audiui à domino, & munitionem emisit in gentes. surgite, & consurgamus contra eam in prælium. Ecce paruulum dedi te in gentibus, inhonoratus tu ualde, superbia cordis tui extulit te, habitantem in foraminibus petrarum, in altū erigentem habitaculū tuum, dicentē in corde tuo, quis me deducet in terrā? Si prouectus in altum fueris ut aquila, & inter sydera construxeris nidum tuum, inde detraham te, dicit dominus. Si fures intro
Hiere.49 issent ad te, uel latrones nocte, ubi proiectus esses, nōne furati essent ea quæ sibi sufficerent? Et si uindemiatores introissent ad te, nonne reliquissent racemum? Quomodo inuestigatus est Esau, & deprehensa sunt eius abscōdita? Vsq; ad terminos emiserunt te. Oēs uiri cōfœderationis tuæ restiterūt tibi, posuerūt aduersum te uiri pacifici tui, posuerunt insidias subter te. Nulla est sapiētia in eis. Illo die, dicit dñs, perdā sapientes ex Idumæa, & intelligentiā è monte Esau. Et pauebūt pugnatores tui è Theman, ut auferatur homo

ex

Ὅρασις Ἀβδιοῦ, τάδε λέγει κύριος ὁ θεὸς τῇ ἰδουμαίᾳ. ἀκοὴν ἤκουσα παρὰ κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν. ἀνάστητε, καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς ἔθνεσιν, ἠτιμωμένος σὺ σφόδρα, ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε, κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν, ὑψῶν κατοικίαν αὐτοῦ, λέγων ἐν καρδίᾳ αὐτοῦ, τίς κατάξει με ἐπὶ τὴν γῆν; ἐὰν μετεωρισθῇς ὡς ἀετὸς, καὶ ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει κύριος. εἰ κλέπται εἰσῆλθον πρός με, ἢ λῃσταὶ νυκτὸς, ποῦ ἂν ἀπερρίφης; οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ αὐτοῖς; καὶ εἰ τρυγηταὶ ἦλθον πρός σε, οὐκ ἂν ὑπελείποντο ἐπιφυλλίδα; πῶς ἐξηρευνήθη Ἡσαῦ, καὶ κατελήφθη τὰ κεκρυμμένα αὐτοῦ; ἕως τῶν ὁρίων ἐξαπέστειλάν σε. πάντες οἱ ἄνδρες τῆς διαθήκης σου ἀντέστησάν σοι, ἠδυνάσθησαν πρὸς σε ἄνδρες εἰρηνικοί σοι, ἔθηκαν ἔνεδρα ὑποκάτω σου. οὐκ ἔστι σύνεσις ἐν αὐτῷ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς ἰδουμαίας, καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ. καὶ πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος

ἐξ

ἐξ ὄρους ἡσαῦ, διὰ τὴν σφαγὴν, καὶ
τὴν ἀσέβειαν κατ᾽ ἀδελφοῦ σου ἰα-
κώβ. καλύψει σε αἰσχύνη, καὶ ἐξαρ-
θήσῃ εἰς τὸν αἰῶνα. ἀφ᾽ ἧς ἡμέρας
ἀντέστης ἐξεναντίας ἐν ἡμέρᾳ αἰχ-
μαλωτευόντων ἀλλογενῶν δύνα-
μιν αὐτοῦ, καὶ ἀλλότριοι εἰσῆλθον
εἰς πύλας αὐτοῦ, καὶ ἐπὶ ἰερουσαλὴμ
ἔβαλον κλήρους, καὶ ὑμεῖς ἦτε ὡς εἷς
ἐξ αὐτῶν. καὶ μὴ ἐπίδῃς ἡμέραν ἀ-
δελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων, καὶ
μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς ἰούδα ἐν ἡ-
μέρᾳ ἀπωλείας αὐτῶν, καὶ μὴ μεγα-
λοῤῥημονήσῃς ἐν ἡμέρᾳ θλίψεως,
μὴ δὲ εἰσέλθῃς εἰς πύλας λαῶν, ἐν
ἡμέρᾳ πόνων αὐτῶν. καὶ μὴ ἐπί-
δῃς καί σὺ τὴν συναγωγὴν αὐτῶν
ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν. καὶ μὴ συν-
επιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡ-
μέρᾳ ἀπωλείας αὐτῶν, μηδὲ ἐπι-
στῇς ἐπὶ τὰς ἐκβολὰς αὐτῶν ἐξολο-
θρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν.
μηδὲ συγκλείσῃς τοὺς φεύγοντας ἐξ
αὐτῶν ἐν ἡμέρᾳ θλίψεως, διότι ἐγ-
γὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθ-
νη. ὃν τρόπον ἐποίησας, οὕτως ἔσται
σοί. τὸ ἀνταπόδομά σου ἀνταποδο-
θήσεται ἐπὶ τὴν κεφαλήν σου. διότι
ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅ-
γιόν μου, πίονται πάντα τὰ ἔθνη οἶ-
νον, πίονται, καὶ καταπίονται, καὶ ἔ-
σονται καθὼς οὐχ ὑπάρχοντες. ἐν τῷ
ὄρει σιὼν ἔσται ἡ σωτηρία, καὶ ἔσται
ἅγιον. καὶ κατακληρονομήσουσιν ὁ
οἶκος

ex monte Esau, propter interfectionem & impietatem aduersus fratrem tuũ Iacob. teget te ignominia, tolleris'q; in ęternũ. A quo die restitisti ex adὐ'sa parte captiuũ ducentiũ alienĩ genarũ exercitum eius, & alieni ingressi sunt in portas eius, & super Hierusalem miserunt sortes, & uos eratis quasi unus ex eis. Ne despicias diem fratris tui in die alienorum, neq; lęteris de filiis Iuda in die interitus eorum, neq; magna loquaris in die angustię eorum, neq; ingrediaris in portas populorum in die laborũ eorum. Neque despicias & tu cõgregationem eorum in die interitus eorum, neq; simul aggrediaris exercitum eorum, eo die quo peribunt, neq; stabis in egressibus eorum, ad perdendum eos qui saluãtur ex eis. Neq; concludes fugientes ex eis in die afflictionis, quandoquidem prope est dies dñi super omnes gẽtes. Ut fecisti, sic fiet tibi. Retributio tua reddetur in caput tuum. Nam quemadmodum bibisti in monte sancto meo, sic bibent omnes gentes uinum, bibent, & absorbebuntur, eruntque quasi nunquam fuissent. At in monte Sion erit salus, & erit sanctũ. Et sortito posidebunt domus

domus Iacob eos qui pos-
sederunt ipsam. Eritque do
mus Iacob ignis, & dom⁹
Ioseph flamma, at domus
Esau stipula, & succeden-
tur per illum, & hos deuo
rabūt, nec relinquetur fru-
gifer domui Esau, quia do
minus locutus est. Et pos-
sidebunt ij qui in Nageb
montem Esau, ij uero qui
in Sephela, alienigenas.
Et possidebunt montem
Ephraim, & campum Sa
mariæ & Beniamin &
Galaaditin. Ac migratio-
nis principium istud filiis
Israel terra Chananæorū
usque ad Sarephtha, & mi-
gratio Hierusalem usque ad
Apharat, et possidebūt ur
bes Nageb. Et ascendent
salui ex monte Sion, ut pu
niant montem Esau, eritque
domino regnum.

οἶκος ἰακὼβ τοὺς κατακληρονομή-
σαντας αὐτούς. καὶ ἔσται ὁ οἶκος ἰα-
κὼβ πῦρ, καὶ ὁ οἶκος ἰωσὴφ φλὸξ, ὁ δὲ
οἶκος ἡσαῦ εἰς καλάμην, καὶ ἐκκαυθή-
σονται εἰς αὐτοὺς, καὶ καταφάγονται αὐ-
τοὺς, καὶ οὐκ ἔσται πυροφόρος τῷ οἴκῳ
ἡσαῦ, ὅτι κύριος ἐλάλησε. καὶ κατα-
κληρονομήσουσιν οἱ ἐν ναγὲβ τὸ ὄρος
τὸ ἡσαῦ, καὶ οἱ ἐν τῇ σεφηλὰ τοὺς ἀλ-
λοφύλους. καὶ κατακληρονομήσουσι τὸ
ὄρος τὸ ἐφραὶμ, καὶ τὸ πεδίον σαμα-
ρείας, καὶ βενιαμὶν καὶ τὴν γαλαα-
δῖτιν. καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕ-
τη τοῖς υἱοῖς ἰσραὴλ, γῆ τῶν χαναναί-
ων ἕως σαρεφθῶν. καὶ ἡ μετοικεσία ἱε-
ρουσαλὴμ ἕως ἀφαραθ, καὶ κληρονο-
μήσουσι τὰς πόλεις τοῦ ναγὲβ. καὶ ἀνα-
βήσονται ἀνασωζόμενοι ἐξ ὄρους σιὼν
τοῦ ἐκδικῆσαι ὄρος τὸ ἡσαῦ, καὶ ἔσται
τῷ κυρίῳ ἡ βασιλεία.

I O N A S.

Caput I



ET factus est
sermo domi
ni ad Ionam
filium Ama
thi, dicens,
Surge, et uade in Nineui,
ciuitatem magnam, & præ
dica in ea, quia ascendit
clamor malitiæ eius ad
me. Et surrexit Ionas, ut
fugeret in Tharsis à facie
dñi, & descēdit in Ioppē.
Et inuenit nauē euntem in
Tharsis, et dedi naulū suū,
&



ΚΑὶ ἐγένετο λόγος
κυρίου πρὸς ἰωνᾶν
τὸν τοῦ ἀμαθὶ, λέ-
γων, Ἀνάστηθι, καὶ πο-
ρεύθητι εἰς νινευὴ,
τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον
ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κα-
κίας αὐτῆς πρός με. καὶ ἀνέστη ἰω-
νᾶς τοῦ φυγεῖν εἰς θαρσεῖς ἐκ προ-
σώπου κυρίου, καὶ κατέβη εἰς ἰόπ-
πην. καὶ εὗρε πλοῖον βαδίζον εἰς θαρ-
σεῖς, καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ
καὶ

καὶ ἀνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς θαρσεῖς ἐκ προσώπου κυρίου. καὶ κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν. καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. καὶ ἐφοβήθησαν οἱ ναυτικοί, καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν, τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδε, καὶ ἔῤῥεγχε. καὶ ἦλθε πρὸς αὐτὸν ὁ πρωρεύς, καὶ εἶπεν αὐτῷ, τί σὺ ῥέγχεις; ἀνάστηθι, καὶ ἐπικαλοῦ τὸν θεόν σου, ὅπως διασώσῃ ὁ θεὸς ἡμᾶς, καὶ οὐ μὴ ἀπολλώμεθα. καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, Δεῦτε βάλλωμεν κλήρους, καὶ ἐπιγνῶμεν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐφ' ἡμᾶς. καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ἰωνᾶν. καὶ εἶπον πρὸς αὐτὸν, ἀπάγγειλον δὴ ἡμῖν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐν ἡμῖν; τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ; καὶ ποῦ πορεύῃ; καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; καὶ εἶπε πρὸς αὐτοὺς, δοῦλος κυρίου εἰμὶ ἐγὼ, καὶ κύριον τὸν θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν, καὶ εἶπον πρὸς αὐτὸν, τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ

προσ-

& ascendit in eam, ut nauigaret cum eis in Tharsis a facie domini. Et dominus excitauit uentum uehementem in mare. Et facta est tempestas magna in mari, & periculum erat ne nauis dissolueretur. Timuerunt ergo nautæ, ac clamabat quisque ad deum suum, iacturamque fecerunt uasorum quæ erant in naui in mari, ut leuaretur ipsa. Ionas autem descendit ad concauum nauis, & dormiebat, & stertebat. Et accessit ad eum proræ dux, qui dixit illi, Quid tu stertis? Surge, inuoca deum tuum, ut saluet deus nos, ne pereamus. Et dixit unusquisque ad proximum suum, Venite, mittamus sortes, & sciamus cuius causa malum hoc obtigit nobis. Et miserunt sortes, & cecidit sors super Ionam. Et dixerunt ad eum, Indica nobis, cuius causa malum hoc obtingat nobis? quod tuum opus est? & unde uenis? Et quo proficisceris? Et ex qua regione, & ex quo populo tu es? Et dixit ad eos, Seruus domini ego sum, & deum cœli & terræ ego colo, qui fecit mare & aridam. Et timuerunt uiri timore magno, & dixerunt ad eum, Quid hoc fecisti? Quia cognouerunt uiri, quod è

conspectu

conspectu domini erat fu-
giens, quia renunciauit e-
is. Et dixerunt ad eum,
quid tibi faciemus, ut qui
escat mare à nobis. Quia
mare ibat, & excitabat
maiorē tempestatē. Et di-
xit Ionas ad eos. Tollite
me, et immittite in mare, et
quiescet mare à uobis. Ete-
nim noui, propter me tem
pestatem hanc magnam
contra uos esse. Porro co-
nabantur uiri reuerti ad
terram, nec potuerūt, quia
mare ibat, & insurgebat
magis contra eos. Et cla
mauerunt a dominum, &
dixerūt. Nequaquam, do-
mine, pereamus propter
animam hominis huius,
neq; uindices in nobis san
guinem innocentem, quia
tu domine, sicut uoluisti,
fecisti. Et tulerunt Ionam,
et immiserunt eū in mare.
Et stetit mare à cōmotio
ne sua. Affectiq; sunt uiri
timore domini magno, et
immolauerunt hostias do
mino, uotaq; nuncuparūt.

Cap. II Et pręcepit dominus ce
to magno, & deuorauit
Ionam. Et fuit Ionas in
uentre ceti tribus diebus
& tribus noctibus. Et ora
uit Ionas ad dominum de
um suum de uentre ceti, &
dixit, Clamaui in afflictio
ne mea ad dominū deum
meum, & exaudiuit me.
Ex uentre clamorē meum
audisti

προσώπου κυρίου ἦν φεύγων, ὅτι ἀπήγ-
γειλεν αὐτοῖς. καὶ εἶπον πρὸς αὐτὸν,
τί ποιήσομέν σοι, καὶ κοπάσει ἡ θά-
λασσα ἀφ᾽ ὑμῶν; ὅτι ἡ θάλασσα ἐ-
πορεύετο, καὶ ἐξήγειρε μᾶλλον κλύδω-
να. καὶ εἶπεν ἰωνᾶς πρὸς αὐτοὺς, ἄ-
ρατέ με, καὶ ἐμβάλετε εἰς τὴν θά-
λασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ᾽
ὑμῶν. διότι ἔγνωκα ἐγὼ, ὅτι δι᾽ ἐ-
μὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ᾽ ὑ-
μᾶς ἐστι. καὶ παρεβιάζοντο οἱ ἄνδρες
τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν, καὶ οὐκ
ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύε-
το, καὶ ἐξηγείρετο μᾶλλον ἐπ᾽ αὐ-
τούς. καὶ ἀνεβόησαν πρὸς κύριον, καὶ
εἶπαν, μηδαμῶς κύριε μὴ ἀπολώμε-
θα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τού-
του, καὶ μὴ δῷς ἐφ᾽ ὑμᾶς αἷμα δί-
καιον, διότι σὺ κύριε, ὃν τρόπον ἐβού-
λου, πεποίηκας. καὶ ἔλαβον τὸν ἰωνᾶν,
καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασ-
σαν, καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐ-
τῆς. καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ
μεγάλῳ τὸν κύριον, καὶ ἔθυσαν θυσίαν
τῷ κυρίῳ, καὶ ηὔξαντο τὰς εὐχάς.

Καὶ προσέταξε κύριος κήτει με-
γάλῳ καταπιεῖν τὸν ἰωνᾶν. καὶ ἦν
ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς
ἡμέρας καὶ τρεῖς νύκτας. καὶ προση-
ύξατο ἰωνᾶς πρὸς κύριον τὸν θεὸν
αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους. καὶ
εἶπον, ἐβόησα ἐν θλίψει μου πρὸς
κύριον τὸν θεόν μου, καὶ εἰσήκουσέ
μου. ἐκ κοιλίας ᾅδου κραυγῆς μου
ἤκου

ἤκουσας, φωνῆς μου. ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με, πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμοὶ διῆλθον. καὶ ἐγὼ εἶπα, ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου. ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου; περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρός σε κύριε, ὁ θεός μου. ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρός σε ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου. φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτῶν ἐγκατέλιπον. ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοί, ὅσα ηὐξάμην ἀποδώσω σοὶ εἰς σωτηρίαν μοι τῷ κυρίῳ. καὶ προσετάγη ἀπὸ κυρίου τῷ κήτει, καὶ ἐξέβαλε τὸν ἰωνᾶν ἐπὶ τὴν ξηράν.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἰωνᾶν ἐκ δευτέρου, λέγων, Ανάστηθι, καὶ πορεύου εἰς νινευὶ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρός σε. καὶ ἀνέστη ἰωνᾶς, καὶ ἐπορεύθη εἰς νινευὶ, καθὰ ἐλάλησε κύριος. ἡ δὲ νινευὶ ἦν πόλις μεγάλη τῷ θεῷ, ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. καὶ ἤρξατο ἰωνᾶς

audisti, uocem meam. Proiecisti me in profundum cordis maris, & flumina circumdederunt me, sublimitates tuæ, & fluctus tui super me transierunt. Et dixi, Abiectus sum ex oculis tuis, profecto pergā uidere ad templū sanctum tuum. Circumfusa est mihi aqua usq; ad animam, abyssus circumdedit me extrema, intrauit caput meum in scissuras montiū, descendi in terram, cuius uectes sunt retinacula sempiterna. Et ascendat ab interitu uita mea ad te domine, deus meus. Cum deficeret à me anima mea, domini recordatus sum, ergo ueniat ad te oratio mea ad templum sanctum tuum. qui obseruāt uana & mendacia misericordiam sui reliquerunt. Ego autē cum uoce laudis & confessionis immolabo tibi, quæcūq; uoui, reddam tibi ad salutē meam dño. Cū aūt præceptum esset à dño ceto, eiecit Ionā in aridam.

Cap. III

Et factus est sermo dñi ad Ionā iterū, dicens, Surge, & uade in Nineui ciuitatē magnam, & prædica in ea iuxta prædicationem priorē, de qua ego locutus sum ad te. Et surrexit Ionas & abit in Nineui, sicut loquutus est dominus. At Nineui ciuitas erat magna deo, quasi itinere dierum trium. Et cœpit

Ionas ingredi in ciuitatẽ,
quasi itinere diei unius, &
Matth.12 prædicauit, & dixit, Sunt
Luc.11 adhuc tres dies, & Nine-
ui subuertetur. Et credi-
derunt uiri Nineui deo,
ac indixerunt ieiunium,
& uestiti sunt saccis à ma
gno eorum usq; ad paruũ
eorum. Peruenitq; sermo
ad regem Nineui, & sur-
rexit de throno suo, & ab
stulit stolam suam à seip-
so, & indutus est sacco, &
sedit in cinere. Propterea
proclamatum est in Nine
ui à rege, & ab omnibus
magnatibus eius, dicenti-
bus, Homines et iumenta,
& boues & oues nihil gu
stent, neq; pascantur, neq;
aquam bibant. Et operti
sunt saccis homines & iu-
menta, & clamauerunt ad
Ioel.2 deum uehementer. Atque
etiã reuersus est unusquis-
que à uia sua mala, & ini-
quitate quæ fuit in mani-
bus eorum, dicentes, Quis
nouit utrum conuertat se
deus, & exoretur, ac re-
uertatur ab ira furoris sui,
ne pereamus? Et uidit de-
us opera eorum, quod re-
uersi essent à uiis suis ma-
lis, pœnituitq; deum mali
de quo dixerat eos affectu
rus, nec fecit.

Cap.IIII Et tristatus est Io-
nas tristitia magna, &
confusus est, & orauit
ad

ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πό-
λιν, ὡσεὶ πορείας ἡμέρας μιᾶς. καὶ
ἐκήρυξε, καὶ εἶπεν, ἔτι τρεῖς ἡμέραι,
καὶ νινευὶ καταστραφήσεται. καὶ ἐνε-
πίστευσαν οἱ ἄνδρες νινευὶ τῷ θεῷ, καὶ
ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο
σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μι-
κροῦ αὐτῶν. καὶ ἤγγισεν ὁ λόγος πρὸς
τὸν βασιλέα νινευί, καὶ ἐξανέστη ἀ-
πὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλετο
τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ πε-
ριεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ
σποδοῦ. καὶ ἐκηρύχθη, καὶ ἐρρέθη
ἐν τῇ νινευὶ παρὰ τοῦ βασιλέως,
καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λε-
γόντων, οἱ ἄνθρωποι καὶ τὰ κτή-
νη, καὶ οἱ βόες, καὶ τὰ πρόβατα μὴ
γευσάσθωσαν, μηδὲ νεμέσθωσαν,
καὶ ὕδωρ μὴ πιέτωσαν. καὶ περι-
εβάλλοντο σάκκους οἱ ἄνθρωποι καὶ
τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν θεὸν
ἐκτενῶς. καὶ ἀπέστρεψαν ἕκαστος ἀ-
πὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ
ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν,
λέγοντες, τίς οἶδεν, εἰ ἐπιστρέψει ὁ
θεὸς, καὶ παρακληθήσεται, καὶ ἀπο-
στρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ
ἀπολώμεθα. καὶ εἶδεν ὁ θεὸς τὰ ἔρ-
γα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁ-
δῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόη-
σεν ὁ θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε
τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε.

Καὶ ἐλυπήθη ἰωνᾶς λύπην με-
γάλην, καὶ συνεχύθη, καὶ προσεύξατο
πρὸς

πρὸς κύριον, καὶ εἶπεν, ὦ δὴ κύριε,
οὐχ οὗτοι λόγοι μου, ἔτι ὄντος μου ἐν
τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ
φυγεῖν εἰς θαρσεῖς, διότι ἔγνων ὅτι
ὁ θεὸς ἐλεήμων καὶ οἰκτίρμων, μακ-
ρόθυμος καὶ πολυέλεος, καὶ μετανο-
ῶν ἐπὶ ταῖς κακίαις. καὶ νῦν δέσπο-
τα κύριε λαβὲ τὴν ψυχήν μου ἀπ' ἐ-
μοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με ἢ
ζῆν. καὶ εἶπε κύριος, σφόδρα λελύ-
πησαι σύ; καὶ ἐξῆλθεν ἰωνᾶς ἐκ τῆς
πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς
πόλεως. καὶ ἐποίησεν αὑτῷ ἐκεῖ σκη-
νὴν, καὶ ἐκάθητο ὑποκάτω αὐτῆς,
ἕως οὗ ἐπίδῃ, τί ἔσται τῇ πόλει. καὶ
προσέταξε κύριος ὁ θεὸς κολοκύν-
θῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς ἰωνᾶ,
τοῦ εἶναι σκιὰν ὑπὲρ ἄνω τῆς κεφα-
λῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν
κακῶν αὐτοῦ. καὶ ἐχάρη ἰωνᾶς ἐπὶ
τῇ κολοκύνθῃ χαρὰν μεγάλην. καὶ
προσέταξεν ὁ θεὸς σκώληκι ἑωθινῇ
τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολο-
κύνθην, καὶ ἐξηράνθη. καὶ ἐγένετο ἅμα
τῷ ἀνατεῖλαι τὸν ἥλιον, καὶ προσέ-
ταξεν ὁ θεὸς πνεύματι καύσωνι συγ-
καίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἤδη
τὴν κεφαλὴν ἰωνᾶ, καὶ ὠλιγοψύχει.
καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ
εἶπε, καλόν μοι τὸ ἀποθανεῖν, ἢ ζῆν
με. καὶ εἶπε κύριος ὁ θεὸς πρὸς ἰω-
νᾶν, σφόδρα λελύπησαι σὺ ἤδη τῇ
κολοκύνθῃ; καὶ εἶπε, σφόδρα λελύ-
πημαι ἐγὼ ἕως θανάτου. καὶ εἶπε
κύριος,

ad dominũ, & ait, O dñe,
non'ne ita sermones mei
erant, cum essem in terra
mea? Propterea anteuerti
fuga in Tharsis, quia co-
gnoui te deum esse miseri Psal. 85
cordem & miseratorem, Ioel. 2
clementem ac multæ mise 1. Reg. [illegible]
ricordiæ, denique eum quẽ
mali pœniteat. Nunc er-
go dominator dñe tolle a-
nimã meã à me. Nam pręs-
stat mori me, quàm uiuere.
Et dixit dominus ad Ionã,
Vehementer contrista-
tus es tu? Et egressus est
Ionas ex ciuitate, & sedit
contra Orientẽ. Et fecit si
bi tabernaculũ, & cõsedit
sub eo in umbra, donec ui-
deret quid accideret ciui-
tati. Et præcepit dominus
deus cucurbitæ, & ascen-
dit super caput Ionæ, ad
opacandum eum, ac de-
fendum eum à malis suis.
Est ergo lętatus Ionas pro
pter cucurbitã gaudio ma
gno. Et pręcepit deus uer
mi matutino in crastinũ,
& percussit cucurbitam
quæ exaruit. Factũ est au
tẽ cum oriretur sol, ut præ
ciperet deus spiritui ardo-
ris urẽti, feriitque sol caput
Ionæ, & paruo animo e-
rat. Et animam despõdit,
ut diceret melius mihi mo
ri, quàm uiuere. Et dixit dñs
ad Ionam, Valde'ne con-
tristatus es tu propter cu-
curbitam. Et ait, ualde
contristatus sum ego us-
que ad mortem. Et dixit
dominus,

dominus, Tu pepercisti cucurbitæ, pro qua non laborasti, neq; composuisti, neq; enutristi eã, quæ sub nocte nata est, & sub nocte periit, ego autem non parcerem Nineui ciuitati magnæ? In qua habitant plures quàm centũ uiginti millia hominum, qui nesciũt neq; dextrã suã neq; sinistrã, & iumenta multa.

κύριος, σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξεμόχθησας, οὐδὲ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο, ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ νινευὶ τῆς πόλεως τῆς μεγάλης; ἐν ᾗ κατοικοῦσιν ἐν αὐτῇ πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν, ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά.

MICHAIAS.

Cap. I Sermo domini qui factus est ad Michæam Morasthei in diebus Ioatham & Achaz, & Ezechię, regum Iuda, de quibus uidit, de Samaria & de Hierusalem. Audite populi omnes, attendat terra, & oẽs qui sunt in ea, fiatq; dominus uobis in testimonium, dominus ex domo sancta sua.

Esa. 26 Quia ecce dominus egredítur de loco suo, & descendet & ascendet super excelsa terræ, & commouebuntur montes subter eum, & ualles tabescent, sicut tabescit cera à facie ignis, & sicut aqua proflu ens in descensu. Propter impietatem Iacob omnia hæc, & propter peccatum domus Israel. Quæ impietas domus Iacob, nõ ne Samaria? Et quod

Supra 3 peccatum domus Iuda, nonne

Λόγος κυρίου, ὃς ἐγένετο πρὸς μιχαίαν τὸν τοῦ μωρασθεί, ἐν ἡμέραις ἰωάθαμ καὶ ἄχαζ καὶ ἐζεκίου, βασιλέων ἰούδα, περὶ ὧν εἶδε περὶ σαμαρείας καὶ ἱερουσαλήμ. Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ, καὶ ἔστω κύριος ὑμῖν εἰς μαρτύριον, κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. Διότι ἰδοὺ κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται, καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡσεὶ κηρὸς ἀπὸ προσώπου πυρός, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει, διὰ ἀσέβειαν ἰακὼβ πάντα ταῦτα, καὶ διὰ ἁμαρτίαν οἴκου ἰσραήλ. τίς ἡ ἀσέβεια οἴκου ἰακώβ, οὐχ ἡ σαμάρεια; καὶ τίς ἡ ἁμαρτία οἴκου

ἰούδα,

ἰούδα, οὐχ ἱερουσαλήμ; καὶ θήσομαι σα-
μάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ
εἰς φυτείαν ἀμπελῶνος, καὶ κατα-
σπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ
τὰ θεμέλια αὐτῆς ἀποκαλύψω. καὶ
πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψου-
σι, καὶ πάντα τὰ μισθώματα αὐτῆς
ἐμπρήσουσιν ἐν πυρί, καὶ πάντα τὰ
εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισ-
μόν. διότι ἐκ μισθωμάτων πορνεί-
ας συνήγαγε, καὶ ἐκ μισθωμάτων
πορνείας ἐπέστρεψε. ἕνεκεν τούτου
κόψεται καὶ θρηνήσει, πορεύσεται ἀνυ-
πόδετος, καὶ γυμνὴ ποιήσεται κοπε-
τὸν ὡς δρακόντων, καὶ πένθος ὡς
θυγατέρων σειρήνων. ὅτι κατεκρά-
τησεν ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν
ἕως ἰούδα, καὶ ἥψατο ἕως πύλης λαοῦ
μου, ἕως ἱερουσαλήμ. Οἱ ἐν γὲθ μὴ με-
γαλύνεσθε, οἱ ἐν βαχεὶμ μὴ ἀνοικο-
δομεῖτε ἐξ οἴκου κατὰ γέλωτα, γῆν
καταπάσασθε. κατὰ γέλωτα ὑμῶν
κατοικοῦσα καλῶς τὰς πόλεις αὐ-
τῆς, οὐκ ἐξῆλθε κατοικοῦσα σαιννάν,
κόψασθαι οἶκον ἐχόμενον αὐτῆς, λή-
ψεται ἐξ ὑμῶν πληγὴν ὀδύνης. τίς
ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύ-
νας; ὅτι κατέβη κακὰ παρὰ κυρίου ἐ-
πὶ πύλας ἱερουσαλήμ, ψόφος ἁρμά-
των καὶ ἱππευόντων. κατοικοῦσα λά-
χεις, ἀρχηγὸς ἁμαρτίας ἐστὶ τῇ θυγα-
τρὶ σιών, ὅτι ἐν σοὶ εὑρέθησαν ἀσέ-
βειαι τοῦ ἰσραήλ. διὰ τοῦτο δώσει
ἐξαποστελλομένους ἕως κληρονο-
μιας

non ne Hierusalem? Redi-
gam Samariam in pomo-
rum custodiam agri, & in
plantationem uineæ, &
detraham in uoraginē la-
pides eius, & fundamenta
eius patefaciā. Et cuncta
sculptilia eius euertent, &
omnes mercedes eius cō-
burent igni, & cuncta ido
la eius redigam ad interi-
tum. Quandoquidem ex
præmiis scortationis con-
gregauit, & ex mercedi-
bus meretricis destruxit.
Quamobrem planget &
lugebit ibi discalceata &
nuda, faciet planctum in-
star draconum, & luctum
quasi filiarum Sirenum.
Quia obtinuit plaga eius,
siquidem peruenit usque ad
Iudam, tetigit usque ad por-
tam populi mei usque Hie-
rusalē. Qui in Geth estis,
ne efferamini, qui in Ba-
chim, ne restauretis iuxta
ridiculum, terram euellite.
Pro ridiculo uestro, quæ
incolit bene ciuitates su-
as, non est egressa habita-
trix Senan, plorare domū
quæ est adiuncta eis, acci-
piet ex uobis plagam do-
loris. Quis cœpit in bona,
quę habitāti in doloribus?
Quia descenderūt mala à
dño ad portas Hierusalē.
sonitus curruū et eqtantiū.
Quæ habitat Lachis, au-
thor peccati est filiæ Si-
on. Etenim in te inuētæ sunt
impietates Israel. Ideo da-
bit emissos usque ad hęredi-

tatem Geth, domos uanas
frustra fuerũt regibus Hie
rusalem, donec hęredes ad
ducam tibi, habitans La-
chis hæreditas. Vsq; ad
Odollam ueniet gloria fi-
liæ Israel. Radere, & ton
dere propter filios delica-
tos tuos. dilata caluicium
tuũ sicut aquila, quoniam
captiui ducti sunt à te.

Cap. II Cognouerunt labores,
patrauerunt mala in cubili
bus suis, etiam eodem die
consummabant ea. Quo-
niam non sustulerunt ad
dñm manus suas, et deside
rabant agros, & diripie-
bant pupillos, & domos
opprimebant, & diripie-
bant uirum & domũ eius,
uirum & hæreditatẽ eius.
Propterea hæc dicit dñs,
Ecce ego cogito contra
tribum istã mala, propter
quæ neq; erigatis colla ue
stra, neq; ambuletis erecti,
quia tempus malum est.
Die illo sumetur de uobis
parabola, fietq; lamẽtatio
per canticum, sic sonans.
Miseria uexati sumus.
Pars populi dimẽsa est fu-
niculo, nec erat qui prohi
beret eum, ut auerteret.
Agri uestri diuisi sunt,
quamobrem non erit qui
mittat funiculũ in hæredi-
tate. In ecclesia dñi: ne fle-
te lachrymis, neq; plorẽt
horũ gratia. nec enim abij
ciet opprobria, qui dicit,
Domus Iacob ad iram in-
citauit spiritũ domini. An
haec

μίας γὲθ, οἴκους ματαίους, εἰς κενὸν ἐ-
γένοντο τοῖς βασιλεῦσιν ἰσραήλ,
ἕως τοὺς κληρονόμους ἀγάγω σοί. κατ-
οικοῦσα λάχις κληρονομία. ἕως ὀ-
δολλὰμ ἥξει ἡ δόξα τῆς θυγατρὸς σι-
ών. ξύρησαι, καὶ κεῖραι ἐπὶ τὰ τέκ-
να τὰ τρυφερά σου. ἐμπλάτυνον τὴν
ξύρησίν σου ὡς ἀετὸς, ὅτι ἠχμαλω-
τεύθησαν ἀπό σου.

Εγένοντο λογιζόμενοι κόπους, καὶ
ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις
αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν
αὐτά. διότι οὐκ ἦραν πρὸς τὸν θεὸν χεῖ-
ρας αὐτῶν. καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρ-
παζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνά-
στευον, καὶ διήρπαζον τὸν ἄνδρα καὶ τὸν οἶ-
κον αὐτοῦ, ἄνδρα καὶ τὴν κληρονομί-
αν αὐτοῦ. διὰ τοῦτο τάδε λέγει κύριος,
ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύ-
την κακὰ, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τρα-
χήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρ-
θοὶ, ὅτι καιρὸς πονηρός ἐστιν. ἐν τῇ ἡ-
μέρᾳ ἐκείνῃ ληφθήσεται ἐφ᾽ ὑμᾶς πα-
ραβολὴ, καὶ θρηνηθήσεται θρῆνος ἐν
μέλει, λέγων, ταλαιπωρίᾳ ἐταλαιπω-
ρήσαμεν. μερὶς λαοῦ μου κατεμετρήθη
ἐν σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύσων αὐ-
τὸν τοῦ ἀποστρέψαι. οἱ ἀγροὶ ὑμῶν
διεμερίσθησαν, διὰ τοῦτο οὐκ ἔσται σοι
βάλλων σχοινίον ἐν κλήρῳ. ἐν ἐκκλη-
σίᾳ κυρίου μὴ κλαίετε δάκρυσι. μηδὲ
δακρυέτωσαν ἐπὶ τούτοις. οὐ δὲ γὰρ
ἀπώσεται ὀνείδη, ὁ λέγων, οἶκος ἰα-
κὼβ παρώργισε πνεῦμα κυρίου. εἰ
ταῦτα

ἐκεῖνα τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστιν; οὐχὶ οἱ λόγοι αὐτοῦ καλοὶ μετ' αὐτοῦ; καὶ ὀρθοὶ πεπόρευνται, καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη. κατέναντι τῆς εἰρήνης αὐτοῦ τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδας συντριμμῶν πολέμου. διὰ τοῦτο ἡγούμενοι λαοῦ μου ἀπορριφήσονται ἐκ τῶν οἴκων τρυφῆς αὐτῶν, διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. ἐγγίσατε ὄρεσιν αἰωνίοις. ἀνάστα καὶ πορεύου, ὅτι οὐκ ἔστι σοὶ ἀνάπαυσις ἕνεκεν ἀκαθαρσίας. διεφθάρητε φθορᾷ, κατεδιώχθητε οὐδενὸς διώκοντος. πνεῦμα ἔστησε ψεῦδος, ἐστάλαξέ σοι εἰς οἶνον καὶ μέθυσμα. καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου συναγόμενος συναχθήσεται Ἰακὼβ σὺν πᾶσιν, ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ Ἰσραήλ. ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτῶν. ὡς πρόβατα ἐν θλίψει, ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτοῦ ἐξαλοῦνται ἐξ ἀνθρώπων. ἀνάβηθι διὰ τῆς διακοπῆς, πρὸ προσώπου αὐτῶν. διέκοψαν, καὶ διῆλθον πύλην, καὶ ἐξῆλθον δι' αὐτῆς. καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν, ὁ δὲ κύριος ἡγήσεται αὐτῶν.

Καὶ ἐρεῖ ταῦτα, ἀκούσατε δὴ ἀρχαὶ οἴκου Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραὴλ, οὐχ ὑμῖν ἐστι τὸ γνῶναι τὸ κρίμα; μισοῦντες τὰ καλὰ,

καὶ

hæc ſtudia eius ſunt: Nonne ſermones eius boni cũ eo? Qui recte ambulauerunt, & prius populus meus reſtitit inimicitiæ. Contra pacem eius, pellem eius excoriauerunt, ut auferant ſpes contritionum belli. Duces populi mei proijcientur de domibus deliciarum ſuarũ, propter mala ſtudia ſua eiecti ſunt. Propinquate mõtibus æternis. Surge & ambula, quia non eſt tibiipſi requies propter immundiciam. Corrupti eſtis corruptione, fugiſtis nemine perſequẽte. Spiritus ſtatuit mẽdacium, ſtillauit tibi in uinum & ebrietatem. Et erit tibi de ſtilla populi huius, congregatus congregabitur Iacob, cum omnibus, ſuſcipiens ſuſcipiam reliquos domus Iſrael, in unum collocabo auerſionem eorum. Sicut oues in afflictione, tanquã grex in medio cubilis ſui, auferent ex hominibus. Aſcẽde per diuiſionem ante faciem eorum. diuiſerunt & tranſierunt portam, & egreſsi ſunt per eam. Et exiuit rex eorũ ante faciem eorum, ſed dominus dux erit eorum.

Et dicet hæc, Audite iã principat⁹ domus Iacob, et reliqui domus Iſrael, nõne ueſtrũ eſt noſſe iudicium? Odio habẽtes pulchra Cap. III

& quęrentes mala, rapientes pelles eorum ab eis, & carnes eorum ab ossibus eorum. Quemadmodum deuorauerunt carnes populi mei, pellesq; eorum ab eis, & ossa eorum confregerunt, & diuiserunt tanquam carnes in lebetem, & sicut carnem in ollam, sic clamabunt ad dominum, nec exaudiet nos, & auertet faciem suam ab eis in tempore illo, propterea quod scelerate egerunt in studijs suis. Hæc dicit dominus de prophetis qui seducunt populum meum, qui mordent in dentibus suis, & qui prædicant ad eos pacem, cum non datum est in os eorū, consecrarunt contra eum bellum. Itaq; uox uobis erit ex uisione, & tenebrę uobis sunt ex diuinatione, & occumbet sol super prophetas, & obscurabitur super eos dies, & dedecore afficientur ij, qui uident somnia, & deridentur arioli, & insectentur maledictis isti omnes. Siquidem nemo est qui exaudiat eos, nisi ego impleuero fortitudinem in spiritu domini, & iudicium & potentiā, ut annunciē Iacob impietates suas, & Israel

Ezech. 22 peccata sua. Audite iā hęc
Soph. 3 duces domus Iacob, & reliqui

ρᾶ, πρὸς τοῦ ἐλθεῖν ἐφ' ὑμᾶς ὀργὴν κυρίου, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν ὀργῆς θυμοῦ κυρίου. ζητήσατε τὸν κύριον πάντες ταπεινοὶ γῆς. κρίμα ἐργάζεσθε, καὶ δικαιοσύνην ζητήσατε, καὶ ἀποκρίνασθε αὐτά, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς κυρίου. διότι γάζα διηρπασμένη ἔσται, καὶ ἀσκάλων εἰς ἀφανισμόν, καὶ ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ ἀκκαρὼν ἐκριζωθήσεται. οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης, πάροικοι κρητῶν. λόγος κυρίου ἐφ' ὑμᾶς χαναάν, γῆ ἀλλοφύλων, καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας. καὶ ἔσται κρήτη νομὴ ποιμνίων καὶ μάνδρα προβάτων, καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου ἰούδα, ἐπ' αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις ἀσκάλωνος, δείλης καταλύσουσιν ἀπὸ προσώπου υἱῶν ἰούδα. ὅτι ἐπέσκεπται αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν, καὶ ἐπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν. ἤκουσα ὀνειδισμοὺς μωὰβ, καὶ κονδυλισμοὺς υἱῶν ἀμμών, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου, καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅριά μου. διὰ τοῦτο ζῶ ἐγώ, λέγει κύριος τῶν δυνάμεων, ὁ θεὸς ἰσραήλ, διότι μωὰβ ὡς σόδομα ἔσται, καὶ υἱοὶ ἀμμὼν ὡς γόμορρα, καὶ δαμασκὸς ἐκλελειμμένη εἰς τὸν αἰῶνα. καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶνται αὐτοὺς, καὶ οἱ κατάλοιποι ἔθνους

μου

ut ueniat in uos ira dñi, antequam superueniat in uos dies iræ furoris dñi. Quærite dominum omnes humiles terræ. Iudicium operamini, & iustitiam quærite, & respõdete ea, ut protegamini in die iræ domini. Etenim Gaza ad direptionem redigetur, & Ascalon ad uastationem, & Azotus meridie proijcietur, & Accaron radicitus euelletur. Væ qui habitatis funiculum maris, aduenæ Cretensiũ. Sermo dñi contra te Chanan terra alienigenarum, nam perdã uos de habitatione. Fietq́; Creta pascua pastorum, et ouile ouium, obtinget aũt funiculus maris ijs, qui reliqui sunt de domo Iuda, in his pascent in domibus Ascalonis, crepusculo se subducẽt à facie filiorũ Iuda; quia inuisit eos dñs deus eius, & auertet captiuitatem eorum. Audiuit opprobrium Moab, & contumeliam filiorũ Ammon, in quibus uituperarunt populum meum, magniq́; facti sunt supra terminos meos. Propterea uiuo ego, dicit dñs exercituũ, deus Israel, Moab tanq̃ Sodoma futurum, ac filios Ammon quasi Gomorrhã, & Damascum derelictã in æternum. Porro ij, qui relicti fuerint populi mei, diripient eos, et reliqui gẽtis

meæ

meæ hæreditate assequentur eos. Hoc eueniet eis pro contumelia eorum, nam calumniati sunt, atque se extulerunt supra dominum uirtutū. Manifestus erit dominus eis, & exterminabit omnes deos gentium terræ. Et adorabunt eum singuli è loco suo. Omnes insulę gentium, & uos Æthiopes gladio meo uulnerati estis. Extēdamque manum meam ad Aquilonem, & perdā Assyrium, redigamque Nineue ad uastitatem sine aqua, tanquam desertum, & pascentur in medio eius greges, & omnes bestiæ terræ. Et chamæleones & erinacei in præsepibus eius cubabunt, & bestiæ clamabunt in foueis suis, & corui in portis eius, quia cedrus altitudo eius.

Cap.III Hæc est ciuitas contem-
Ezech.22 ptrix, quæ inhabitat in
Mich.3 spe, quę dicit in corde suo, Ego sum, nec est mecum ultra. Quomodo redacta est ad interitum pascua bestiarum! Omnis qui transit eam, sibilabit, & mouebit manus suas. Væ illustri atque redemptæ ciuitati, columbæ, non audiuit uocem tuam, neque suscepit disciplinam, neque dño est confisa, neque ad deum suū appropinquauit. Principes eius in ea sunt uelut leones rugiētes, iudices eius ut

μου κληρονομήσουσιν αὐτούς. αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν, καὶ ἐμεγαλύνθησαν ἐπὶ κύριον τὸν παντοκράτορα. ἐπιφανήσεται κύριος ἐπ' αὐτούς, ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσει αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν, καὶ ὑμεῖς αἰθίοπες τραυματίαι ῥομφαίας μου ἐστέ. καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ βοῤῥᾶ, καὶ ἀπολῶ τὸν ἀσσύριον, καὶ θήσω τὴν νινευὴ εἰς ἀφανισμὸν ἄνυδρον, ὡς ἔρημον. καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς ποίμνια, καὶ πάντα τὰ θηρία τῆς γῆς. καὶ χαμαιλέοντες καὶ ἐχῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται. καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς, διότι κέδρος τὸ ἀνάστημα αὐτοῦ.

Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς, ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμοῦ ἔτι. πῶς ἐγενήθη εἰς ἀφανισμὸν νομὴ θηρίων; πᾶς ὁ διαπορευόμενος δι' αὐτῆς συριεῖ, καὶ κινήσει τὰς χεῖρας αὐτοῦ. ὦ ἐπιφανὴς καὶ ἀπολελυτρωμένη πόλις, ἡ περιστερά, οὐκ εἰσήκουσε φωνῆς σου, οὐκ ἐδέξατο παιδείαν, ἐπὶ τῷ κυρίῳ οὐκ ἐπεποίθει, καὶ πρὸς τὸν θεὸν αὐτῆς οὐχ ἤγγισεν. οἱ ἄρχοντες ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι, οἱ κριταὶ αὐτῆς

ὡς

ὡς λύκοι τῆς ἀῤῥαβίας. οὐχ ὑπελείποντο εἰς τὸ πρωΐ οἱ προφῆται αὐτῆς πνευματοφόροι, ἄνδρες καταφρονηταί. ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια, καὶ ἀσεβοῦσιν εἰς τὸν νόμον. ὁ δὲ κύριος δίκαιος ἐν μέσῳ αὐτῆς, καὶ οὐ μὴ ποιήσῃ ἄδικον. πρωῒ πρωῒ δώσει κρίμα αὐτοῦ εἰς φῶς, καὶ οὐκ ἀπεκρύβη, καὶ οὐκ ἔγνω ἀδικίαν ἐν ἀπαιτήσει, καὶ οὐκ εἰς νεῖκος ἀδικίαν. κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν, ἐξηρήμωσα τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν, τοῦ μὴ διοδεύειν. ἐξέλιπον αἱ πόλεις αὐτῶν, διὰ τὸ μηδένα ὑπάρχειν, μηδὲ κατοικεῖν. εἶπα, πλὴν φοβεῖσθέ με, καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῇ ἐξ ὀφθαλμῶν αὐτῆς πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν. ἑτοιμάζου, ὄρθρισον, διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν. διὰ τοῦτο ὑπόμεινόν με, λέγει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον. διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς τὴν ὀργήν μου, πᾶσαν ὀργὴν θυμοῦ. διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ. ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. ἐκ περάτων ποταμῶν αἰθιοπίας προσ-

ut lupi Arabiæ. Non dimittebantur mane prophetæ eius portātes spiritum, uiri contemptores, sacerdotes eius polluunt sancta, & impie agunt in legem. At dominus iustus in medio eius, nec unquam faciet iniquitatem. Mane mane iudicium suum dabit in lucem, nec absconditus est, nec scit iniquitatem in repetitione, & non in contentionem iniustitiam. Demisi superbos, dissipati sunt anguli eorũ, destruxi uias eorũ penitus, ne transeant. Defecerunt urbes eorũ, eo q̃d nemo esset, neq; habitaret. Dixi, Saltẽ me timete, ac suscipite disciplinam, ne pereant ex oculis eius omnia ea, quibus ultus sum illam. Præparare, consurge diluculo, corruptus est omnis racemus eorũ. Propterea expecta me, dicit dominus, in diem resurrectionis meæ in testimoniũ. Nam iudicium meum in congregationes gentium, ut suscipiam reges, ut effundam super eos irã meam, omnẽ iram furoris. Etenim in igne æmulationis meæ consumetur omnis terra. Tum enim conuertam ad populos linguam in eam ætatem, ut inuocent omnes nomen dñi, ut seruiant ei sub iugo uno. Ex terminis fluminũ Æthiopiæ su-

ſcipiam in diſperſis. Ferent uictimas mihi in die illo, neq; pudefies in ullis ſtudiis tuis, quibus impie egiſti in me, quia tunc auferã à te illuſiones contumeliæ tuæ, nec ultra perges gloriari de monte ſancto meo. Et ſuſcipiam in te populũ multum & humilem, & timebunt nomen domini reliqui Iſrael, neq; facient iniquitatem, neq; loquentur uana, neq; inuenietur in ore eorũ lingua doloſa, quoniã ipſi paſcent & accubabũt, nec erit qui exterreat eos. Gaude ualde filia Sion, prædica filia Hieruſalem. Exulta & delectare ex toto corde tuo filia Hieruſalem, abſtulit dominus iniquitates tuas, redemit te de manu inimicorum tuorum rex Iſrael, Dominus in medio tui non uidebit mala ultra. In tempore illo dicet dominus Hieruſalem, Confide Sion, non diſſoluantur manus tuæ, dominus, deus tuus fortis conſeruabit te, adducet in te lætitiam, & innouabit te in charitate ſua, & lætabitur in te delectatione, die ſolennitatis, & congregabo contritos tuos. Vę, quis accepit ſuper eam cõtume liam

δέξομαι ἐν διεσπαρμένοις. οἴσουσι θυσίας μοι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν ἠσέβησας εἰς ἐμέ, ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκέτι μὴ προσθῇς, τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πολὺν καὶ ταπεινόν, καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου οἱ κατάλοιποι τοῦ ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία, διότι αὐτοὶ νεμήσονται, καὶ κοιταθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. Χαῖρε σφόδρα θύγατερ σιὼν, κήρυσσε θύγατερ ἱερουσαλήμ. εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ ἱερουσαλήμ, περιεῖλε κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου βασιλεὺς ἰσραὴλ, κύριος, ἐν μέσῳ σου οὐκ ὄψεται κακὰ, οὐκ ἔτι. ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ ἱερουσαλὴμ, θάρσει σιὼν, μὴ παρείσθωσαν αἱ χεῖρές σου, κύριος ὁ θεὸς ἐν σοὶ δυνατὸς σώσει σε, ἐπάξει ἐπί σε εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ. καὶ εὐφρανθήσεταί ἐπὶ σοὶ ἐν τέρψει ἐν ἡμέρᾳ ἑορτῆς, καὶ συνάξω τοὺς συντετριμμένους σου. οὐαὶ τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν;

…ισμένην· ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ, ἕνεκέν σου ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει κύριος, καὶ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ θήσομαι αὐτοὺς εἰς καύχημα, καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ. καὶ οὐ μὴ καταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ὅταν εἰσδέξωμαι ὑμᾶς. διότι δώσω ὑμᾶς ὀνομαστοὺς, καὶ εἰς καύχημα ἐν πᾶσι τοῖς λαοῖς τῆς γῆς, ἐν τῷ ἐπιστρέφειν με ἐνώπιον ὑμῶν, λέγει κύριος, τὴν αἰχμαλωσίαν ὑμῶν.

liam! Ecce ego facio in te, propter te, in tempore illo. & saluabo afflictam, & repulsam suscipiam, & collocabo eos in gloriam, & claros in omni terra. Nec pudefient tempore illo, quando bene uobis fecero, & tempore eo, quo suscepero uos. Quia efficiã uos claros, & in gloriã in cunctis populis terrę, tum cum conuertero, inquit dominus, coram uobis captiuitatem uestram.

AGGAIVS.


Ν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου βασιλέως, ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου λέγων, εἶπον πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ, ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν, λέγων, τάδε λέγει κύριος παντοκράτωρ λέγων, ὁ λαὸς οὗτος λέγουσιν, οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου. καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων, εἰ καιρὸς ὑμῖν μέν ἐστι, τοῦ οἰκοδομεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις, ὁ δὲ οἶκος μου οὗτος ἐξηρήμωται; καὶ νῦν τάδε

λέγει


N secũdo anno sub Dario rege, in mense sexto, primo mẽsis, factus est sermo domini in manu Aggæi prophetæ, dicens, Dic ad Zorobabel filium Salathiel de tribu Iuda, & ad Iesum filium Iosedec, sacerdotem magnum, dicens. Hæc dicit dominus deus omnipotens, dicẽs, Populus iste ait, non uenit tẽpus ædificandi domum domini. Et factus est sermo domini in manu Aggæi prophetæ dicens, An tempus uobis est, ut habitetis in domibus uestris laqueatis, domus autem ista deserta est? Et nunc hæc Caput I

dicit

Deu. 28 dicit dominus omnipotēs,
Michææ 6 Ponite corda uestra in uias uestras. Seminastis multa, & intulistis pauca. comedistis, & non ad saturitatem. bibistis, & non ad ebrietatem. operti estis, & non estis calefacti in ipsis. Et qui mercedes congregat, congregauit in uas pertusum. Hæc dicit dominus omnipotens, Ponite iam corda uestra in uias uestras. Ascendite in montem, & incidite ligna, & ædificate domum, id quod placebit mihi, & gloria afficiar, dixit dominus. Respexistis in multa, & facta sunt pauca. Et intulistis in domum, & efflaui illa. Quamobrem dicit dominus omnipotens, Quoniam domus mea deserta est, uos autem festinatis singuli in domum suam, propterea abstinebit cœlum à rore, & terra negabit reddere fructus suos. Et inducā gladium super terram & super montes, & super triticum, & super uinum, & super oleum, & super homines, & super iumenta, & super omnes labores manuum eorum. Et audiuit Zorobabel filius Salathiel, & Iesus filius Iosedec sacerdos magnus, & omnes reliqui populi uocem domini dei sui, & uerba Aggæi uatis, sicut

λέγει κύριος παντοκράτωρ, τάξατε καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. ἐσπείρατε πολλά, καὶ εἰσηνέγκατε ὀλίγα. ἐφάγετε, καὶ οὐκ εἰς πλησμονήν. ἐπίετε, καὶ οὐκ εἰς μέθην. περιεβάλεσθε, καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς. καὶ ὁ τοὺς μισθοὺς συνάγων, συνήγαγεν εἰς ἀποδεσμὸν τετρυπημένον. τάδε λέγει κύριος παντοκράτωρ, θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. ἀνάβητε ἐπὶ τὸ ὄρος, καὶ κόψατε ξύλα, καὶ εἰσοίσετε, καὶ οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ, καὶ ἐνδοξασθήσομαι, εἶπε κύριος. ἐπεβλέψατε εἰς πολλά, καὶ ἐγένετο ὀλίγα, καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. διὰ τοῦτο τάδε λέγει κύριος παντοκράτωρ, ἀνθ' ὧν ὁ οἶκός μου ἐστὶν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ ὑποστελεῖται δοῦναι τὰ ἐκφόρια αὐτῆς. καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον, καὶ ὅσα ἐκφέρει ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν. Καὶ ἤκουσε Ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ ἐκ φυλῆς ἰούδα, καὶ ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ, ἱερεὺς ὁ μέγας, καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ, τῆς φωνῆς κυρίου τοῦ θεοῦ αὐτῶν, καὶ τῶν λόγων τοῦ ἀγγαίου τοῦ προφήτου,

καθό

καθότι ἀπέστειλεν αὐτὸν κύριος ὁ θεὸς αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου κυρίου. καὶ εἶπεν ἀγγαῖος, ὁ ἄγγελος κυρίου, ἐν ἀγγέλοις κυρίου τῷ λαῷ, ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει κύριος. καὶ ἐξήγειρε κύριος τὸ πνεῦμα ζοροβάβελ τοῦ σαλαθιὴλ, ἐκ φυλῆς ἰούδα, καὶ τὸ πνεῦμα ἰησοῦ τοῦ ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου, καὶ τὸ πνεῦμα τῶν καταλοίπων τοῦ λαοῦ, καὶ εἰσῆλθον, καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος θεοῦ αὐτῶν.

Τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου, τῷ δευτέρῳ ἔτει ἐπὶ δαρείου τοῦ βασιλέως, τῷ ἑβδόμῳ μηνὶ, μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς, καὶ ἐλάλησε κύριος ἐν χειρὶ ἀγγαίου τοῦ προφήτου, λέγων, εἰπὸν δὴ πρὸς ζοροβάβελ τὸν τοῦ σαλαθιὴλ, ἐκ φυλῆς ἰούδα, καὶ πρὸς ἰησοῦν τοῦ ἰωσεδὲκ τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, λέγων, τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; καὶ πῶς ὑμᾶς βλέπετε αὐτὸν νῦν, καθὼς ὑπάρχει ἐνώπιον ὑμῶν; καὶ νῦν κατίσχυε ζοροβάβελ, λέγει κύριος. καὶ κατίσχυε ἰησοῦ, ὁ τοῦ ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει κύριος, καὶ ποιεῖτε, διότι ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει

κύριος

sicut cū ablegauit eum dominus deus eorum ad eos. & timuerunt faciem domini. Et dixit Aggæus nuncius domini in nuncijs domini, populo, Ego sum uobiscum, dicit dominus. Et suscitauit dominus spiritum Zorobabel filij Salathiel de tribu Iuda, et spiritum Iesu filii Iosedec sacerdotis magni, & spiritū reliquorum populi, & ingressi sunt, & faciebant opera in domo domini omnipotentis dei sui.

Cap. II

Quarto & uicesimo mēsis sexti, in secundo anno sub Dario rege, septimo mense primo & uigesimo mensis, factus est sermo domini in manu Æggæi uatis, dicēs, Dic iam ad Zorobabel filium Salathiel de tribu Iuda, & ad Iesum filium Iosedec, sacerdotem magnum, & ad omnes reliquos populi, dicēs, Quis ex uobis est, qui uidit domum istā in gloria sua pristina? Et quomodo uos uidetis ipsam nunc, ut estis in cōspectu uestro? Et nūc fortis esto Zorobabel, dicit dominus. Et fortis esto Iesu fili Iosedec sacerdos magne, etiam fortis sit uniuersus populus terræ, dicit dominus, & exequimini quoniā uobiscū sum, dicit

dominus

dominus omnipotens, uerbum quod pepigi uobiscũ, cum egrederemini de terra Ægypti, & spiritus meus fleti in medio uestrũ. Confidite, quia hæc dicit dominus omnipotens. Adhuc semel commouebo coelum

Heb. 12

& terram, & mare, & aridam, & commouebo omnes gentes, & uenient electa omnium gentium et implebo domũ istam gloria, dicit dominus omnipotẽs. Meum argentũ & meũ aurum, dicit dñs omnipotens. Quia magna erit gloria domus huius, ultima supra primam, dicit dñs omnipotẽs. Et in loco isto dabo pacẽ, dicit dominus omnipotẽs, & pacem animæ ad possessionem omni operanti, ad erigendum populũ hũc. Quarto & uicesimo noni mensis, anno secundo sub Dario, factus est sermo domini ad Aggæum prophetam, dicens, Hæc dicit dñs omnipotens, interroga sacerdotes legem dicens, Si sumpserit homo carnẽ sanctam in summitate uestimenti sui, & tetigerit summitas uestimenti eius panem aut coctionem, aut uinum aut oleum, aut omnem cibum, num sanctificabitur? Et responderunt sacerdotes, et dixerunt, Nõ. Et dixit Aggæus, Si tetigerit pollutus in anima, ab

κύριος παντοκράτωρ, τὸν λόγον ὃν διεθέμην ὑμῖν, ἐν τῷ ἐξελθεῖν ὑμᾶς ἀπὸ αἰγύπτου, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. θαρσεῖτε, διότι τάδε λέγει κύριος παντοκράτωρ. ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὴν ξηράν, καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πληρώσω τὸν οἶκον τοῦτον δόξης, λέγει κύριος παντοκράτωρ. ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, λέγει κύριος παντοκράτωρ. διότι μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει κύριος παντοκράτωρ. καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει κύριος παντοκράτωρ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι, τοῦ ἀναστῆσαι τὸν λαὸν τοῦτον. τετράδι καὶ εἰκάδι τοῦ ἐνάτου μηνός, ἔτους δευτέρου ἐπὶ δαρείου, ἐγένετο λόγος κυρίου πρὸς ἀγγαῖον τὸν προφήτην λέγων, τάδε λέγει κύριος παντοκράτωρ, ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον, λέγων, ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ τοῦ ἄρτου ἢ ἑψήματος, ἢ οἴνου, ἢ ἐλαίου, ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπαν, οὔ. καὶ εἶπεν ἀγγαῖος, ἐὰν ἅψηται μεμιασμένος ἐπὶ ψυχῇ αὐτῇ

ἀπὸ παντὸς τούτων, εἰ μιανθήσεται;
καὶ ἀπεκρίθησαν, καὶ εἶπαν, μιανθή
σεται. καὶ ἀπεκρίθη ἀγγαῖος, καὶ εἶ-
πεν, οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως
τὸ ἔθνος τὸ ἐνώπιόν ἐμοῦ, λέγει κύρι
ος, καὶ οὕτως πάντα τὰ ἔργα τῶν
χειρῶν αὐτῶν. καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ,
μιανθήσεται ἕνεκεν τῶν λημμάτων
αὐτῶν. καὶ τῶν ὀρθρινῶν ὀδυνηθήσονται
ἀπὸ προσώπου πονηριῶν αὐτῶν, καὶ
ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντα. καὶ
νῦν θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑ-
μῶν ἀπὸ τῆς ἡμέρας ταύτης, καὶ ὑ-
περάνω πρὸ τοῦ θεῖναι λίθον ἐπὶ λί
θον ἐν τῷ ναῷ κυρίου. τίνες ἦτε, ὅτε
ἐνεβάλλετε εἰς κυψέλην εἴκοσι σάτα,
καὶ ἐγένετο δέκα σάτα κριθῆς, καὶ
εἰσεπορεύεσθε εἰς τὸ ὑπολήνιον, ἐξ-
αντλῆσαι πεντήκοντα μετρητὰς, καὶ
ἐγένοντο εἰς εἴκοσι. ἐπάταξα ὑμᾶς
ἐν ἀφορίᾳ, καὶ ἐν ἀνεμοφθορίᾳ, καὶ
ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χει-
ρῶν ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός
με, λέγει κύριος. καὶ νῦν τάξα-
τε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς
ἡμέρας ταύτης, καὶ ἐπέκεινα, ἀ-
πὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ
ἐννάτου μηνός. καὶ ἀπὸ τῆς ἡμέ-
ρας ἧς τεθεμελίωται ὁ ναὸς κυρίου, θέ
σθε ἐν ταῖς καρδίαις ὑμῶν, εἰ ἔτι
ἐπιγνωσθήσεται ἐπὶ τῆς ἅλω, καὶ ἔτι
ἡ ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ῥόα, καὶ
τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ φέροντα
καρπὸν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλο
γήσω.

ab omni horum, contami
nabitur? Et responderũt sa
cerdotes, & dixerunt, Con
taminabitur. Et respondit
Aggæus & dixit, Sic po-
pulus iste, & sic gens hæc
coram me, dicit dominus,
& sic omnia opera manuũ
suarum. Et quicunque ap-
propinquauerit ibi, conta-
minabitur. Propter sum-
ptiones eorum matutinas
dolebunt à facie malitiarũ
suarum, & odio habebatis
eum, qui in portis argue-
bat. Et nunc ponite iam
in corda uestra ab hoc die,
& retro, antequam ponere
tur lapis super lapidem in
templo domini. Quales
eratis, cum mittebatis in
modium uiginti sata, & fa-
cta sunt hordei decem sata.
Et cum egrediebamini in
torcular ad hauriendum
quinquaginta metretas, &
factæ sunt uiginti. Percussi
uos in sterilitate, & in cor-
ruptione aëris, & in gran-
dine omnia opera manuum
uestrarum, & non reuersi
estis ad me, dicit dominus.
Vel iam collocate corda
uestra à die hoc, & ultra, à
quarto & uicesimo nonũ
mensis. Ab eo die, quo fun
datum est templum domi-
ni, ponite in cordibus ue-
stris, num ultra cognoscat
in area, num adhuc uinea
et ficus, & malogranata, et
ligna oliuæ quæ non fe-
runt fructũ, à die hac bene-

dicam. Et fuit sermo domini secundo ad Aggæum prophetam, quarto et uicesimo mensis dicens, Dic ad Zorobabel filium Salathiel de tribu Iuda, dicens, Ego moueo coelum & terram, & mare & aridam, & subuertam thronos regum, & perdã potestatem regum gentium. Et subuertam currus & ascensores, et descendẽt equi & ascensor eorum, singuli gladio ad fratrem suum. In die illo, dicit dominus omnipotens, assumam Zorobabel filium Salathiel, seruum meum, dicit dominus, & ponam te quasi signaculum, quia te elegi, dicit dominus omnipotens.

γήσω. καὶ ἐγένετο λόγος κυρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον τὸν προφήτην, τετράδι καὶ εἰκάδι τοῦ μηνὸς, λέγων, εἶπον πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ, ἐκ φυλῆς Ἰούδα, λέγων, ἐγὼ σείω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν καὶ τὴν ξηρὰν, καὶ καταστρέψω θρόνους βασιλέων. καὶ ὀλοθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν. καὶ καταστρέψω ἅρματα, καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι, καὶ ἀναβάται αὐτῶν, ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, λήψομαι Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ, τὸν δοῦλόν μου, λέγει κύριος, καὶ θήσομαί σε ὡς σφραγίδα, διότι σε ᾑρέτισα, λέγει κύριος παντοκράτωρ.

ZACHARIAS.

Caput I



IN octauo mẽse anni secundi sub Dario factus est sermo dñi ad Zachariam Barachiæ, filij Addo prophetã, dicẽs, Iratus est dominus contra patres uestros ira magna. Et dices ad eos, Hæc dicit dominus omnipotens, Reuertimini ad me, dicit dominus uirtutum, & reuertar ad uos, dicit dominus uirtutum. Et ne sitis,

sicut



ΕΝ τῷ ὀγδόῳ μηνὶ, ἔτους δευτέρου, ἐπὶ Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου, υἱὸν Ἀδδὼ τὸν προφήτην, λέγων, ὠργίσθη κύριος ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγάλην. καὶ ἐρεῖς πρὸς αὐτοὺς, τάδε λέγει κύριος παντοκράτωρ, ἐπιστρέψατε πρός με, λέγει κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει κύριος τῶν δυνάμεων. καὶ μὴ γίνεσθε

καθὼς

καθὼς οἱ πατέρες ὑμῶν, οἷς ἐνεκάλεσαν αὐτοὺς οἱ προφῆται ἔμπροσθεν, λέγοντες, τάδε λέγει κύριος παντοκράτωρ, ἀποστρέψατε ἀπὸ τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πονηρῶν, καὶ οὐκ εἰσήκουσαν, καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου, λέγει κύριος. οἱ πατέρες ὑμῶν ποῦ εἰσι, καὶ οἱ προφῆται; μὴ τὸν αἰῶνα ζήσονται; πλὴν τοὺς λόγους μου, καὶ τὰ νόμιμά μου δέχεσθε, ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις, οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν. καὶ ἀπεκρίθησαν, καὶ εἶπαν, καθὼς παρατέτακται κύριος παντοκράτωρ τοῦ ποιῆσαι ἡμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡμῶν, οὕτως ἐποίησεν ἡμῖν. τῇ τετράδι καὶ εἰκάδι, τῷ ἐνδεκάτῳ μηνί, οὗτός ἐστιν ὁ μὴν σαβάτ, ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου, ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν τὸν τοῦ βαραχίου, υἱὸν ἀδδὼ τὸν προφήτην λέγων, ἑώρακα κατὰ τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἵππον πυρρόν, καὶ οὗτος εἱστήκει ἀνὰ μέσον δύο τῶν ὀρέων τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυρροὶ καὶ ψαροὶ, καὶ ποικίλοι, καὶ λευκοί. καὶ εἶπα, τί οὗτοι κύριε; καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, ἐγὼ δείξω σοί, τί ἐστι ταῦτα. καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν ὀρέων

καὶ

sicut patres nestri, quos arguerunt prophetę priores, dicentes, Hæc dicit dominus omnipotens, Conuertimini à uiis uestris malis, et studijs uestris malis, nec attenderunt audire me, dicit dominus. Patres uestri ubi sunt, & prophetæ? nunquid in æternum uiuent? Verumtamen sermones meos & legitima mea suscipite, quæcunque ego præcipio in spiritu meo seruis meis prophetis, qui comprehenderunt patres uestros. Et responderunt, & dixerunt, Quemadmodum constituit dominus omnipotens facere uobis iuxta uias nostras ac iuxta studia nostra, ita fecit nobis. Quarto & uigesimo, undecimo mense, qui erat mensis Sabat, in secundo anno sub Dario, factus est sermo domini ad Zachariã Barachię, filiũ Addo, prophetam, dicens, Vidi per noctem, ecce autem uir ascendens in equum rufum, & hic stabat inter duos montes umbrosos, & post eum equi rufi & ueloces & albi, & uarij. Et dixi, Qui sunt hi domine? Et dixit ad me angelus qui loquebatur mecum, Ego tibi ostendam, quid sunt hæc. Et respondit uir insistẽs per mediũ montiũ,

et dixit ad me, Hi sunt quos
misit dominus, ut circuirēt
terram. Et responderunt
angelo domini, qui stabat
inter montes, & dixerunt,
Circumiuimus terram, &
ecce omnis terra habitatur,
& quiescit. Et respondit
angelus domini, & dixit,
Domine omnipotens, quo
usq; non misereberis Hie-
rusalem, & urbium Iuda,
in quibus conniues? hic
est septuagesimus annus.
Et respondit dominus an-
gelo qui loquebatur mecū,
uerba bona, sermones con-
solatorios. Et dixit ad me
angelus qui loquebatur me
cum, clama dicens, Hæc di
cit dominus omnipotens,
Æmulatus sum Hierusalē,
& Siō æmulatione magna,
& ira magna ego irascor
gentibus, quæ una aggredi
untur, quoniam ego iratus
sum modice, ipsæ uero ag-
gressi sunt in malum. Pro-
pterea hæc dicit dominus,
Reuertar ad Hierusalem in
misericordia, & dom9 mea
instaurabitur in ea, dicit
dominus omnipotens, &
mensura extendetur super
Hierusalem. Dixitq; ad
me angelus qui loqueba-
tur mecum, Adhuc clama,
dicens, Hæc dicit omnipo
tens, adhuc diffundentur ci
uitates in bonis, & misere-
bitur dominus adhuc Sion,
& eliget Hierusalem. Et tu
li oculos meos, & uidi,
&

καὶ εἶπε πρός με, οὗτοί εἰσιν οὓς ἐξα-
πέστειλε κύριος περιοδεῦσαι πᾶ-
σαν τὴν γῆν. καὶ ἀπεκρίθησαν τῷ
ἀγγέλῳ κυρίου τῷ ἐφεστῶτι ἀνὰ μέ-
σον τῶν ὀρέων, καὶ εἶπον, περιωδεύ-
σαμεν πᾶσαν τὴν γῆν, καὶ ἰδοὺ πᾶ-
σα ἡ γῆ κατοικεῖται, καὶ ἡσυχάζει.
καὶ ἀπεκρίθη ὁ ἄγγελος κυρίου, καὶ
εἶπε, κύριε παντοκράτωρ ἕως τίνος
οὐ μὴ ἐλεήσῃς τὴν ἰερουσαλὴμ, καὶ
τὰς πόλεις ἰούδα ἃς ὑπερεῖδες;
τοῦτο ἑβδομηκοστὸν ἔτος. καὶ ἀπε-
κρίθη κύριος παντοκράτωρ τῷ ἀγ-
γέλῳ τῷ λαλοῦντι ἐν ἐμοὶ, ῥήματα
καλὰ, καὶ λόγους παρακλητικούς. καὶ
εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν
ἐμοὶ, ἀνάκραγε λέγων, τάδε λέγει
κύριος παντοκράτωρ, ἐζήλωκα τὴν
ἰερουσαλὴμ, καὶ τὴν σιὼν ζῆλον μέ-
γαν, καὶ ὀργὴν μεγάλην ὀργίζομαι ἐπὶ
τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ'
ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ
δὲ συνεπετίθεντο εἰς κακά. διὰ τοῦτο
λέγει κύριος, ἐπιστρέψω ἐπὶ ἱερουσα-
λὴμ ἐν οἰκτιρμῷ, καὶ ὁ οἶκός μου ἀνοι-
κοδομηθήσεται ἐν αὐτῇ, λέγει κύριος
παντοκράτωρ, καὶ μέτρον ἐκταθήσεται
ἐπὶ ἱερουσαλήμ. καὶ εἶπε πρός με ὁ ἄγ-
γελος ὁ λαλῶν ἐν ἐμοὶ, ἔτι ἀνάκρα-
γε λέγων, τάδε λέγει ὁ παντοκρά-
τωρ, ἔτι διαχυθήσονται πόλεις ἐν
ἀγαθοῖς, καὶ ἐλεήσει κύριος ἔτι τὴν
σιὼν, καὶ αἱρετιεῖ τὴν ἰερουσαλήμ. καὶ
ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον,
καὶ

καὶ ἰδοὺ τέσσαρα κέρατα. καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί, τί ἐστι ταῦτα κύριε; καὶ εἶπε πρός με, ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν ἰούδα καὶ τὸν ἰσραὴλ, καὶ ἱερουσαλὴμ. καὶ ἔδειξέ μοι κύριος τέσσαρας τέκτονας, καὶ εἶπα, τί οὗτοι ἔρχονται ποιῆσαι; καὶ εἶπε, ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν ἰούδα, καὶ τὸν ἰσραὴλ κατέαξαν, καὶ οὐδεὶς αὐτῶν ἦρε κεφαλὴν. καὶ ἐξήλθοσαν οὗτοι τοῦ ὀξῦναι αὐτὰ εἰς χεῖρας αὐτῶν. τὰ τέσσαρα κέρατα, τὰ ἔθνη τὰ ἐπαιρόμενα κέρας ἐπὶ τὴν γῆν κυρίου, τοῦ διασκορπίσαι αὐτήν.

Καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. καὶ εἶπα πρὸς αὐτὸν, ποῦ σὺ πορεύῃ; καὶ εἶπε πρός με, διαμετρῆσαι τὴν ἱερουσαλὴμ, τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς ἐστι, καὶ πηλίκον τὸ μῆκος. καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ εἱστήκει, καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτοῦ, καὶ εἶπε πρὸς αὐτὸν, λέγων, δράμε, καὶ λάλησον πρὸς τὸν νεανίαν ἐκεῖνον λέγων, κατάκαρπος κατοικηθήσεται ἱερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων, καὶ κτηνῶν ἐν μέσῳ αὐτῆς, καὶ ἐγὼ ἔσομαι αὐτῇ λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. ὦ ὦ φεύγετε ἀπὸ

a

& ecce cornua. Et dixi ad angelum, qui loquebatur mecum, Quæ sunt hæc domine? Et dixit ad me, Hęc sunt cornua quæ disperserunt Iudā & Israel, & Hierusalem. Et ostendit mihi dominus quatuor fabros, & dixi, Quid isti ueniunt factum? Et ait ad me, dicēs, Hæc cornua quæ disperserunt Iudam, & Israel confregerunt, & nullus ex illis erexit caput. Et egressi sunt isti, ut exacuerent ea in manib[9] suis. Quatuor cornua, gentes sunt quæ erigunt cornu contra terram domini, ad dissipandum eam.

Cap. II. Erexi autem oculos meos, ac uidi, ecce autem uir quidam, in cuius manu erat funiculus geometricus. Et dixi ad eū, Quò uadis? Et dixit ad me, Ad dimetiēdū Hierusalem, ut uideā quanta latitudo illius sit, & quā ta longitudo. Et ecce angelus qui loquebatur mecum stabat, & alius angelus egrediebatur obuiam illi, & ait ad eum, Curre, & loquere ad adolescentem illum dicens, Frugifera habitabitur Hierusalem à multitudine hominum & iumentorum, quæ sunt in medio eius, & ego ero illi, dicit dominus, murus ignis in circuitu, & gloria ero in medio eius. O, o, fugite

à terr

à terra Aquilonis, dicit dominus. Quia de quatuor uentis cœli congregabo uos, dicit dominus, in Siō, saluamini, qui habitatis filiam Babylonis. Nam hęc dicit dominus omnipotēs, Post gloriam misit me, ad gentes quæ spoliauerunt uos. Quia qui tangit uos perinde est, ac si tangeret pupillam oculi eius. Ecce enim ego infero manum meam contra eos, & erunt prædæ his, qui seruierant eis, & cognosces, dominum omnipotentem misisse me. Lætare, & gaude filia Sion, quia ecce ego uenio, & habitabo in medio tui dicit dominus. Et confugient gentes multæ ad dominum in die illo, & erunt ei in populum, habitabuntq; in medio tui. Tum scies, dominum deum omnipotentem misisse me ad te. Et possidebit dominus Iudam partem suam in terra sancta, & eliget adhuc Hierusalē. Timeat omnis caro faciem domini, quia surrexit de nubibus sanctis suis.

Cap. III Et ostendit dominus Iesum sacerdotem magnum, stantem ante faciem angeli domini, & diabolus stabat à dextris eius ut aduersaretur ei. Et dixit dñs ad diabolū, Increpet dñs in te diabole,

ἀπὸ βοῤῥᾶ, λέγει κύριος. διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς, λέγει κύριος, εἰς σιὼν ἀνασώζεσθε οἱ κατοικοῦντες θυγατέρα βαβυλῶνος. διότι τάδε λέγει κύριος παντοκράτωρ, ὀπίσω δόξης ἀπέσταλκέ με, ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς. ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτούς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύουσιν αὐτοῖς. καὶ γνώσεσθε, ὅτι κύριος παντοκράτωρ ἀπέσταλκέ με. τέρπου καὶ εὐφραίνου θύγατερ σιών, διότι ἰδοὺ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει κύριος. καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου. καὶ ἐπιγνώσῃ, ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε. καὶ κατακληρονομήσει κύριος τὸν ἰούδαν καὶ τὴν μερίδα αὐτοῦ ἐπὶ τὴν γῆν τὴν ἁγίαν, καὶ αἱρετιεῖ ἔτι τὴν ἱερουσαλήμ. εὐλαβείσθω πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου, διότι ἐξεγήγερται ἐκ νεφελῶν ἁγίων αὐτοῦ.

Καὶ ἔδειξε κύριος τὸν ἰησοῦν, τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ, τοῦ ἀντικεῖσθαι αὐτῷ. καὶ εἶπε κύριος πρὸς τὸν διάβολον, ἐπιτιμήσαι κύριος ἐν σοὶ διά-

διάβολε, καὶ ἐπιτιμήσαι κύριος ἐν
σοὶ ὁ ἐκλεξάμενος τὴν ἱερουσαλήμ.
οὐκ ἰδοὺ τοῦτο ὡς δαλὸς ἐξεσπασμέ-
νος ἐκ πυρός; καὶ ἰησοῦς ἦν ἐνδεδυ-
μένος ἱμάτια ῥυπαρὰ, καὶ εἱστήκει
πρὸ προσώπου τοῦ ἀγγέλου. καὶ ἀπε-
κρίθη, καὶ εἶπε πρὸς τοὺς ἑστηκότας
πρὸ προσώπου αὐτοῦ λέγων, ἀφέλε-
τε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐ-
τοῦ. καὶ εἶπε πρὸς αὐτὸν, ἰδοὺ ἀφῄρη-
κα ἀπό σου τὰς ἀνομίας σου, καὶ τὰς
ἁμαρτίας σου περικαθαριῶ. καὶ ἐν-
δύσατε αὐτὸν ποδήρη, καὶ ἐπίθετε
μίτραν, καὶ κίδαριν καθαρὰν ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ. καὶ ἐπέθηκαν μί-
τραν, καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν
κεφαλὴν αὐτοῦ, καὶ περιέβαλον αὐ-
τὸν ἱμάτια. καὶ ὁ ἄγγελος κυρίου εἱ-
στήκει, καὶ διεμαρτύρατο ὁ ἄγγελος
κυρίου πρὸς ἰησοῦν, λέγων, τάδε λέ-
γει κύριος παντοκράτωρ, ἐὰν ἐν
ταῖς ὁδοῖς μου πορεύῃ, καὶ ἐν τοῖς
προστάγμασί μου φυλάξῃς, καί σὺ
διακρινεῖς τὸν οἶκόν μου, καὶ ἐὰν
διαφυλάξῃς τὴν αὐλήν μου, καὶ δώ-
σω σοὶ ἀναστρεφομένους ἐν μέσῳ τῶν
ἑστηκότων τούτων. Ἄκουε δὴ ἰησοῦ ὁ
ἱερεὺς ὁ μέγας, σὺ καὶ οἱ πλησίον
σου οἱ, καθήμενοι πρὸ προσώπου, διό-
τι ἄνδρες τερατοσκόποι εἰσὶ, διότι
ἐγὼ ἄγω τὸν δοῦλόν μου ἀνατολήν. δι-
ότι ὁ λίθος, ὃν ἔδωκα πρὸ προσώπου
τοῦ ἰησοῦ ἐπὶ τὸν λίθον τὸν ἕνα, ἑπτὰ ὀφ-
θαλμοί εἰσιν. ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον,
λέγει

diabole, & increpet dominus in te, qui elegit Hierusalem, nonne ecce hic tanquam tortis erutus de igne: Et Iesus erat indutus uestibus sordidis, & stabat ante faciem angeli. Respondit autem, & ait ad eos, qui stabant ante faciem suam, dicens, Auferte uestimenta sordida ab eo. Dixitque ad eum, Ecce abstuli iniquitates tuas, & sceleribus tuis te purgabo. Et induite eum ueste talari, et imponite mitram & cidarim mundam in caput eius. Et imposuerunt mitrā, et cidarim mundam in caput eius, & circumdederunt eum uestimentis. Et angelus domini stabat, & contestabatur angelus domini ad Iesum, dicēs, Hæc dicit dominus omnipotēs, Si in uiis meis ambulaueris, & præcepta mea seruaueris, tu iudicabis domum meam, & tu custodies atrium meum, et dabo tibi qui conuersentur in medio eorū, qui hic stant. Audi iam Iesu sacerdos magne, tu & proximi tui, qui sedent ante faciem tuam, quia uiri, portentorum spectatores sunt. Ideo ego adduco seruum meum orientē. Quia lapis, quem dedi ante faciem Iesu super lapidem unum, septem oculi sunt. Ecce ego fodio foueam,
dicit

dicit dominus omnipotẽs, & contrectabo omnem iniquitatem terræ illius uno die. Die illo, dicit dominus omnipotens, conuocabit unusquisq; proximũ suum subter uitem & subter ficũ.

Cap. IIII. Et reuersus est angelus qui loquebatur mecum, & suscitauit me, perinde ac si excitetur homo de somno suo. Et dixit ad me, Quid tu uides? Et dixi, Vidi, & ecce candelabrum aureum totum, & lampas in illo, & septem lucernę super illud, & septem fusoria lucernarum quæ erant supra illud, & duæ oliuæ super illud, una à dextris lampadis eius, & altera à sinistris. Et interrogaui, & dixi ad angelum, qui loquebatur mecum, dicens, Quæ sunt hęc domine? Respondit ergo angelus, qui loquebatur mecum, & dixit ad me, Non cognoscis quęnam sint hęc? Et dixi, Nõ domine. Et respondit, & dixit ad me, dicens, Iste sermo domini ad Zorobabel, dicens, Non in potentia magna, necp in uiribus amplis, sed in spiritu meo, dicit dominus omnipotens. Quis es tu mons magne ante faciem Zorobabel, ut corrigas? Et educam lapidem hæreditatis, æqualitatem gratiæ gratiam eius. Et factus est sermo domini ad me dicens, Manus Zorobabel fundauerunt domum istam, &

manus

λέγει κύριος παντοκράτωρ. καὶ ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς. ἐν ἡμέρᾳ μιᾷ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, συγκαλέσετε ἕκαστος τὸν πλησίον αὐτοῦ, ὑπὸ κάτω ἀμπέλου καὶ ὑπὸ κάτω συκῆς.

Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐμοί, καὶ ἐξήγειρέ με, ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐκ τοῦ ὕπνου αὐτοῦ. καὶ εἶπε πρός με, τί σὺ βλέπεις; καὶ εἶπα, ἑώρακα, καὶ ἰδοὺ χρυσοῦ ὁλολυχνία, καὶ τὸ λαμπάδιον αὐτῆς. καὶ ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς, καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς ἐπάνω αὐτῆς, καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς, μία ἐκ δεξιῶν τοῦ λαμπαδίου αὐτῆς, καὶ μία ἐξ εὐωνύμων. καὶ ἐπηρώτησα, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ λέγων, τί ἐστι ταῦτα; καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε πρός με λέγων, οὐ γινώσκεις τί ἐστι ταῦτα; εἶπα, οὐχὶ κύριε. καὶ ἀπεκρίθη, καὶ εἶπε πρός με λέγων, οὗτος ὁ λόγος κυρίου πρὸς Ζοροβάβελ λέγων, οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ μεγάλῃ, ἀλλ' ἐν πνεύματί μου, λέγει κύριος παντοκράτωρ. τί εἶ σὺ τὸ ὄρος τὸ μέγα πρὸ προσώπου Ζοροβάβελ τοῦ κατορθῶσαι; καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας, ἰσότητα χάριτος χάριτα αὐτῆς. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον,

καὶ

καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν, καὶ ἐπιγνώσῃ, διότι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε. διότι τίς ἐξουδένωσεν εἰς ἡμέρας μικράς; καὶ χαροῦνται, καὶ ὄψονται τὸν λίθον τὸν κασσιτήρινον ἐν χειρὶ Ζοροβάβελ. ἑπτὰ οὗτοι ὀφθαλμοὶ κυρίου εἰσὶν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς αὐτόν, τί αἱ δύο αὗται ἐλαῖαι, αἱ ἐκ δεξιῶν τῆς λυχνίας καὶ ἐξ εὐωνύμων; καὶ ἐπηρώτησα ἐκ δευτέρου, καὶ εἶπον πρὸς αὐτόν, τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπιχεόντων, καὶ ἐπαναγόντων τὰς ἐπαρυστρίδας τὰς χρυσᾶς; καὶ εἶπε πρός με λέγων, οὐκ οἶδας, τί ἐστι ταῦτα; καὶ εἶπα, οὐχὶ κύριε. καὶ εἶπεν, οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασι τῷ κυρίῳ πάσης τῆς γῆς.

Καὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ δρέπανον πετόμενον. καὶ εἶπε πρός με, τί σὺ βλέπεις; καὶ εἶπον ἐγώ, ὁρῶ δρέπανον πετόμενον, μήκους πηχῶν εἴκοσι, καὶ πλάτους πηχῶν δέκα. καὶ εἶπε πρός με, αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς. διότι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται, καὶ ἐξοίσω αὐτό, λέγει κύριος παντοκράτωρ. καὶ εἰσελεύσονται εἰς τὸν οἶκον τοῦ

κλέπτου,

manus eius perficient eam. & cognosces dominum omnipotentem dimisisse me ad te. Nam quis despexit dies paruos, & lætabuntur, & uidebunt lapidem stanneum in manu Zorobabel. Septē isti oculi domini sunt qui respicient in omnem terram. Et respondi, & dixi ad eū. Quid duæ oliuæ quæ à dextris candelabri & à sinistris? Et interrogaui iterū, dixiq; ad eum, Quid duo rami oliuarum, qui in manibus duarum narium aurearum, quæ infundunt, & retrahunt suffusoria aurea? Et dixit ad me, Nescis quid significent hæc, & dixi, Nequaquā domine. Ait ergo, Hi sunt duo filii pinguedinis, qui adstiterunt domino omnis terræ.

Cap. V

Et conuerti, & tuli oculos meos, & uidi, & ecce falx uolās. Et dixit ad me, quid tu uides? Et dixi ego, Video falcem uolantem, longitudinis cubitorum uiginti, & latitudinis cubitorum decem. Et dixit ad me, Hæc est execratio, quæ egredietur in faciem omnis terræ. Quia omnis furor ex hoc, usque ad mortem punietur, & educam illud, dicit dominus omnipotēs. Et ingredientur in domū

furis,

furis, & in domum iurantis in nomine meo falso, & requiescet in medio domus eius, et consumet eam, & ligna eius, & lapides eius. Et egressus est angelus, qui loquebatur mecū, & dixit ad me, Suspice oculis tuis, & uide hoc, q̄d egredietur. Et dixi, quid est? Et ait, Hæc mensura quæ egredietur. Et dixi, Hæc est iniquitas eorum qui sunt in omni terra. Et ecce talentum plumbi, & ecce mulier quædam sedebat in medio mensuræ, & dixit, Hæc est iniquitas eorum. Et proiecit eam in medium mensuræ, & proiecit lapidem plumbi in os eius. Sustuli autem oculos meos, et uidi, et ecce duæ mulieres egredientes, et spiritus in alis earum, habebantq; alas tanquam alas upupæ, quæ acceperunt mensuram inter terram et coelum. Et dixi ad angelum qui loquebatur mecū, Quò istæ deferunt mensuram? Et dixit ad me, Vt ædificent ei domum in terra Babylonis, et parent, et ponant eam ibi ad parationem suam.

Caput VI Et conuerti, et tuli oculos meos, et uidi, et ecce quatuor currus egredientes de medio duorum montium, et montes ærei. In curru

κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψευδεῖ, καὶ καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ, καὶ συντελέσει καὶ τὰ ξύλα αὐτοῦ, καὶ τοὺς λίθους αὐτοῦ. καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε πρός με, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τὸ ἐκπορευόμενον τοῦτο. καὶ εἶπα, τί ἐστι; καὶ εἶπε, τοῦτο τὸ μέτρον τὸ ἐκπορευόμενον. καὶ εἶπεν, αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. καὶ ἰδοὺ τάλαντον μολίβδου ἐξαιρόμενον, καὶ ἰδοὺ γυνὴ μία ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου. καὶ εἶπεν, αὕτη ἐστὶν ἡ ἀνομία. καὶ ἔρριψεν αὐτὴν εἰς μέσον τοῦ μέτρου, καὶ ἔρριψε τὸν λίθον τοῦ μολίβδου εἰς τὸ στόμα αὐτῆς. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι, καὶ πνεῦμα ἐν ταῖς πτέρυξιν αὐτῶν, καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγας ἔποπος, καὶ ἀνέλαβον τὸ μέτρον ἀνὰ μέσον τῆς γῆς, καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί, ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον; καὶ εἶπε πρός με, οἰκοδομῆσαι αὐτῷ οἰκίαν ἐν γῇ βαβυλῶνος, καὶ ἑτοιμάσαι, καὶ θήσουσιν αὐτὸ ἐκεῖ ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.

Καὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον, καὶ ἰδοὺ τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέσου δύο ὀρέων, καὶ τὰ ὄρη χαλκᾶ. ἐν τῷ ἅρματι

ἅρματι τῷ πρώτῳ ἵπποι πυῤῥοί, καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ ἵπποι μέλανες, καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί, καὶ ἐν τῷ ἅρματι τῷ τετάρτῳ ἵπποι ποικίλοι καὶ ψαροί. καὶ ἀπεκρίθην, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί, τί ἐστι ταῦτα κύριε; καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ εἶπε, ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, καὶ ἐκπορεύονται παραστῆναι τῷ κυρίῳ πάσης τῆς γῆς. ἐν ᾧ ἦσαν ἵπποι οἱ μέλανες, ἐξεπορεύοντο ἐπὶ γῆν βοῤῥᾶ, καὶ οἱ λευκοὶ ἐξεπορεύοντο κατόπισθεν αὐτῶν, καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ γῆν νότου. καὶ οἱ ψαροὶ ἐξεπορεύοντο, καὶ ἐπέβλεπον τοῦ περιοδεύσαι τὴν γῆν. καὶ εἶπε, πορεύεσθε, καὶ περιοδεύσατε τὴν γῆν. καὶ περιώδευσαν τὴν γῆν. καὶ ἀνεβόησε, καὶ ἐλάλησε πρός με, ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βοῤῥᾶ, ἀνέπαυσαν τὸν θόρυβόν μου ἐν γῇ βοῤῥᾶ. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων καὶ παρὰ τῶν χρησίμων αὐτῆς, καὶ παρὰ τῶν ἐπεγνωκότων αὐτήν, καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον ἰωσίου τοῦ σοφονίου τοῦ ἥκοντος ἐκ βαβυλῶνος, καὶ λήψῃ ἀργύριον καὶ χρυσίον, καὶ ποιήσεις στέφανον, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν ἰησοῦ, τοῦ ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου

curru primo equi rufi, & in curru secundo equi nigri, & in curru tertio equi albi, & in curru quarto equi uarij et multicolores. Et respondi, & dixi ad angelum, qui loquebatur mecum, Quid significant hęc domine? Et respondit angelus, qui loquebatur mecum, & dixit, Hęc sunt quatuor uenti cœli, qui egrediuntur, ut adsistāt domino omnis terræ. In quo erant equi nigri, egrediebantur in terram aquilonis, & albi egrediebantur post eos, & uarij exibant in terram Austri, & multi colores egrediebāt, ut ambirent terrā. Et dixit, Ite, & circuite terram. Et circumierunt terram. Et clamauit, & loquutus est ad me, dicens, Ecce qui egrediuntur in terram aquilonis, sedarunt tumultum meum in terra aquilonis. Et factus est sermo domini ad me, dicens, Accipe de captiuitate à principibus, & ab utilibus eius, & ab his qui cognouerunt eam, & ingredieris illo die in domum Iosiæ Sophoniæ, qui uenit de Babylone, & accipies argentū & aurum, & facies coronam, & impones capiti Iesu, Iosedec sacerdotis magni.

magni. Ei(que) dices, Hęc dicit dominus omnipotens, Ecce uir, Oriēs nomen eius, & subter eum orietur, & ædificabit domum domini, & ipse accipiet uirtutem, & sedebit, & imperabit in throno suo. & erit sacerdos à dextris eius, & consiliū pacificum erit inter utrunq(ue). At corona erit expectantibus, & utilibus eius, & his q attulerunt eam, & in gratiam filijs Sophoniæ, & in carmen in domo domini. Et qui procul ab eis sunt ueniunt, & ædificabunt in domo domini, & scietis, dominum omnipotentem misisse me ad uos. Id quod fiet, cum audientes audieritis uocem domini dei uestri.

μεγάλου. καὶ ἐρεῖς πρὸς αὐτὸν, τάδε λέγει κύριος παντοκράτωρ, ἰδοὺ ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ, καὶ οἰκοδομήσει τὸν οἶκον κυρίου, καὶ αὐτὸς λήψεται ἀρετὴν, καὶ καθιεῖται, καὶ κατάρξει ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἔσται ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ, καὶ βουλὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων. ὁ δὲ στέφανος ἔσται τοῖς ὑπομένουσι, καὶ τοῖς χρησίμοις αὐτοῖς, καὶ τοῖς ἐπεγνωκόσιν αὐτὴν, καὶ εἰς χάριτα υἱοῦ σοφονίου, καὶ εἰς ψαλμὸν ἐν οἴκῳ κυρίου. καὶ οἱ μακρὰν ἀπ᾽ αὐτῶν ἥξουσι, καὶ οἰκοδομήσουσιν ἐν τῷ οἴκῳ κυρίου, καὶ γνώσεσθε, διότι κύριος παντοκράτωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς. καὶ ἔσται, ἐὰν εἰσακούοντες εἰσακούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.

Cap. VII

Et factum est in quarto anno sub Dario rege, ut fieret sermo domini ad Zachariam, quarto mensis sexti, qui est Chaseleu. Et dimisit in Bæthel Sarasar & Arbath Sagar rex, & uiri eius, ad placandū dominum, dicens ad sacerdotes qui in domo domini omnipotentis, & ad prophetas ingēs, Ingressa est huc in quinto mense cōsecratio, id q̄d fecerūt iā pluribus annis. Et factus est sermo dn̄i uirtutū ad me, dicens,

Καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει, ἐπὶ δαρείου τοῦ βασιλέως ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν, τετράδι τοῦ μηνὸς τοῦ ἐνάτου, ὅς ἐστι χασελεῦ. καὶ ἀπέστειλεν εἰς βαιθὴλ, σαρασὰρ καὶ ἀρβεσὲρ ὁ βασιλεὺς, καὶ οἱ ἄνδρες αὐτοῦ ἐξιλάσασθαι τὸν κύριον, λέγων πρὸς τοὺς ἱερεῖς τοὺς ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος, καὶ πρὸς τοὺς προφήτας λέγων, εἰσελήλυθεν ὧδε ἐν τῷ μηνὶ τῷ πέμπτῳ τὸ ἁγίασμα, καθότι ἐποίησα ἤδη ἱκανὰ ἔτη. καὶ ἐγένετο λόγος κυρίου τῶν δυνάμεων πρὸς ἐμὲ λέγων,

λέγων, εἰπὲ πρὸς πάντα τὸν λαὸν τῆς γῆς, καὶ πρὸς τοὺς ἱερεῖς λέγων, ἐὰν νηστεύσητε, ἢ κόψησθε ἐν ταῖς πέμπταις ἢ ἐν ταῖς ἑβδόμαις, καὶ ἰδοὺ ἑβδομήκοντα ἔτη, μὴ νηστείαν νενηστεύκατέ μοι; καὶ ἐὰν φάγητε, ἢ πίητε, οὐχ ὑμεῖς ἐσθίετε, καὶ ὑμεῖς πίνετε; οὐχ οὗτοί εἰσιν οἱ λόγοι οὓς ἐλάλησε κύριος ἐν χερσὶ τῶν προφητῶν τῶν ἔμπροσθεν; ὅτι καὶ ἰσραὴλ κατοικουμένη καὶ εὐφραίνουσα, καὶ αἱ πόλεις αὐτῆς κυκλόθεν, καὶ ἡ ὀρεινὴ καὶ ἡ πεδινὴ κατῳκεῖτο. καὶ ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν λέγων, τάδε λέγει κύριος παντοκράτωρ, κρίμα δίκαιον κρίνατε, καὶ ἔλεον, καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. μὴ μνησικακείτε ἐν ταῖς καρδίαις ὑμῶν. καὶ ἠπείθησαν τοῦ προσέχειν, καὶ ἔδωκαν νῶτον παραφρονοῦντα. καὶ τὰ ὦτα αὐτῶν ἐβάρυναν τοῦ μὴ εἰσακούειν. καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ, τοῦ μὴ εἰσακούειν τοῦ νόμου μου, καὶ τοὺς λόγους μου οὓς ἐξαπέστειλε κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χερσὶ τῶν προφητῶν ἔμπροσθεν. καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ κυρίου παντοκράτορος. καὶ ἔσται, ὃν τρόπον εἶπε, καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτως κεκράξονται, καὶ οὐ μὴ εἰσακούσω, λέγει κύριος ὁ παντοκράτωρ. καὶ ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη, ἃ οὐκ ἔγνωσαν. καὶ ἡ γῆ

ἀφανισ

dicens, Dic ad omnem populum terræ, & ad sacerdotes, dicens, Cum ieiunaretis, aut lugeretis in quintis aut in septimis, et ecce septuaginta anni, numquid ieiunium ieiunastis mihi? Quod si comedatis, ac bibatis, nonne uos comeditis, & uos bibitis? nõne huiusmodi sermones mei sunt, quos locutus est dominus in manibus prophetarum priorum, tum cum Israel erat habitata, & lætabatur, & ciuitates eius in circuitu, & montana & campestris habitabatur. Et factus est sermo dñi ad Zachariam, dicens, Hæc dicit dominus omnipotens, Iudicium iustum iudicate, & misericordiam & miserationem tribuat quisq; fratri suo, ne mali memores sitis in cordibus uestris. Et noluerũt attendere, & reddiderunt dorsum contemnens. Et aures suas grauauerũt, ne audirent. Et cor suũ cõstituerunt inobediens, ne audirent legem meã, & uerba quæ misit dñs omnipotẽs spiritu suo in manibus prophetarũ priorum. Et facta est ira magna à domino oĩpotente, & erit, ut dixit, nec exaudierunt eum, sic clamabunt, & nõ exaudiam eos, dicit dominus omnipotens. Et eijciã eos in omnes gentes, quas non cognouerũt. Et terra Exod. 32

uastabitur post eos, à per-
ambulante & reuerten-
te. Et imulerunt terræ ele
ctæ uastitatem.

Cap.VIII Et factus est sermo do-
mini omnipotentis, dicēs,
Hæc dicit dominus omni
potens, Æmulatus sum
Hierusalem & Sion æmu-
latione magna, & furore
magno æmulatus sum eā.
Hæc dicit dominus, Re-
uersus sum ad Sion, & ha
bitabo in medio Hierusa-
lem, & uocabitur Hieru-
salem, ciuitas uera, et mōs
domini omnipotētis, mōs
sanctus. Hæc dicit domi-
nus omnipotens, Adhuc
sedebunt senes & anus in
plateis Hierusalem, unus
quisque uirgam suam ha-
bens in manu sua, pręmul
titudine dierum. Et plateę
ciuitatis replebuntur pue-
ris & puellis, ludentibus
in plateis eius. Hæc dicit
dominus omnipotens. Ta
metsi id fieri non posse ui-
deatur reliquis populi hu
ius, diebus illis, num corā
deo id fieri non possit, in-
quit dominus omnipotēs.
Hæc dicit dominus omni
potens, Ecce ego saluabo
populum meum de terra
Orientis, & de terra occi
dentis, & adducā eos, &
habitabūt in medio Hieru
salem, & erunt mihi popu
lus, et ego ero eis deus in
ueritate et in iustitia. Hęc
dicit

ἀφανισθήσεται καθόπισθεν αὐτῶν,
ἐκ διοδεύοντος καὶ ἐξ ἀναστρέφον-
τος. καὶ ἔταξαν τὴν γῆν ἐκλεκτὴν
εἰς ἀφανισμόν.

Καὶ ἐγένετο λόγος κυρίου παν-
τοκράτορος λέγων, τάδε λέγει κύ-
ριος παντοκράτωρ, ἐζήλωσα τὴν ἱε-
ρουσαλὴμ, καὶ τὴν σιὼν ζῆλον μέγαν,
καὶ θυμῷ μεγάλῳ ἐζήλωσα αὐτήν.
τάδε λέγει κύριος, ἐπιστρέψω ἐπὶ
σιὼν, καὶ κατασκηνώσω ἐν μέσῳ
ἱερουσαλὴμ, καὶ κληθήσεται ἱερουσα-
λὴμ πόλις ἀληθινὴ, καὶ τὸ ὄρος κυ-
ρίου παντοκράτορος, ὄρος ἅγιον. τά-
δε λέγει κύριος παντοκράτωρ, ἔτι
καθήσονται πρεσβύτεροι καὶ πρεσβύ-
τεραι ἐν ταῖς πλατείαις ἱερουσα-
λὴμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔ-
χων ἐν τῇ χειρὶ αὐτοῦ, ἀπὸ πλήθους ἡ-
μερῶν. καὶ πλατεῖαι τῆς πόλεως πλη-
σθήσονται παιδαρίων καὶ κορασίων
παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς.
τάδε λέγει κύριος παντοκράτωρ, διότι
ἀδυνατήσει ἐνώπιον τῶν καταλοί-
πων τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις
ἐκείναις, μὴ ἐνώπιόν μου ἀδυνα-
τήσει, λέγει κύριος παντοκράτωρ.
τάδε λέγει κύριος παντοκράτωρ,
ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ
γῆς ἀνατολῶν καὶ ἀπὸ γῆς δυσμῶν,
καὶ εἰσάξω αὐτοὺς, καὶ κατασκηνώσω
ἐν μέσῳ ἱερουσαλὴμ, καὶ ἔσονταί μοι
εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θε-
ὸν, ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ. τάδε
λέγει

λέγει κύριος παντοκράτωρ, κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος κυρίου παντοκράτορος, καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται. διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἔσται εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ ὑπάρξει, καὶ τῷ εἰσπορευομένῳ καὶ τῷ ἐκπορευομένῳ οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως. καὶ ἐξαποστελῶ πάντας τοὺς ἀνθρώπους, ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου, λέγει κύριος παντοκράτωρ, ἀλλ' ἢ δείξω εἰρήνην. ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου ταῦτα πάντα. καὶ ἔσται ὃν τρόπον ἦτε κατάρα ἐν τοῖς ἔθνεσιν οἶκος ἰούδα, καὶ οἶκος ἰσραήλ, οὕτως διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ. θαρσεῖτε, καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν. διότι τάδε λέγει κύριος παντοκράτωρ, ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μετενόησα, οὕτως παρατέταγμαι, καὶ διανενόημαι ἐν ταῖς

dicit dominus omnipotẽs. Corroborentur manus ueſtræ, qui auditis in diebus his ſermones iſtos ex ore prophetarum, ex eo die, quo fundata eſt dom⁹ domini omnipotentis, & templum ex quo ædificatum eſt. Nam ante dies illos merces hominum non erit lucro, nec merces iumentorum ſubſiſtet, nec egredienti & ingredienti erit pax præ afflictione. Et mittã omnes homines, unumquenq; ad proximũ ſuũ. Neq; enim ut prioribus diebus facio reliquis populi huius, dicit dominus omnipotens, ſed monſtrabo pacem. Vinea dabit fructum ſuum, & terra dabit germina ſua, & cœlum dabit rorem ſuum, & collocabo reliquos populi mei in hiſce omnibus. Fietq;, ut quemadmodum eratis execratio gentibus, domus Iuda & domus Iſrael, ita conſeruabo uos, & eritis fortunatio. Confidite, & roboramini in manibus ueſtris. Quia hęc dicit dominus omnipotẽs, Quemadmodum cogitaui affligere uos, cum prouocaſſent ad iram me patres ueſtri, dicit dominus omnipotens, & non pœnituit, ſic præparatus ſum, & cogitaui in diebus

in diebus istis, ad benigne faciendum Hierusalem & domui Iuda. Bono animo estote, hi sunt sermones quos facietis. Loquimini ueritatem singuli ad proximum suum, & iudicium pacificum, & iustum iudicate in portis uestris. Nec ulli malum proximi sui cogitetis in cordibus uestris, neque iusiurandum falsum diligatis. Quia hęc omnia odi, dicit dominus omnipotens. Et factus est sermo domini omnipotentis ad me, dicens. Hæc dicit dominus omnipotens, Ieiunium quartum & ieiuniũ quintum, & ieiunium septimum, & ieiunium decimum uertentur domui Iuda in gaudium & in lætitiã, et in festos dies bonos, & lætabimini, & ueritatẽ & pacem diligite. Hæc dicit dominus omnipotens, Adhuc uenient populi multi, & habitantes ciuitates multas, conuenientque incolæ unius, in ciuitatẽ unã dicentes, Eamus iter facientes ad deprecandum faciem domini, ac ad querẽdum faciem domini omnipotentis, uadam & ego. Et uenient populi multi, & gentes multæ quæsitum faciem domini omnipotentis in Hierusalem, ad placandum faciem domini. Hæc dicit dominus omnipotẽs, In diebus

illis,

ταῖς ἡμέραις ταύταις τοῦ καλῶς ποιῆσαι ἱερουσαλὴμ, καὶ τὸν οἶκον ἰούδα. θαρσεῖτε, οὗτοι οἱ λόγοι οὓς ποιήσετε. λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ἀλήθειαν καὶ κρίμα εἰρηνικὸν, καὶ δίκαιον κρίνετε ἐν ταῖς πύλαις ὑμῶν. καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον μὴ λογίζεσθε ἐν ταῖς ἡμέραις ὑμῶν. καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε. διότι ταῦτα πάντα ἐμίσησα, λέγει κύριος παντοκράτωρ. καὶ ἐγένετο λόγος κυρίου τοῦ παντοκράτορος πρός με λέγων, τάδε λέγει κύριος παντοκράτωρ, νηστεία ἡ τετάρτη καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη, καὶ νηστεία ἡ δεκάτη, ἔσονται τῷ οἴκῳ ἰούδα εἰς χαρὰν, καὶ εἰς εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθάς. καὶ εὐφρανθήσεσθε, καὶ τὴν ἀλήθειαν καὶ τὴν εἰρήνην ἀγαπήσατε. τάδε λέγει κύριος παντοκράτωρ, ἔτι ἥξουσι λαοὶ πολλοὶ, καὶ κατοικοῦντες πόλεις πολλὰς, καὶ συνελεύσονται κατοικοῦντες μίαν, εἰς μίαν πόλιν, λέγοντες, πορευθῶμεν πορευόμενοι τοῦ προσώπου κυρίου δεηθῆναι, καὶ ἐκζητῆσαι τὸ πρόσωπον κυρίου παντοκράτορος. πορεύσομαι καὶ ἐγώ. καὶ ἥξουσι λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ, καὶ ἐκζητήσουσι τὸ πρόσωπον κυρίου παντοκράτορος ἐν ἱερουσαλὴμ, ἐξιλάσασθαι τὸ πρόσωπον κυρίου. τάδε λέγει κύριος παντοκράτωρ, ἐν ταῖς ἡμέραις

ἐκείναις

ἐκείναις, ἐὰν ἐπιλάβωνται δέκα ἄν-
δρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθ-
νῶν, καὶ ἐπιλάβωνται τοῦ κρασπέδου
ἀνδρὸς ἰουδαίου, λέγοντες, πορευσό-
μεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν, ὅτι
ὁ θεὸς μεθ' ὑμῶν ἐστιν εἰς τέλος.

Λῆμμα λόγου κυρίου, ἐν γῇ ἀ-
δράχ καὶ δαμασκοῦ θυσία αὐτοῦ.
διότι κύριος ἐφορᾷ ἀνθρώπους, καὶ
πάσας φυλὰς τοῦ ἰσραήλ. καὶ αἵμα-
θ ἐν τοῖς ὁρίοις αὐτῆς τύρος καὶ σι-
δών, διότι ἐφρόνησαν σφόδρα. καὶ ᾠ-
κοδόμησε τύρος ὀχύρωμα αὐτῇ, καὶ
ἐθησαύρισεν ἀργύριον ὡς χοῦν, καὶ
συνήγαγε χρυσίον ὡς πηλὸν ὁδῶν.
διὰ τοῦτο κύριος κληρονομήσει αὐ-
τήν, καὶ πατάξει εἰς θάλασσαν δύ-
ναμιν αὐτῆς, καὶ αὕτη ἐν πυρὶ κα-
ταναλωθήσεται. ὄψεται ἀσκάλων,
καὶ φοβηθήσεται, καὶ γάζα, καὶ ὀδυ-
νηθήσεται σφόδρα, καὶ ἀκκαρών, ὅ-
τι ᾐσχύνθη ἐπὶ τῷ παραπτώματι
αὐτῆς. καὶ ἀπολεῖται βασιλεὺς ἐκ γά-
ζης, καὶ ἀσκάλων οὐ μὴ κατοικη-
θῇ. καὶ κατοικήσουσιν ἀλλογενεῖς
ἐν ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλο-
φύλων, καὶ ἐξαρῶ τὸ αἷμα αὐτῶν ἐκ
στόματος αὐτῶν, καὶ τὰ βδελύγμα-
τα αὐτῶν ἐκ μέσου ὀδόντων αὐτῶν.
καὶ ὑπολειφθήσονται καὶ οὗτοι τῷ
θεῷ ἡμῶν, καὶ ἔσονται ὡς χιλίαρχος
ἐν ἰούδα, καὶ ἀκκαρὼν ὡς ὁ ἰεβου-
σαῖος, καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀ-
νάστημα, τοῦ μὴ διαπορεύεσθαι, μὴ δὲ
αὐχι

illis, si apprehenderint de-
cem uiri ex omnibus lin-
guis gentium, et tenuerint
fimbriam unius hominis
Iudæi, dicẽtes, Ibimus te-
cum, quia audiuimus de-
um uobiscũ esse, in finem.

Sumptio uerbi domini, Cap.IX
in terra Adrach & Da-
masci sacrificiũ eius. Nam
dñs respicit homines, &
oẽs tribus Israel. Et rur-
sus didicit in finibus eius
Tyrus & Sidon, quoni-
am sapiens fuit nimis. Et
ædificauit Tyrus munitio
nẽ sibi, & collegit argen-
tum tanquam puluerem,
& congregauit aurum ut
lutum uiarum. Propterea
dominus possidebit eam,
& percutiet in mari forti-
tudinem eius, & ipsa in i-
gne comburetur. Videbit
Ascalon, & timebit, &
Gaza, & dolebit nimis, et
Accaron, quoniã pudefa-
cta est propter scelus suũ.
Peribitq; rex de Gaza,
nec Ascalon habitabitur.
Et alienigenæ habitabũt
in Azoto, & destruam in-
iuriam alienigenarum, &
auferam sanguinẽ eorum
ex ore illorum, & abomi
nationes eorum de medio
dentium eorum. Et mane
bunt & isti deo nostro,
eruntq; ut tribunus in Iu-
da, & Accaron ut Iebu-
sæus, & substituam do-
mui meæ erectionem,
ne pertranseat, neque

reuertatur. Neq; ullus iniquũ ueniat ad eos qui abigat, nam nunc uidi oculis
Esa.62 meis. Gaude ualde filia
Matt.21 Sion, prædica filia Hieru
Ioan.12 salem, ecce rex tuus uenit tibi iustus & saluans ipse, mansuetus, & ascendens in subiugalem & pullum nouum. Et euertet currus ex Ephraim, & equũ de Hierusalem, & exterminabit arcum militarẽ, & multitudinẽ & pacem ex gentibus, & dominabitur ab aqs usq; ad mare, & à fluminib. per tractus terræ. Et tu in sanguine testamenti emisisti uinctos tuos de lacu, qui nõ habet aquã. Sedebitis in munitione uincti congregationis, & pro una die peregrinationis tuæ duplicia reddam tibi. Quoniã tetẽdi te Iuda mihi arcũ, impleui Ephraim, & suscitabo filios tuos Sion contra filios Græcorũ, & attrectabo te quasi gladiũ pugnatoris. Et dñs apud eos apparebit, et egredietur tanquam fulgur sagitta eius. Dominusq; deus omnipotẽs tuba canet, ac ibit in fluctu comminationis eius. Dominus omnipotens proteget eos, et cõsumet eos, lapidibus fundæ, & bibent sanguinem eorum tanquam uinum, et implebunt phialas eorum tanquam altare. Seruabit autẽ dominus deus eorum

In

αἰχμάλωτον. καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐτοὺς οὐκέτι ἐξελαύνων, διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς μου. χαῖρε σφόδρα θύγατερ σιὼν, κήρυσσε θύγατερ ἱερουσαλήμ. ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων αὐτὸς, πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. καὶ ἐξολοθρεύσει ἅρματα ἐξ ἐφραὶμ, καὶ ἵππον ἐξ ἱερουσαλὴμ, ἐξολοθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν, καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν διεκβολὰς γῆς. καί σὺ ἐν αἵματι διαθήκης ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. καθήσεσθε ἐν ὀχυρώματι δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικίας σου διπλᾶ ἀνταποδώσω. διότι ἐνέτεινά σε ἐμαυτῷ ἰούδα τόξον, ἔπλησα τὸν ἐφραὶμ καὶ ἐξεγερῶ τὰ τέκνα σου σιὼν ἐπὶ τὰ τέκνα τῶν ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ. καὶ κύριος ἔσται ἐπ' αὐτοὺς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ. καὶ κύριος ὁ θεὸς ὁ παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτοὺς, καὶ καταναλώσουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης, καὶ ἐκπίονται τὸ αἷμα αὐτῶν ὡς οἶνον, καὶ πλήσουσι τὰς φιάλας ὡς θυσιαστήριον. καὶ σώσει αὐτοὺς κύριος ὁ θεὸς αὐτῶν

ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα, λαὸν αὐτοῦ. διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ γῆς αὐτοῦ, ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ, καὶ εἴ τι καλὸν παρ' αὐτοῦ, σῖτος νεανίσκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους.

Αἰτεῖσθε παρὰ κυρίου ὑετὸν καθ' ὥραν, πρώϊμον καὶ ὄψιμον. κύριος ἐποίησε φαντασίας, καὶ ὑετὸν χειμερινὸν δώσει αὐτοῖς, ἑκάστῳ βοτάνην ἐν ἀγρῷ. διότι οἱ ἀποφθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις ὁράσεις ψευδεῖς, καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν, μάταια παρεκάλουν. διὰ τοῦτο ἐξηράνθησαν ὡς πρόβατα, καὶ ἐκακώθησαν ὅτι οὐκ ἦν ἴασις. ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου, καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι. καὶ ἐπισκέψεται κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ, τὸν οἶκον Ἰούδα, καὶ τάξει αὐτοὺς ὡς ἵππον εὐπρεπῆ αὐτοῦ ἐν πολέμῳ, καὶ ἐξ αὐτοῦ ἐπέβλεψε, καὶ ἐξ αὐτοῦ ἔταξε, καὶ ἐξ αὐτοῦ τὸ τόξον ἐν πνεύματι θυμοῦ. καὶ ἐξ αὐτοῦ ἐξελεύσεται πᾶς ὁ ἐξελαύνων ἐν αὐτῷ. καὶ ἔσονται ὡς μαχηταὶ πατοῦντες πηλὸν ἐν ταῖς ὁδοῖς ἐν πολέμῳ, καὶ παρατάξονται, ὅτι κύριος μετ' αὐτῶν. καὶ καταισχυνθήσονται ἀναβάται ἵππων. καὶ κατισχύσω τὸν οἶκον Ἰούδα, καὶ τὸν οἶκον Ἰωσὴφ σώσω, καὶ κατοικιῶ αὐτούς, ὅτι ἠγάπησα αὐτούς, καὶ ἔσονται, ὃν τρόπον οὐκ ἀπέ-

ρριψα

in die illo, ut oues, populum suum. Nam lapides sancti uoluuntur in terram eius. Quoddam enim bonum eius, quędam pulchritudo eius, frumentum iuuenibus, & uinum boni odoris ad uirgines.

Cap. X

Petite pluuiam à domino opportunam, matutinā & uespertinam. Dominus fecit imaginatiōes, et pluuiam hyemalem dabit eis, unicuiq; herbā in agro. Etenim hi qui loquebantur, loquuti sunt labores, & diuini uisiones falsas et insomnia falsa loquebant, frustra consolabātur. Exaruerunt tanquam oues, et afflicti sunt, quandoquidē nulla erat medicina. In pastores concitatus est furor meꝰ, et agnos uisitabo. Et uisitabit dominus deus omnipotens gregem suum domum Iuda, & ponet eam tanquam equum decoratum suum in praelio, ex quo respexit, & ex ipso ordinauit, & ex ipso arcꝰ in spiritu furoris, & ex ipso egrediet omnis qui scrutatur in eo. Et erunt quasi bellatores conculcantes lutū in uijs in prælio, et erūtq; in acie, nam dominus cum eis. Pudefient ergo ascensores equorum, & firmabo domum Iuda, & domū Ioseph saluabo, & collocabo eos, q̃a dilexi eos, et erunt, quemadmodū nō a-

uerti eos. Quia ego dominus deus eorũ exaudiam eos. Et erunt quasi pugnatores Ephraim. Et lætabitur cor eorum, ut in uino. Et liberi uidebunt, et gaudebunt, & lætabuntur in domino. Signum dabo eis, & suscipiam eos, quia redimam eos. Et augebũtur, sicut fuerunt multi, & seminabo eos in populis. Et qui remoti sunt, recordabuntur mei, & enutriẽt filios suos, & cõuertentur. Et conuertam eos de terra Ægypti, et de Assyriis suscipiam illos, quos in terram Galaad, & in Libanum introducam, nec relinquetur ex eis ullus. Et transibunt in mari angusto, et percutient in mari fluctus, et siccabuntur omnia profunda fluuiorum, et auferetur omnis superbia Assyriorum. Et sceptrum Ægypti tolletur, Et roborabo eos in domino deo suo, in cuius nomine gloriabuntur, dicit dominus.

Cap. XI

Aperi Libane portas tuas, et comedat ignis cedros tuas. Ploret pinus, quia cecidit cedrus, quia ualde optimates miseri facti sunt. Plorate quercus Basanitidis, quia succisus est saltus consitus. Vox lamentantium pastorum, quoniam misera fuit

στρέψω αὐτούς. διότι ἐγὼ κύριος ὁ θεὸς αὐτῶν, καὶ ἐπακούσομαι αὐτῶν. καὶ ἔσονται ὡς μαχηταὶ τοῦ ἐφραίμ, καὶ χαρήσεται ἡ καρδία αὐτῶν ὡς ἐν οἴνῳ. καὶ τὰ τέκνα ὄψονται, καὶ εὐφρανθήσονται, καὶ χαρήσεται ἡ καρδία αὐτῶν ἐπὶ τῷ κυρίῳ. σημανῶ αὐτοῖς, καὶ εἰσδέξομαι αὐτούς, διότι λυτρώσομαι αὐτούς. καὶ πληθυνθήσονται καθότι ἦσαν πολλοί. καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς, καὶ οἱ μακρὰν αὐτῶν μνησθήσονταί μου, ἐκθρέψουσι τὰ τέκνα αὐτῶν, καὶ ἐπιστρέψουσι. καὶ ἐπιστρέψω αὐτοὺς ἐκ γῆς αἰγύπτου, καὶ ἐξ ἀσσυρίων εἰσδέξομαι αὐτούς, καὶ εἰς γῆν γαλαάδ, εἰς τὸν λίβανον εἰσάξω αὐτούς, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν οὐδὲ εἷς. καὶ διελεύσονται ἐν θαλάσσῃ στενῇ, καὶ πατάξουσιν ἐν θαλάσσῃ κύματα, καὶ ξηρανθήσονται πάντα τὰ βάθη ποταμῶν. καὶ ἀφαιρεθήσεται πᾶσα ὕβρις ἀσσυρίων, καὶ σκῆπτρον αἰγύπτου περιαιρεθήσεται. καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ κατακαυχήσονται, λέγει κύριος.

Διάνοιξον ὁ λίβανος τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ κέδρους σου. ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. ὀλολύξατε δρύες τῆς βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαι-

πώρηκε

ταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν. φωνὴ
ὠρυομένων λεόντων, ὅτι τεταλαι-
πώρηκε τὰ φρυάγματα τοῦ ἰορδά-
νου. τάδε λέγει κύριος παντοκρά-
τωρ, ποίμαινε τὰ πρόβατα τῆς σφα-
γῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον,
καὶ οὐ μετεμελοῦντο, καὶ οἱ πωλοῦν-
τες αὐτὰ ἔλεγον, εὐλογητὸς κύρι-
ος, καὶ πεπλουτήκαμεν. καὶ οἱ ποι-
μένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ'
αὐτοῖς. διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι
ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέ-
γει κύριος. καὶ ἰδοὺ ἐγὼ παραδί-
δωμι τοὺς ἀνθρώπους, ἕκαστον εἰς χεῖ-
ρα τοῦ πλησίον αὐτοῦ, καὶ κατακόψου-
σι τὴν γῆν, καὶ οὐ μὴ ἐξέλωμαι ἐκ χει-
ρὸς αὐτῶν, καὶ ποιμανῶ τὰ πρόβατα
τῆς σφαγῆς εἰς τὴν χαναανῖτιν. καὶ
λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν
μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέ-
ραν ἐκάλεσα σχοίνισμα, καὶ ποιμανῶ
τὰ πρόβατα, καὶ ἐξαρῶ τοὺς τρεῖς ποι-
μένας ἐν μηνὶ ἑνί, καὶ βαρυνθήσεται
ἡ ψυχή μου ἐπ' αὐτούς. καὶ γὰρ αἱ ψυ-
χαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ. καὶ
εἶπα, οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀποθνῆσ-
κον ἀποθνησκέτω, καὶ τὸ ἐκλεῖπον
ἐκλειπέτω. καὶ τὰ κατάλοιπα κα-
τεσθιέτωσαν ἕκαστος τὰς σάρκας
τοῦ πλησίον αὐτοῦ. καὶ λήψομαι τὴν
ῥάβδον μου τὴν καλήν, καὶ ἀπορρίψω
αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθή-
κην μου, ἣν διέθημην πρὸς πάντας
τοὺς λαούς, καὶ διασκεδασθήσεται
ἐν

fuit magnificentia eorum. Vox rugientiũ leonum, quia miser factus est fremitus Iordanis. Hęc dicit dominus omnipotens, Pasce oues occisionis, quas qui possederunt, interficiebãt, neque eos pœnitebat, et qui uendebant eas dicebãt, sit laudatus dominus, diuites facti sumus. Et pastores earum non patiebantur quicquam. Proptere a non parcam ultra incolis terræ, inquit dominus. Et ecce ego trado homines, unumquenque in manus proximi sui, et concident terram, nec eruam de manu eorum, et pascam oues occisionis in Ghananitide. Accipiam aũt mihi duas uirgas, unam uocaui Decorem, et alteram uocaui Funiculum. Et pascam oues, tollamq; tres pastores in mense uno, et ingrauescet anima mea contra eos, etenim animæ eorum ibant contra me. Et dixi, Non pascam eos. Quod morit, moriat, et deficiens deficiat. Et reliqui deuorẽt singuli carnes proximi sui. Sumamq; uirgam meam pulchram, et proijciã eam ad dissipandum testamentũ meũ, quod feci omnib. populis, et dissipabit Hiere.23
in

In die illo, & cognoscent Chananęi oues quę custodiuntur mihi, quia uerbū domini est. Et dicam ad eos, Si bonum coram uobis est, date mercedem meam, aut quiescite. Constituerunt autem mercedem meam triginta argenteos. Et dixit dominus ad me, Depone eos in conflatorium, & considera utrum probatum sit, sicut probatus sum pro eis. Et tuli triginta argenteos, & misi eos in domum domini in conflatorium, & abieci uirgam alteram funiculum, ut dissiparem testamentum inter Iudam & inter Israel. Et dixit dominus ad me, Adhuc sume tibi uasa pastoralia pastoris imperiti. Quia ecce suscitabo pastorem super terram, qui necp derelictū uisitet, neque dispersum requirat, neque fractum sanet, neque integrum dirigat, sed carnes electorum deuorabit, & talos eorum peruertet. Quasi sustinētes uana, & relinquētes oues, gladius in brachio eius, & in oculum eius dextrum. Brachium eius siccatum exarescet, & oculus eius dexter excęcatus excęcabitur.

Som

ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος κυρίου ἐστί. καὶ ἐρῶ πρὸς αὐτοὺς, εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε. καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρους. καὶ εἶπε κύριος πρός με, κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα ἀργύρους, καὶ ἐνέβαλον εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον, καὶ ἀπέῤῥιψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον ἰούδα καὶ ἀνὰ μέσον ἰσραήλ. καὶ εἶπε κύριος πρός με, ἔτι λαβὲ σεαυτῷ σκεύη ποιμενικὰ ποιμένος ἀπείρου, διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἐπὶ τὴν γῆν, τὸ ἐκλεῖπον οὐ μὴ ἐπισκέψηται, καὶ τὸ ἐσκορπισμένον οὐ μὴ ζητήσῃ, καὶ τὸ συντετριμμένον οὐ μὴ ἰάσηται, καὶ τὸ ὁλόκληρον οὐ μὴ κατευθύνῃ, καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται, καὶ τοὺς ἀστραγάλους αὐτῶν ἐκστρέψει. ὡς ὑπομένοντες τὰ μάταια, καὶ καταλιπόντες τὰ πρόβατα, μάχαιρα ἐπὶ τὸ βραχίονα αὐτοῦ, καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ, ὁ βραχίων αὐτοῦ ξηραινόμενος ξηρανθήσεται, καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐτοῦ ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

Λῆμμα

Λῆμμα λόγου κυρίου ἐπὶ τὸν ἰσραὴλ, λέγει κύριος, ἐκτείνων οὐρανὸν καὶ θεμελιῶν γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ, ἰδοὺ ἐγὼ τίθημι τὴν ἱερουσαλὴμ, ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ ἰουδαίᾳ, καὶ ἔσται περιοχὴ ἐπὶ ἱερουσαλήμ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν ἱερουσαλὴμ λίθον καταπατούμενον. πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσονται ἐπ᾽ αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ, πατάξω πάντα ἵππον ἐν ἐκστάσει, καὶ τὸν ἀναβάτην αὐτοῦ ἐν παραφρονήσει, ἐπὶ δὲ τὸν οἶκον ἰούδα διανοίξω τοὺς ὀφθαλμούς μου, καὶ πάντας τοὺς ἵππους τῶν λαῶν πατάξω ἐν ἀποτυφλώσει. καὶ ἐροῦσιν οἱ χιλίαρχοι ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν, εὑρήσομεν ἐν ἑαυτοῖς κατοικοῦντας ἱερουσαλὴμ, ἐν κυρίῳ παντοκράτορι θεῷ αὐτῶν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχους ἰούδα ὡς δαλὸν πυρὸς ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν, καὶ κατοικήσει ἱερουσαλὴμ ἔτι καθ᾽ ἑαυτὴν ἐν ἱερουσαλήμ. καὶ σώσει κύριος τὰ σκηνώματα ἰούδα, καθὼς ἀπ᾽ ἀρχῆς, ὅπως μὴ μεγαλύνηται καύχημα οἴκου δαβίδ. καὶ ἔπαρσις τῶν κατοικούντων ἱερουσαλὴμ

ἐπὶ

Cap. XII
Sup. 9
Infra. 14

Sumptio uerbi domini super Israel, dicit dominus, extendens cælum, & fundans terram, et fingens spiritũ hominis in eo. Ecce ego pono Hierusalem tanquam uestibula, quæ mouentur omnibus populis in circuitu, & in Iudæa, & erit munitio ad Hierusalẽ. Futurũ est autẽ illo die, ut ponam Hierusalem lapidem conculcatũ. Omnis qui calcat eum, illudens illudet, & congregabuntur ad eam omnes gentes terræ. Die illo, inquit dominus omnipotẽs, percutiam omnem equum stupore, & ascensorem eius in amentia, at erga domum Iuda aperiam oculos meos, & omnes equos populorum percutiam in cæcitate. Et dicent tribuni Iuda in cordibus suis, Inueniemus in nobis habitantes Hierusalem, in domino omnipotẽte, deo eorum. Die illo constituam tribunos Iuda, ut torrẽtem ignis in lignis, & sicut facem ignis in stipula, & deuorabunt à dextris & à sinistris omnes populos per circuitum. Et habitabit Hierusalem adhuc per se in Hierusalem. Conseruabitq; dominus tabernacula Iuda, ut à principio, ne se afferat gloria domus David. Et elationes habitantium in Hierusalem

in

in Iuda. Et erit in die illa, proteget dominus habitãtes Hierusalem. Futurum est etiam, ut infirmus sit illo die ueluti Dauid, sed domus Dauid quasi domus dei, ut angelus domini in conspectu eorum. Et erit in die illo, quæram auferre omnes gentes, quæ ueniunt contra Hierusalem, & effundam in domũ Dauid, & in incolas Hierusalem spiritum gratiæ misericordiæ, & aspicient ad me, in quem pupugerũt, pro eo quod insultauerunt. Plorabuntq; de illo plangorem tanquam de dilecto, & dolebunt dolore quasi de primogenito.

Iob 19 Die illo magnus erit planctus in Hierusalem, tanq̃ plãgor mali punici, quod in campo succiditur, & & planget terra per singulos tribus. Tribus domus Dauid seorsim, & mulieres eorum seorsim. Tribus domus Nathan seorsim, et mulieres eorum seorsim. Tribus domus Symeon seorsim, & mulieres eorum seorsim. Singulæ tribus reliquæ, tribus seorsim, & mulieres eorum seorsim.

Cap. XIII In die illa erit omnis locus apertus domui Dauid, & habitantibus Hierusalem, in mutatione & in aspersionem. Fiet que illo die, dicit dominus

ἐπὶ τὴν ἰουδαίαν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὑπερασπιεῖ κύριος ὑπὲρ τῶν κατοικούντων ἱερουσαλήμ. καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὡς δαβίδ, ὁ δὲ οἶκος δαβὶδ ὡς οἶκος θεοῦ, ὡς ἄγγελος κυρίου ἐνώπιον αὐτῶν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ ἱερουσαλήμ, καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον δαβίδ, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἱερουσαλὴμ, πνεῦμα χάριτος καὶ οἰκτιρμοῦ. καὶ ἐπιβλέψονται πρός με, εἰς ὃν ἐξεκέντησαν, ἀνθ᾽ ὧν κατωρχήσαντο. καὶ κόψονται ἐπ᾽ αὐτῷ κοπετὸν, ὡς ἀγαπητῷ, καὶ ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ τῷ πρωτοτόκῳ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς ἐν ἱερουσαλὴμ, ὡς κοπετὸς ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου, καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς φυλάς. φυλὴ οἴκου δαβὶδ καθ᾽ ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς. φυλὴ οἴκου νάθαν καθ᾽ ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς. φυλὴ οἴκου συμεὼν καθ᾽ ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ αὐτάς. πᾶσαι ὑπολελειμμέναι φυλαὶ, φυλὴ καθ᾽ αὐτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος τῷ οἴκῳ δαβὶδ, καὶ τοῖς κατοικοῦσιν ἱερουσαλὴμ εἰς τὴν μετακίνησιν, καὶ εἰς τὸν ῥαντισμόν. καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος

κύριος σαβαὼθ, ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκ ἔτι αὐτῶν ἔσται μνεία. καὶ τοὺς ψευδοπροφήτας, καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ τῆς γῆς. καὶ ἔσται ἐὰν προφητεύσῃ ἄνθρωπος ἔτι, καὶ ἐρεῖ πρὸς αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ οἱ γεννήσαντες αὐτὸν, οὐ ζήσῃ, ὅτι ψευδῆ ἐλάλησας ἐπ' ὀνόματι κυρίου. καὶ συμποδιοῦσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ, οἱ γεννήσαντες αὐτὸν ἐν τῷ προφητεύειν αὐτόν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταισχυνθήσονται οἱ προφῆται, ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ, ἐν τῷ προφητεύειν αὐτὸν, καὶ ἐνδύσονται δέρριν τριχίνην, ἀνθ' ὧν ἐψεύσαντο. καὶ ἐρεῖ, οὐκ εἰμὶ προφήτης ἐγὼ, διότι ἄνθρωπος ἐργαζόμενος τὴν γῆν ἐγώ εἰμι, ὅτι ἄνθρωπος ἐγέννησέ με ἐκ νεότητός μου. καὶ ἐρῶ πρὸς αὐτὸν, τί αἱ πληγαὶ αὗται ἀνὰ μέσον τῶν χειρῶν σου; καὶ ἐρεῖ, ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγαπητῷ μου. ῥομφαία, ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας μου, καὶ ἐπὶ ἄνδρα πολίτην αὐτοῦ, λέγει κύριος παντοκράτωρ. πάταξον τὸν ποιμένα, καὶ διασκορπισθήτωσαν τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, τὰ δύο μέρη ἐν αὐτῇ ἐξολοθρευθήσεται, καὶ ἐκλείψει, τὸ δὲ τρίτον ὑπολειφθήσεται

ἐν

dominus Sabbaoth, ut exterminem nomina idolorum de terra, nec erit ultra eorum memoria. Falsosq; uates, & spiritum immundum auferã à terra. Nam cum uaticinatus fuerit amplius homo, dicet ad eum pater eius & mater eius, qui genuerunt eum. Non uiues, quoniam mendacia loquutus es in nomine domini. Et obligabunt eum pater eius, & mater eius, qui genuerũt eum, interea dum uaticinabitur. Futurum est die illo ut pudefiant prophetæ singuli, propter uisionem suam, in uaticinando, ac induent pellem cilicinam, propterea quod mẽtiti sunt. diceťq;, non sum propheta, sed homo sum qui colit terrã: quandoquidem homo genuit me ab adolescentia mea. Tum loquar ad illũ, Quæ plagæ istæ in medio manuum tuarũ? Et dicet, Quibus percussus sum in domo dilecta mea. Gladie consurge super pastorem meum, & super uirum ciuem eius, inquit dominus omnipotens, Percute pastorem, & dispergentur oues. & inducam manum meam super pastores. Fietq; illo die, ait dominus, ut duæ partes pereant ac deficiãt, at tertia relinquet

Matth. 26
Marci 14

in

in ea. Et traducā tertiam partem per ignem, eosq; igne examinabo, quemadmodum igne examinatur argentū. Et probo eos, ut probatur aurum. Ipse inuocabit nomen meum, & ego exaudiam eum, & dicā. Populus meus hic est, & ipse dicet, Dominus deus meus tu.

ἐν αὐτῇ. καὶ διάξω τὸ τρίτον διὰ πυρὸς, καὶ πυρώσω αὐτοὺς, ὡς πυροῦται τὸ ἀργύριον. καὶ δοκιμῶ αὐτοὺς, ὡς δοκιμάζεται τὸ χρυσίον. αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου, καὶ ἐγὼ ἐπακούσομαι αὐτοῦ, καὶ ἐρῶ, λαός μου οὗτός ἐστι, καὶ αὐτὸς ἐρεῖ, κύριος ὁ θεός μου.

Cap. XIIII

Ecce dies ueniunt domini, & diuidētur spolia tua in te, & congregabo omnes gentes contra Hierusalem in praelium, & capietur ciuitas, & diripientur domus, & mulieres constuprabuntur, & egredietur media pars ciuitatis in captiuitatem. Reliqui uero populi mei non exterminabuntur ex ciuitate. Et egredietur dominus, & praeliabitur in gētibus illis, sicut dies conflictus eius, die belli. Stabūtq; pedes eius die illo in monte Oliuarum, qui est contra Hierusalem ad Orientem. Et scindetur mons Oliuarum, media pars eius ad orientem, ad mare, uorago magna uehementer, & inclinabit media pars montis ad Aquilonem, & media pars eius ad Austrum, & obturabitur uallis montium meorum, & adiungetur uallis montium usque ad Asael. Et aderit

Ἰδοὺ ἡμέραι ἔρχονται κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου ἐν σοί, καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διασπαρθήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται. ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. καὶ ἐξελεύσεται κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ, ἐν ἡμέρᾳ πολέμου. καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ κατέναντι ἱερουσαλὴμ ἐξ ἀνατολῶν. καὶ σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ θάλασσαν, χάος μέγα σφόδρα. καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον, καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως ἀσαήλ, καὶ ἐμφραχθήσεται ὃν τρόπον ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις ὀζίου βασιλέως ἰούδα. καὶ

παρέσται

παρέσται κύριος ὁ θεός μου, καὶ πάν-
τες οἱ ἅγιοι μετ' αὐτοῦ. καὶ ἔσται ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσται φῶς, καὶ
ψῦχος, καὶ πάγος ἔσται μίαν ἡμέ-
ραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωσθήσε-
ται τῷ κυρίῳ, καὶ οὐχ ἡμέρα καὶ ἡ
νύξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς. καὶ
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕ-
δωρ ζῶν ἐξ ἱερουσαλὴμ, τὸ ἥμισυ
αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώ-
την, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θά-
λασσαν τὴν ἐσχάτην, ἐν θέρει καὶ
ἐν ἔαρι ἔσται οὕτως. καὶ ἔσται κύριος
εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν.
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος εἷς,
καὶ τὸ ὄνομα κυρίου ἕν, κυκλῶν πᾶσαν
τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ γαλα-
ὰδ ἕως ῥεμμὼν, κατὰ νότον ἱερου-
σαλὴμ. ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ, ἀ-
πὸ τῆς πύλης βενιαμὶν ἕως τοῦ τό-
που τῆς πύλης τῆς πρώτης, ἐπὶ πύλην
τῶν γωνιῶν, καὶ ἕως τοῦ πύργου ἀ-
ναμεήλ, ἕως τῶν ὑπολινίων τοῦ βα-
σιλέως, κατοικήσουσιν ἐν αὐτῇ, καὶ
ἀνάθεμα οὐκ ἔσται ἔτι, καὶ κατοικήσει
ἱερουσαλὴμ πεποιθότως. καὶ αὕτη
ἔσται ἡ πτῶσις, ἣν κόψει κύριος πάν-
τας τοὺς λαοὺς, ὅσοι ἐπεστράτευσαν
ἐπὶ ἱερουσαλήμ. τακήσονται αἱ σάρ-
κες αὐτῶν ἑστηκότων ἐπὶ τοὺς πό-
δας αὐτῶν, οἱ ὀφθαλμοὶ αὐτῶν ῥυή-
σονται ἐκ τῶν ὀπῶν αὐτῶν, καὶ ἡ γλῶσ-
σα αὐτῶν τακήσεται ἐν τῷ στόματι
αὐτῶν.

aderit dominus deus me-
us, & omnes sancti cũ eo.
Et erit in die illa nulla
lux, sed frigus & gelu erit
in uno die, et dies ille not*
erit dño, neque dies neq;
nox, & ad uesperam erit
lux. Illo præterea die egre
dietur aqua uiua de Hieru
salem, cuius media pars in
mare primum, & dimidiũ
eius in mare ultimũ, in ęsta
te & uere sic erit. Eritq;
dominus rex totius terræ.
Die illo erit dominus u-
nus, & nomen eius unum
circumiens omnẽ terram,
& desertum à Galaad us-
que Remmon, ad austrum
Hierusalem. Rama autem
in loco manebit à porta
Beniamin, usq; ad locum
portæ primæ, & usq; ad
portam angulorum, &
usque ad turrim Ana-
meel, usque ad torcularia
regis; & habitabunt in
ea, nec erit amplius de-
testatio, habitabitq; Hie-
rusalem confidenter. Hæc
autem erit ruina, qua per-
cutiet dominus omnes po
pulos, quicunq; militaue-
runt contra Hierusalem.
Tabescent carnes eorum
qui stant in pedibus suis,
oculiq; eorum defluent de
foraminibus eorũ, & lin-
gua eorum tabescet in ore

corū. Et erit in die illa stupor domini magn' in eos. Et apprehendet unusquisque manum proximi sui, & implicabitur manus eius ad manū proximi sui, & Iudas pugnabit Hierosolymis. Congregabit autem robur omnium populorum per circuitum, aurum & argentū & uestem in magnā multitudinē. Hęc uero erit ruina equorum, & mulorum, & camelorum & asinorum, & omnium iumentorum, quæ sunt in castris illis, iuxta ruinam hanc. Futurumq́ est, ut quicunq; derelicti fuerint de cunctis gentibus, quæ uenerunt contra Hierusalem, & ascendent per annos singulos adoratum regem, dominum omnipotentem, & ut celebrent festum tabernaculorum. Fiet autē ut quicunque non ascenderint de omnibus tribus terræ Hierusalem, ad adorandum regem, dominum omnipotentem, & isti illis apponantur, non erit in eis pluuia. Quod si tribus Ægypti non ascenderit, neq; uenerit, etiam in his erit ruina, qua percutiet dominus omnes gentes, quæcunque non ascenderint ad celebrandum solennitatem scenopegiæ. In die illo erit frenum equi

αὐτῶν. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις κυρίου μεγάλη ἐπ' αὐτούς. καὶ ἐπιλήψεται ἕκαστος τῆς χειρὸς τοῦ πλησίον αὐτοῦ, καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς τὴν χεῖρα τοῦ πλησίον αὐτοῦ, καὶ ἰούδας παρατάξεται ἐν ἱερουσαλήμ. καὶ συνάξει τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν, χρυσίον καὶ ἀργύριον, καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα. καὶ αὕτη ἔσαι ἡ πτῶσις τῶν ἵππων καὶ τῶν ἡμιόνων, καὶ τῶν καμήλων καὶ τῶν ὄνων, καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκείναις, κατὰ τὴν πτῶσιν ταύτην. καὶ ἔσαι, ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ, κυρίῳ παντοκράτορι, καὶ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας. καὶ ἔσαι, ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς ἱερουσαλὴμ, τοῦ προσκυνῆσαι τῷ βασιλεῖ, κυρίῳ παντοκράτορι, καὶ οὗτοι ἐκείνοις προστεθήσονται, οὐκ ἔσαι ἐπ' αὐτοῖς ὑετός. ἐὰν δὲ φυλὴ αἰγύπτου μὴ ἀναβῇ, μηδὲ ἔλθῃ, καὶ ἐπὶ τούτους ἔσαι ἡ πτῶσις, ἣν πατάξει κύριος πάντα τὰ ἔθνη, ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσαι τὸ ἐπιχαλινὸν

τοῦ

τοῦ ἵππου σου ἅγιον τῷ κυρίῳ. καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ κυρίου, ὡς φιάλαι πρὸ προσώπου τοῦ θυσιαστηρίου, καὶ ἔσται πᾶς λέβης ἐν ἱερουσαλὴμ καὶ ἐν τῷ ἰούδα ἅγιον τῷ κυρίῳ παντοκράτορι. καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες, καὶ λήψονται ἐξ αὐτῶν, καὶ ἑψήσουσιν ἐν αὐτοῖς. καὶ μὴ ἔσται χαναναῖος ἔτι ἐν τῷ οἴκῳ κυρίου τῶν δυνάμεων ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

MA-

equi tui sanctum domino. Et erunt lebetes in domo domini, ut phialæ ante faciem altaris. Et erit omnis lebes in Hierusalem et in Iuda sacer domino omnipotenti. Et uenient omnes, qui immolant & sument ex eis, & coquent in illis. Nec erit ultra Chananæus in domo domini uirtutum, in illo die.

FINIS.

T i

Caput I



SVmptio sermonis domini, contra Israel, in manu angeli eius. Ponite corda uestra. Dilexi uos, dicit dominus. Et dixistis, In quo dilexisti nos? Non'ne frater erat Esau Iacob, inquit dominus, & dilexi Iacob, at Esau odio habui. Et posui terminos eius in uastitatem, & hæreditatem eius in domo deserti. Dicit enim, Idumæa subuersa est. Et reuertamur, & restauremus ea, quæ uastata illi sunt, restaurabimus eius deserta. Hæc dicit dominus omnipotens, Ipsi ædificabunt, et ego destruam. Et uocabuntur eis termini iniquitatis, & populus cum quo conflixit dominus usq; in æternum. Et oculi uestri uidebunt, tamen dicetis, Auctus est dominus supra terminos Israel. Filius gloria afficit patrem, & seruus dominum suum timebit. Quod si pater sum ego, ubi est gloria mea? Et si dominus sum ego, ubi est timor meus, dicit dominus omnipotens. Vos sacerdotes, qui despicitis nomen meũ, & dixistis, In quo despeximus nomen tuum? Adducẽtes

ad



ΛΗμμα λόγου κυρίου ἐπὶ τὸν ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ, θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν. ἠγάπησα ὑμᾶς, λέγει κύριος. καὶ εἴπατε, ἐν τίνι ἠγάπησας ὑμᾶς; οὐκ ἀδελφὸς ἦν ἠσαῦ τοῦ ἰακώβ, λέγει κύριος, καὶ ἠγάπησα τὸν ἰακώβ, τὸν δὲ ἠσαῦ ἐμίσησα. καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμόν, καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δώματα ἐρήμου. διότι ἐρεῖ, ἡ ἰδουμαία κατέστραπται, καὶ ἐπιστρέψωμεν, καὶ ἀνοικοδομήσωμεν τὰς ἠρημωμένας αὐτῶν. τάδε λέγει κύριος παντοκράτωρ, αὐτοὶ ἀνοικοδομήσουσι, καὶ ἐγὼ καταστρέψω. καὶ ἐπικληθήσεται αὐτοῖς ὅρια ἀνομίας, καὶ λαὸς ἐφ᾽ ὃν παρατέτακται κύριος ἕως αἰῶνος. καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται, καὶ ὑμεῖς ἐρεῖτε, ἐμεγαλύνθη κύριος ὑπεράνω τῶν ὁρίων τοῦ ἰσραήλ. υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον ἑαυτοῦ φοβηθήσεται. καὶ εἰ πατήρ εἰμι ἐγώ, ποῦ ἐστιν ἡ δόξα μου; καὶ εἰ κύριός εἰμι ἐγώ, ποῦ ἐστιν ὁ φόβος μου, λέγει κύριος παντοκράτωρ. ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου, καὶ εἴπατε, ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου; προσάγοντες

πρὸς

πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠ-
λισγημένους, καὶ εἴπατε, ἐν τίνι ἠ-
λισγήσαμεν αὐτούς; ἐν τῷ λέγειν ὑ-
μᾶς, τράπεζα κυρίου ἐξουδενωμένη
ἐστὶ, καὶ τὰ ἐπιτιθέμενα ἐξουδένω-
ται. Διότι ἐὰν προσάγητε τυφλὸν εἰς
θυσίαν, οὐ κακόν; καὶ ἐὰν προσάγητε
χωλὸν ἢ ἄρρωστον, οὐ κακόν; προσά-
γαγε δὴ αὐτῷ τῷ ἡγουμένῳ σου, εἰ
προσδέξεται, εἰ λήψεται πρόσωπόν
σου, λέγει κύριος παντοκράτωρ. καὶ
νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ
θεοῦ ὑμῶν, καὶ δεήθητε αὐτοῦ. ἐν χερ-
σὶν ὑμῶν γέγονε ταῦτα, εἰ λήψομαι
ἐξ ὑμῶν πρόσωπον ὑμῶν, λέγει κύ-
ριος παντοκράτωρ. Διότι καὶ ἐν ὑ-
μῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ
ἀνάψετε τὸ θυσιαστήριόν μου δω-
ρεάν. οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν,
λέγει κύριος παντοκράτωρ. θυσίαν
οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑ-
μῶν. Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ
ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξα-
σται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ
τόπῳ θυμίαμα προσάγεται τῷ ὀνό-
ματί μου, καὶ θυσία καθαρά. Διότι
μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι,
λέγει κύριος παντοκράτωρ. ὑμεῖς
δὲ βεβηλοῦτε αὐτὸ ἐν τῷ λέγειν ὑ-
μᾶς, τράπεζα κυρίου ἠλισγημένη ἐ-
στὶ, καὶ τὰ ἐπιτιθέμενα ἐξουδενωμένα
βρώματα αὐτοῦ. καὶ εἴπατε, ταῦτα
ἐκ κακοπαθείας ἐστὶ, καὶ ἐξεφυσήσατε

ad altare meum panes pol
lutos, & dixistis, In quo
polluimus eos? In dicen-
do, mensa domini con-
tempta est, eaq; quę impo
nũtur, despecta sunt. Cum
enim offeratis cæcum in
sacrificia, non ne malum
est? Et si offeratis claudũ
aut languidum, nonne ma
lum? Offer iam illud duci
tuo, utrum suscipiat, utrum
accipiet faciem tuam, di-
cit dominus omnipotens.
Iam uero placate faciem
dei uestri, & rogate eum.
In manibus uestris facta
sunt hæc, num suscipiã ex
uobis facies uestras, dicit
dñs omnipotens. Quia &
in uobis claudent ianuæ,
nec succendetur altare me
um gratis. Nõ est mihi uo
luntas in uobis, dicit domi
nus omnipotens, nec sacri- Psal. 49
ficiũ suscipiã de manibus Psal. 112
uestris. Quia ab ortu so-
lis usq; ad occasum nomẽ
meum gloria affectum est
in gentibus, & in omni lo
co incensum offertur no-
mini meo, sacrificiumq;
mundũ. Etenim magnum
nomen meũ in gentibus,
dicit dominus omnipotẽs.
uos autem contaminatis
illud, dicendo, mensa do-
mini polluta est, eiusq; ci
bi qui imponuntur, despe
cti sunt. Et dixistis, Hæc
ex afflictiõe sunt, et efflaui

ea, dicit dominus omnipotens. Et inferebatis rapinas & clauda, & debilia, & offerebatis in sacrificium, suscipiam ne ea de manibus uestris, inquit dominus omnipotens. Execrabilis sit homo, qui erat potens, & fuit in grege suo masculum, & uotum eius de eo, tamen immolat debile domino. Nã rex magnus ego sum, dicit dominus omnipotens, & nomen meum illustre est in gentibus.

Cap. II Leu. 26 Deut. 28 Et nũc mandatum hoc ad uos ô sacerdotes, nisi audieritis, & nisi posueritis in cor uestrum, ut detis gloriã nomini meo, dicit dñs omnipotens. Et emittam in uos execrationem, & execrabor felicitatem uestram, & execrabor eam, ne sit uobis. Quia ecce ego separo à uobis humerum, & disperdam uentriculum in facies uestras, uentriculum solennitatum uestrarum, & suscipiam uos in unum. Et cognoscetis, me ad uos misisse mandatum hoc, ut esset testamentum meum ad Leuitas, dicit dominus omnipotens. Testamentum meum fuit cum eo uitæ & pacis, et dedi ei ut timore timeret me, & à cõspectu

nominis

αὐτὰ, λέγει κύριος παντοκράτωρ. καὶ εἰσφέρετε ἁρπάγματα καὶ τὰ χωλὰ, καὶ τὰ ἐνοχλούμενα, καὶ προσφέρετε τὴν θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν, λέγει κύριος παντοκράτωρ. καὶ ἐπικατάρατος, ὃς ἦν δυνατὸς, καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν, καὶ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ, καὶ θύει διεφθαρμένον τῷ κυρίῳ. διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει κύριος παντοκράτωρ, καὶ τὸ ὄνομά μου ἐπιφανὴς ἐν τοῖς ἔθνεσι.

Καὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς οἱ ἱερεῖς, ἐὰν μὴ ἀκούσητε, καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν, τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου, λέγει κύριος παντοκράτωρ, καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν, καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν, καὶ καταράσομαι αὐτὴν, καὶ οὐκ ἔσται ὑμῖν. ὅτι ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον, καὶ σκορπιῶ ἤνυστρον ἐπὶ τὰ πρόσωπα ὑμῶν, ἤνυστρον ἑορτῶν ὑμῶν, καὶ λήψομαι ὑμᾶς εἰς τὸ αὐτό. καὶ ἐπιγνώσεσθε, διότι ἐγὼ ἐξαπέσταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι διαθήκην μου πρὸς τοὺς λευίτας, λέγει κύριος παντοκράτωρ. ἡ διαθήκη μου ἦν μετ' αὐτοῦ τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ ἔδωκα αὐτῷ φόβῳ φοβεῖσθαί με, καὶ ἀπὸ προσώπου

ὀνό

ὀνόματός μου στέλλεσθαι αὐτόν. νό-
μος ἀληθείας ἦν ἐν τῷ στόματι αὐ-
τοῦ. ἀδικία οὐχ εὑρέθη ἐν χείλεσιν
αὐτοῦ, ἐν εἰρήνῃ κατευθύνων ἐπο-
ρεύθη μετ' ἐμοῦ, καὶ πολλοὺς ἐπέστρε-
ψεν ἀπὸ ἀδικίας. ὅτι χείλη ἱερέως
φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητή-
σουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγε-
λος κυρίου παντοκράτορός ἐστιν. ὑ-
μεῖς δὲ ἐξεκλίνατε ἐκ τῆς ὁδοῦ, καὶ
ἠσθενήσατε πολλοὺς ἐν νόμῳ, διεφ-
θείρατε τὴν διαθήκην τοῦ Λευί, λέ-
γει κύριος παντοκράτωρ. καὶ ἐ-
γὼ δέδωκα ὑμᾶς ἐξουδενωμένους
καὶ ἀπερριμμένους εἰς πάντα τὰ
ἔθνη, ἀνθ' ὧν ὑμεῖς οὐ φυλάξα-
σθε τὰς ὁδούς μου, ἀλλὰ ἐλαμβά-
νετε πρόσωπα ἐν νόμῳ. οὐχὶ πατὴρ
εἷς πάντων ὑμῶν; οὐχὶ θεὸς εἷς ἔκ-
τισεν ὑμᾶς; τί ὅτι ἐγκατελίπετε ἕ-
καστος τὸν ἀδελφὸν αὐτοῦ, τοῦ βεβη-
λῶσαι τὴν διαθήκην τῶν πατέρων
ὑμῶν; Ἐγκατελείφθη Ἰούδας, καὶ
βδέλυγμα ἐγένετο ἐν τῷ Ἰσραὴλ
καὶ ἐν Ἱερουσαλήμ, διότι ἐβεβή-
λωσεν Ἰούδας τὰ ἅγια κυρίου, ἐν
οἷς ἠγάπησε, καὶ ἐπετήδευσεν εἰς
θεοὺς ἀλλοτρίους. ἐξολοθρεύσει κύ-
ριος τὸν ἄνθρωπον τὸν ποιοῦν-
τα ταῦτα, ἕως ἂν καὶ ταπεινωθῇ
ἐκ σκηνωμάτων Ἰακώβ, καὶ ἐκ προσ-
αγόντων θυσίαν τῷ κυρίῳ παντο-
κράτορι. καὶ ταῦτα, ἃ ἐμίσουν,

ἐποίου

nominis mei formidaret.
Lex ueritatis fuit in ore
eius. Et iniquitas non est
inuenta in labijs eius, in
pace dirigens ambulauit
mecum, & multos auertit
ab iniquitate. Quoniam la
bia sacerdotis conseruant
scientiam, & legem requi
rent ex ore eius, quippe q
angelus domini omnipo-
tentis est. Vos autem de-
clinastis de uia, & infir-
mos fecistis multos in le-
ge, ad corrumpendum te-
stamentum Leui, inquit
dominus omnipotens. Ita-
que dedi uos contemptos,
ac abiectos in cunctas gen
tes, propterea quod non
obseruastis uias meas, sed
suscepistis personam in le
ge. Non'ne pater idem
omnium uestrum? Non-
ne deus unus creauit uos?
Cur ergo relinquit unus-
quisque fratrem suum, ad
polluendum testamentum
patrum uestrorũ? Relictus
est Iudas, & abominatio
facta est in Israel & in
Hierusalem, quia contami
nauit Iudas sancta domi-
ni, per quæ dilexit, studio
susque fuit deorum alieno-
rum. Exterminabit domi
nus hominẽ qui facit hæc,
donec opprimatur de ta-
bernaculis Iacob, & ex
his, qui offerunt sacrifi-
cium domino omnipoten
ti. Et, hæc quæ oderam,

faci

faciebatis. Operiebatis lachrymis altare dñi, & luctu ac gemitu plangebatis, an ne adhuc dignum respicere in sacrificium, aut suscipere gratum de manibus uestris? Et dixistis, Quamobrē? Quia dominus testificatus est inter te & inter uxorem adolescentiæ tuæ, quam reliquisti, & hæc particeps tua, & uxor testamēti tui. An ne bonum fecit? & reliquiæ spiritus sui. Et dixistis, Quid aliud nisi semen quærit deus? Et custodite in spiritu uestro, & uxorē adolescentiæ tuæ ne derelinquas, sed si odio habueris, dimitte, dicit dominus deus Israel. Operiet impietas in cogitationes tuas, dicit dominus omnipotēs. Atq; obseruate spiritu uestro, nec relinquite uos, qui prouocastis deum in sermonibus uestris, & dixistis, In quo prouocauimus eum? In eo quod dicitis, omnis qui facit malū, bonū est coram domino, idq; illi gratum fuit, deinde ubi est deus iustitiæ?

Cap. III Matth. 11 Marci 1 Lucæ 7

Ecce ego mitto angelum meum, qui parabit uiam ante faciem meam, & subitò ueniet in templum suum dominus, quem uos quæritis, & angelus testamenti, quem uos uultis.

ἐποιήσατε. ἐκαλύπτετε δάκρυσι τὸ θυσιαστήριον κυρίου, καὶ κλαυθμῷ καὶ στεναγμῷ ἐκόπτετε. καὶ ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; καὶ εἴπατε, οὗ ἕνεκεν τίνος; ὅτι κύριος διεμαρτύρατο ἀνὰ μέσον σοῦ, καὶ ἀνὰ μέσον γυναικὸς νεότητός σου, ἣν ἐγκατέλιπες, καὶ αὕτη κοινωνός σου, καὶ γυνὴ διαθήκης σου. καὶ οὐ καλὸν ἐποίησέ σοι; καὶ ὑπόλειμμα πνεύματος αὐτοῦ. καὶ εἴπατε, τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ θεός; καὶ φυλάξασθε ἐν πνεύματι ὑμῶν, καὶ γυναῖκα νεότητός σου μὴ ἐγκαταλίπῃς, ἀλλὰ ἐὰν μισήσας ἐξαποστείλῃς, λέγει κύριος ὁ θεὸς τοῦ ἰσραήλ, καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου, λέγει κύριος ὁ θεὸς παντοκράτωρ, καὶ φυλάξασθε ἐν τῷ πνεύματι ὑμῶν, καὶ οὐ μὴ ἐγκαταλίπητε. οἱ παροξύναντες τὸν κύριον ἐν τοῖς λόγοις ὑμῶν, καὶ εἴπατε, ἐν τίνι παρωξύναμέν σε; ἐν τῷ λέγειν ὑμᾶς, πᾶς ποιῶν πονηρὸν καλὸν ἐνώπιον κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε, καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς δικαιοσύνης;

Ἰδοὺ ἐξαποστελῶ τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου, καὶ ἐξαίφνης ἥξει εἰς ναὸν ἑαυτοῦ κύριος, ὃν ὑμεῖς ζητεῖτε, καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλ-

θέλετε, ἰδοὺ ἔρχεται, λέγει κύριος
παντοκράτωρ. καὶ τίς ὑπομενεῖ ἡμέ-
ραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται
ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς
εἰσπορεύεται ὡς πῦρ χωνευτηρίου, καὶ
ὡς πόα πλυνόντων. καὶ καθιεῖται
χωνεύων, καὶ καθαρίζων ὡς τὸ ἀρ-
γύριον καὶ τὸ χρυσίον, καὶ καθαρί-
σει τοὺς υἱοὺς λευὶ, καὶ χεεῖ αὐτοὺς
ὡς τὸ χρυσίον καὶ ὡς τὸ ἀργύριον. καὶ
ἔσονται τῷ κυρίῳ προσάγοντες θυ-
σίας ἐν τῇ δικαιοσύνῃ, καὶ ἀρέσει
τῷ κυρίῳ θυσία ἰούδα καὶ ἱερουσα-
λὴμ, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος,
καὶ κατὰ ἔτη ἔμπροσθεν. καὶ προσ-
άξω πρὸς ὑμᾶς ἐν κρίσει, καὶ ἔσο-
μαι μάρτυς ταχὺς ἐπὶ τὰς φαρμα-
κοὺς καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ
ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου
ἐπὶ ψεύδει, καὶ ἐπὶ τοὺς ἀποστε-
ροῦντας μισθὸν μισθωτοῦ, καὶ κα-
ταδυναστεύοντας χήρας, καὶ κονδυλί-
ζοντας ὀρφανοὺς, καὶ τοὺς ἐκκλίνον-
τας κρίσιν προσηλύτου, καὶ τοὺς
μὴ φοβουμένους με, λέγει κύριος
παντοκράτωρ. διότι ἐγὼ κύριος ὁ
θεὸς ὑμῶν, οὐκ ἠλλοίωμαι, καὶ ὑ-
μεῖς οἱ υἱοὶ ἰακὼβ οὐκ ἀπέχεσθε ἀ-
πὸ τῶν ἁμαρτιῶν τῶν πατέρων ὑ-
μῶν, ἐξεκλίνατε νόμιμά μου, καὶ οὐκ
ἐφυλάξατε. ἐπιστρέψατε πρός με,
καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει
κύριος παντοκράτωρ. καὶ εἴπατε,
ἐν

uultis, ecce uenit, dicit do
minus omnipotens: Ec-
quis autē sustinebit diem
introitus eius? aut quis su-
stinebit in uisione eius?
Quia ipse egreditur quasi
ignis conflatorij, & quasi
herba lauantium. Et sede
bit conflans & emundans
tanquam argentum & au-
rum, & emundabit filios
Leui, & effundet eos, ut
aurum ac argentum. Offe
rent domino sacrificium
in iustitia, & placebit deo
sacrificium Iuda & Hie-
rusalem, ut diebus ætatis,
ut annis superioribus. Ac
cedam autem ad uos in iu
dicio, & ero testis uelox
contra ueneficos, & con-
tra adulteros, & contra e-
os, qui iurant in nomi-
ne meo in falsa, & con-
tra eos qui priuant merce
de mercenarium, & qui
opprimunt per potentiam
uiduas, & qui percutiunt
pupillos, & qui peruertūt
iudicium aduenæ, denicp
eos qui non timent me, di
cit dominus omnipotens.
Etenim ego dominus, de
uester, nec sum mutatus, et
uos filij Iacob non reces-
sistis à peccatis patrum ue
strorum. Declinastis legi-
tima mea, nec obseruastis.
Reuertimini ad me, & re-
uertar ad uos, dicit domi-
nus oīpotens. Et dixistis.

In quo reuertemur? Num
conculcabit homo deum?
Quanquam uos conculce
tis me, tamen dixistis qua
in re conculcauimus te?
Quod decimę & primitię
uobiscum sunt, & respici-
entes uos respicitis, & me
uos cõculcatis. Annus im
pletus est, & intulistis oẽs
fructus in thesauros, et erit
rapina in domibus uestris.
Reuertimini iam in hoc,
dicit dominus omnipotẽs.
Atq; aperiam uobis cata-
ractas coeli, & effundam
uobis fortunationẽ meã,
donec sufficiat. Et distri-
buam uobis cibum, ne-
que perdam fructum terrę,
neq; infirmabitur uestra
uinea in agro, ait domi-
nus omnipotens. Fortuna-
tosq; dicent uos omnes
gentes, quippe qui mihi
eritis quasi terra uolunta-
ria, inquit dominus omni-
potens. Molesti fuistis mi
hi sermonibus uestris, ait
dominus, tamen dixistis,
in quo loquuti sumus con
tra te? Dixistis, Vanus
qui seruit deo. Ecquid am
plius, quod obseruaui-
mus mandata eius, quod
ambulauimus supplices an
te faciem domini omni-
potentis? Beatos ergo
pronunciamus alienos, ac
restaurantur omnes ij, qui
scelerate agunt, et resti
terunt deo, et seruati sunt.

ἐν τίνι ἐπιστρέψομεν; εἰ πτερνιεῖ ἄν-
θρωπος θεόν; διότι ὑμεῖς πτερνί-
ζετέ με, καὶ εἴπατε, ἐν τίνι ἐπτερνί-
σαμεν; ὅτι τὰ ἐπιδέκατα καὶ αἱ
ἀπαρχαὶ μεθ' ὑμῶν εἰσι, καὶ ἀπο-
βλέποντες ὑμεῖς ἀποβλέπετε, καὶ
ἐμὲ ὑμεῖς πτερνίζετε. τὸ ἔτος συνε-
τελέσθη, καὶ εἰσηνέγκατε πάντα τὰ
ἐκφόρια εἰς τοὺς θησαυρούς, καὶ ἔσται
ἡ διαρπαγὴ εἰς τοὺς οἴκους ὑμῶν. ἐ-
πιστρέψατε δὴ ἐν τούτῳ, λέγει κύ-
ριος παντοκράτωρ. ἐὰν μὴ ἀνοί-
ξω ὑμῖν τοὺς καταῤῥάκτας τοῦ οὐ-
ρανοῦ, καὶ χεῶ τὴν εὐλογίαν μου ὑ-
μῖν, ἕως τοῦ ἱκανωθῆναι. διαστελῶ
ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ διαφθεί-
ρω ὑμῖν τὸν καρπὸν τῆς γῆς, καὶ οὐ
μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἡ
ἐν τῷ ἀγρῷ, λέγει κύριος παντο-
κράτωρ. καὶ μακαριοῦσιν ὑμᾶς πάν-
τα τὰ ἔθνη, διότι ἔσεσθε ὑμεῖς γῆ
θελητή, λέγει κύριος παντοκράτωρ.
ἐβαρύνατε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν,
λέγει κύριος, καὶ εἴπατε, ἐν τίνι
κατελαλήσαμεν κατά σου; εἴπατε,
μάταιος ὁ δουλεύων θεῷ, καὶ τί
πλέον, ὅτι ἐφυλάξαμεν τὰ φυλάγ-
ματα αὐτοῦ, καὶ διότι ἐπορεύθημεν
ἱκέται πρὸ προσώπου κυρίου παντο-
κράτορος; καὶ νῦν ἡμεῖς μακαρί-
ζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται
πάντες ποιοῦντες ἄνομα, καὶ ἀν-
τέστησαν τῷ θεῷ, καὶ ἐσώθησαν.

ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν κύριον, ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. καὶ προσέσχε κύριος, καὶ εἰσήκουσε, καὶ ἔγραψε βιβλίον μνημοσύνου ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν κύριον καὶ εὐλαβουμένοις τὸ ὄνομα αὐτοῦ. καὶ ἔσονταί μοι, λέγει κύριος παντοκράτωρ, εἰς ἡμέραν, ἣν ἐγὼ ποιῶ ὡς περιποίησιν, καὶ αἱρετιῶ αὐτοὺς, ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, τὸν δουλεύοντα αὐτῷ. καὶ ἐπιστραφήσεσθε, καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου καὶ ἀνὰ μέσον ἀνόμου, καὶ ἀνὰ μέσον δουλεύοντος θεῷ, καὶ τοῦ μὴ δουλεύοντος αὐτῷ.

Ὅτι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ φλέξει αὐτοὺς, καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς, καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη, καὶ ἀνάψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη, λέγει κύριος παντοκράτωρ, καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα οὐδὲ κλῆμα. καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. καὶ ἐξελεύσεσθε, καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα. καὶ καταπατήσετε ἀνόμους, καὶ ἔσονται σποδὸς ὑπὸ κάτω τῶν ποδῶν ὑμῶν ἐν τῇ ἡμέρᾳ, ᾗ ἐγὼ ποιῶ, λέγει κύριος παντοκράτωρ. μνήσθητε νόμου Μωυσῆ τοῦ

δούλου

Huiusmodi loquuti sunt, ij qui timent dominum, singuli ad proximũ suum. Et attendit dominus, & audiuit, & scripsit librum monumenti in conspectu suo his, qui timent dominum, & qui reuerentur nomen eius. Hi erunt mihi, dicit dominus omnipotẽs, eo die, quem constituo, possessio, eligãq; eos tanquam is homo, qui eligit filium suum ei seruientem. Tum conuertemini, & uidebitis, quid sit inter iustũ & iniustum, & inter seruientem deo & non seruientem ei.

Cap. IIII

Quia ecce dies uenit ardens instar clibani, & cõburet eos, eruntq; omnes alienigenæ, & uniuersi scelerate agẽtes, stipula, et succendet eos dies futurus, inquit dominus omnipotens. Neq; radix ex eis, neq; ramus relinquetur. Vobis autem qui timetis nomen meum, orietur sol iustitiæ, & sanitas in pennis eius. Et egrediemini, & salietis, tanquam uituli de uinculis relaxati. Conculcabitis iniquos, eruntq; cinis sub pedibus uestris, eo die, quo ago, ait dominus omnipotens. Memẽtote legis Moysi

serui

serui mei, sicut præcepi ei in Choreb ad omnem populum Israel, pręcepta & iudicia. Ecce autem ego mittã uobis Eliam Thesbiten, et antequã ueniat dies dominus magnus & illustris. Qui conuertet cor patris ad filium, & cor hominis ad proximũ suũ, ne forte, cum uenerit, percutiat terram funditus.

FINIS.

δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν χωρὴβ πρὸς πάντα τὸν λαὸν ἰσραὴλ, προστάγματα καὶ δικαιώματα. καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν ἠλίαν τὸν θεσβίτην, καὶ πρὶν ἐλθεῖν ἡμέραν κυρίου τὴν μεγάλην ἐπιφανῆ. ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ, μὴ ἐλθὼν πατάξαι τὴν γῆν ἄρδην.

Τέλος.






TSCHER



